3 διότι] ι post δ corr. ex ει V 7 ἡ πόρουν a αὐτοὺς scripsi: αὐτοὺς Va 10 τῷ supra lin. V 11 ἀλλὰ in apodosi vide Ind. 12 γένεσιν σώματος a ὑπόθοιτό a 13 τοῦτο a 20 ἐπινοία a ὡς σώματος V: ὡς ἀσώματος a 23 fortasse πῦρ ⟨πῦρ⟩ cf. int. hebr. 28 καὶ V: κατὰ a ἄρα a 30 τουτέστιν a

γεγονὸς ἤδη καὶ ὡς τετελεσμένον τοῦ γίνεσθαι παύεται, τοῦτο ἡ τελειότης αὐτοῦ· παύεται δὲ τοῦ γίνεσθαι, ὅταν ὁλοκλήρως ἐν τῷ εἴδει γένηται), εὐλόγως ἑκάστῳ τῶν σωμάτων ἐν τῷ εἴδει ἡ τελειότης ἂν εἶναι λέγοιτο. ἀλλὰ εἰ κατὰ τὸ εἶδος ἑκάστῳ τῶν τε κατὰ τέχνην συνεστώτων καὶ πολὺ πρότερον ἔτι τῶν κατὰ φύσιν τὸ εἶναι τοῦτο ὅ ἐστι, καὶ τοῦτ' ἔστιν ἡ ἑκάστου τελειότης, καὶ ἀντιστρέψαντι ἀληθὲς τὸ καθ' ὃ τὸ εἶναί ἐστιν ἑκάστῳ τῶν ἐξ ὕλης τε καὶ εἴδους συνθέτων, τοῦτ' εἶναι τὸ εἶδος αὐτοῦ καὶ τὴν τελειότητα.

Οὐ μόνον δὲ παρὰ τοῦ εἴδους τό τε εἶναι ἑκάστῳ καὶ αἱ πρὸς τὰ ἄλλα τὰ ὄντα διαφοραί, ἀλλὰ καὶ αἱ κατὰ τὸ ποιεῖν τε καὶ πάσχειν διαφοραὶ τοῖς σώμασι γίνονται κατὰ τὰ εἴδη. ποιοῦντα γὰρ καὶ πάσχοντα καθὸ σώματα τὸ τόδε τι ποιεῖν καὶ τόδε τι πάσχειν παρὰ τοῦ εἴδους ἔχει. κατὰ γὰρ τὴν κατ' εἶδη διαφορὰν καὶ τούτων ἑκάτερον. διὸ καὶ εὐλόγως λέγεται τὸ κατὰ τὰ ἀσώματα ποιεῖν τε καὶ πάσχειν τὰ σώματα. οἷς μὲν οὖν φυσικοῖς σώμασιν ἁπλοῦν τὸ ὑποκείμενον (ἔστι δὲ τοῦτο ἡ κυρίως ὕλη, ἥτις ὑπόκειται τοῖς ἁπλοῖς τε καὶ πρώτοις σώμασιν, ἃ στοιχεῖα τῶν ἄλλων ἐστὶ σωμάτων), τούτων ἁπλοῦν καὶ τὸ εἶδος καὶ ἡ φύσις. διὸ καὶ μιᾶς τε καὶ ἁπλῆς κινήσεως τούτοις ἡ φύσις αἰτία. εἰ γὰρ ἡ φύσις ἀρχὴ κινήσεως, εἴη ἂν καὶ ἡ ἁπλῆ φύσις ἁπλῆς ἀρχὴ κινήσεως. ἡ δὲ ἁπλῆ καὶ κυρίως μία. διὸ ἢ ἄνω τι τούτων μόνον ἢ κάτω μόνον κατὰ τὴν αὑτοῦ κινεῖται φύσιν. οἷς δ' οὐκέθ' ἁπλοῦν τὸ προσεχῶς ὑποκείμενον, ἀλλ' ἔστιν ἤδη σῶμά τι καὶ σύνθετον (πᾶν γὰρ σῶμα σύνθετον τοιοῦτον), ἐν τούτοις καὶ τὸ εἶδος ποικιλώτερόν τε καὶ τελειότερον, καὶ ἡ φύσις τούτων τοιαύτη. καὶ εὐλόγως· συντελεῖ γάρ τι πρὸς τὸ τούτων εἶδος καὶ τὸ εἶδος τὸ ἐν

1 παύεται] in einer Grenze [ist] 2 ὅταν—γένηται] wenn sich die Form über das Ganze verteilt 4—5 τῶν τε κατὰ τέχνην—φύσιν] der Körper, deren Bestand durch die Kunst und um ihretwillen die natürlichen Körper benannt werden. [P et p in mg.: Es spricht Samuel der Uebersetzer: ich wollte die 4 bezeichneten Wörter wären nicht geschaffen. Ich kann mich in keiner Weise über das Verständniss derselben beruhigen. Aber so fand ich und so habe ich gelassen. Man könnte auch das Wort „sie werden genannt" übersetzen: „sie werden herausgebracht" oder „sie werden". Ich möchte in keiner Weise entscheiden] 6 τὸ εἶναι] das Etwas sein 9 τό τε εἶναι] seine Qualität 11—13 ποιοῦντα—ἑκάτερον] Denn im Thun und Leiden der Körper wirkt dieser so der andere leidet so von Seiten seiner Form, weil jedes von diesen beiden je nach der Verschiedenheit der Form stattfindet 17—18 μιᾶς τε καὶ ἁπλῆς κινήσεως] für eine einfache Bewegung 19 δὲ] und 21 τὸ προσεχῶς ὑποκείμενον] der Träger, [nämlich] im Range des Trägers, der annähernd so genannt wird 22 ἤδη om. 22—23 τοιοῦτον—ποικιλώτερον] die Qualität eines derartigen unter den Körpern ist mehrgestaltig

1 ἤδη V: εἴδη a 2 εἴδει a: εἴδη V 3 τῷ] τω in lit. V 4 ἑκαστω a 6 ἑκάστω a 9 „ὅτι κατὰ τὰ ἀσώματα ποιεῖ καὶ πάσχει τὰ σώματα." οὐ (sic) μόνον V: „ὅτι κατὰ τὰ ἀσώματα ποιεῖν καὶ πάσχειν." οὐ μόνον a 11 γίνονται] νται in lit. V 20 αὑτοῦ scripsi: αὐτοῦ Va 22 γὰρ supra lineam V 24 πρὸς τὸ τούτων a: πρὸς τούτων V

τῇ ὕλῃ τε καὶ τῷ ὑποκειμένῳ· ἔτι δὲ μᾶλλον τοῦτο, εἰ μηδὲ ἓν εἴη μόνον σῶμα τὸ ὑποκείμενον αὐτῷ, ὃ ἐπὶ τῶν φυσικῶν τε καὶ συνθέτων σωμάτων ἀναγκαῖον. οὐδενὶ γὰρ τούτων ἓν τὸ ὑποκείμενον σῶμα τῶν ἁπλῶν. τοῦ γὰρ ἑνὸς καὶ ἁπλοῦ σώματος ἡ κατὰ φύσιν μεταβολὴ εἰς ἁπλοῦν ἄλλο σῶμα γίνεται. ὥστ' εἴ τι μέλλει παρὰ τὰ ἁπλᾶ σώματα σύνθετόν τι φυσικὸν ἔσεσθαι σῶμα, δεῖ τούτῳ πλείω τῶν ἁπλῶν σωμάτων εἶναι τὰ ὑποκείμενα, ὃ πλῆθος παρὰ τὴν τῶν εἰδῶν τῶν ἐν αὐτοῖς διαφοράν ἐστι πλῆθος, καὶ διὰ τοῦτο τὰ τοιαῦτα σώματα σύνθετα. ᾧ δὴ πλείω καὶ διαφέροντα εἴδη τὰ μετὰ τῆς ὕλης ὑποκείμενα, ἐξ ἀνάγκης τούτου καὶ ἡ φύσις καὶ τὸ εἶδος ποικιλώτερόν τε καὶ τελειότερον, ἑκάστης φύσεως τῶν ἐν τοῖς ὑποκειμένοις αὐτῇ σώμασιν συντελούσης τι πρὸς τὸ ἐπὶ πᾶσιν κοινὸν εἶδος αὐτοῖς. εἶδος γάρ πως εἰδῶν γίνεται τὸ τοιοῦτον εἶδος καὶ τελειότης τις τελειοτήτων. διὸ καὶ οὐ δεῖ θαυμάζειν τὴν ἐν τοῖς φυσικοῖς σώμασιν τῶν εἰδῶν διαφορὰν ἔχοντας αὐτῶν τῆς παραλλαγῆς φανερῶς ἐν τοῖς ὑποκειμένοις τὰς αἰτίας. τό τε γὰρ πλῆθος τῶν εἰδῶν τῶν ἐν τοῖς ὑποκειμένοις αὐτοῖς σώμασιν καὶ ἡ τούτων διάφορος μῖξις τῆς τοσαύτης παραλλαγῆς εὐλόγως ἂν τὰς αἰτίας φέροιτο. εἰ γὰρ ἑνὸς ὄντος τοῦ ὑποκειμένου καὶ εἰς μηδεμίαν διαφορὰν τοῖς γινομένοις ἐξ αὐτοῦ συντελοῦντος (ἡ γὰρ ὕλη τοιοῦτον) ξηρότης καὶ ὑγρότης καὶ θερμότης καὶ ψυχρότης σύνδυο ἐν αὐτῇ γινόμενα τοσαύτης γίνεται διαφορᾶς τοῖς ἐξ αὐτῆς γινομένοις αἰτία, ὡς τὸ μὲν αὐτῶν πῦρ γίνεσθαι, τὸ δὲ ἀέρα, τὸ δὲ γῆν, τὸ δὲ ὕδωρ, καὶ τὸ μὲν βαρύ, τὸ δὲ κοῦφον, τὰ δὲ δευτέρως ἑκάτερον τούτων ἔχειν, πῶς οὐκ εὔλογον καὶ τὰ ἐκ τῆς τούτων ἁπάντων ποιᾶς μίξεώς τε καὶ κράσεως γινόμενα σώματα πάμπολυ διαφέρειν ἀλλήλων κατὰ τὰ εἴδη τε καὶ τὰς δυνάμεις τὰς κινητικὰς αὐτῶν; τοῦτό τοι καὶ τὰ δένδρα καὶ τὰ φυτὰ πάντα φυσικὰ ὄντα καὶ σύνθετα σώματα τῶν ἁπλῶν σωμάτων ταῖς κινητικαῖς

1—2 ἔτι δὲ μᾶλλον—τὸ ὑποκείμενον αὐτῷ] Die Körper sind also geeigneter zur Vielgestaltung als jene und vollendeter, wenn ihr Träger noch dazu nicht ein Körper allein ist 4 γὰρ] indem 5—6 ὥστ'—ὑποκείμενα] Daher muss das (bei dem), was verlangt, dass aus den einfachen Körpern irgend ein natürlicher zusammengesetzter Körper werde, sein Träger von den natürlichen Körpern mehr als ein Körper sein 8—9 ᾧ δὴ—ὑποκείμενα] Derjenige von den Körpern, deren Träger mehr als einer, und die in den Formen, welche mit der Hyle sind, verschieden sind 10—12 ἑκάστης—αὐτοῖς] denn jede der Naturen, die sich an den dieselbe tragenden Körpern finden, trägt etwas bei zum Vorhandensein der Form, welche sich in ihnen allen verbreitet 13 θαυμάζειν] läugnen 13—14 τὴν ἐν—διαφοράν] die Verschiedenheit der Formen, welche sich im Einzelnen in den natürlichen Körpern finden 16 εὐλόγως] notwendiger Weise 24 σώματα] einige von den Körpern 25 τοῦτό τοι] aus dieser Ursache

4 ἁπλοῦ a 5 παρὰ cf. παρὰ τὴν διαφοράν v. 7 οὐ παρὰ τὸ πλέον ἢ ἔλαττον ἔχειν γῆς τὸ ἀντιτυπὲς αὐτῷ, ἀλλὰ παρὰ τὴν οἰκείαν φύσιν 148r17 et Ind. 6 τούτῳ scripsi: τούτων Va 8 ᾧ δὴ scripsi: ὡ δὴ V: ὡς δὴ a 12 αὐτῇς sic V: αὐτῆς a 16 μῖξις semper V παλλαγῆς a 19 σὺν δύο V 20 γινόμενα] cf. ἡ δὲ ὁρμή τε καὶ ὄρεξις δραστικὰ μᾶλλον καὶ ποιητικά 137r6 et Ind. s. v. neutrum nonne αἴτια? 21 αὐτῶν V: αὐτῆς a 23 ποιῆς a 25 τοῦτό τοι cf. τοῦτό τοι καὶ ἐν τοῖς φόβοις κτλ. 141r1

δυνάμεσιν πλεῖστον ὅσον διαφέρει. τὰ μέν γε μιᾶς καὶ ἁπλῆς κινήσεως ἀρχὴν ἐν αὑτοῖς ἔχει, τούτων δὲ ἕκαστον ἐν αὑτῷ καὶ τοῦ τρέφεσθαι τὴν ἀρχὴν ἔχει καὶ τῆς ἐπὶ πάσας τὰς διαστάσεις κατὰ τὴν αὔξησιν κινήσεως. ἔχει δὲ δύναμιν καὶ τοῦ γεννᾶν ἕκαστον αὐτῶν ὅμοιον αὑτῷ. ἔχοντα δὲ τὰ φυτὰ κοινὰ πάντα ταῦτα πλεῖστον ὅσον ἀλλήλων πάλιν κατ' εἶδος διαφέρει τῷ τὴν ὕλην τε καὶ τὴν τῆς ὕλης τῆς ὑποκειμένης αὐτοῖς μῖξίν τε καὶ κρᾶσιν εἶναι διαφέροντα. τά τε γὰρ δένδρα ἀλλήλων πλεῖστον κεχώρισται καὶ πολὺ πλέον ἔτι τῶν | λαχάνων καὶ αὐτῶν φυτῶν τε καὶ φυσικῶν καὶ συνθέτων ὄντων σωμάτων. ἀλλὰ καὶ τούτων αὐτῶν πρὸς ἄλληλα πάλιν πλείστην ὁρῶμεν οὖσαν διαφοράν, ἧς οὐκ ἄλλη τις αἰτία τῆς προειρημένης. καὶ ἔστι τὸ τοιοῦτον εἶδος ἤδη καὶ ἡ τοιαύτη τελειότης ἡ πρώτη δύναμις ψυχῆς. εἰ γὰρ πᾶν τὸ ζῶν ζῇ κατὰ ψυχήν, τὰ δὲ φυτὰ ζῇ, εἴ γε ζῆν ἐστι τὸ δι' αὑτοῦ τρέφεσθαι καὶ αὔξεσθαι, τὰ φυτὰ ἂν ψυχὴν ἔχοι, καὶ εἴη ἂν ψυχὴ τὸ εἶδος αὐτῶν. ὥσπερ δὲ ἐπὶ τῶν ἁπλῶν σωμάτων τὸ εἶδος οὐ κατὰ τὴν ἐνέργειαν τὴν ἀπὸ τῆς δυνάμεώς ἐστιν, ἀλλὰ κατὰ τὴν δύναμιν, ἀφ' ἧς ἡ ἐνέργεια (οὐ γὰρ τὸ κάτω φέρεσθαι τῆς γῆς ἦν ἡ φύσις, ἦν γὰρ οὐδὲν ἧττον γῆ καὶ μένουσα, ἀλλ' ἡ δύναμις, ἀφ' ἧς αὐτῇ τὸ κάτω φέρεσθαι, ὅπερ ἡ βαρύτης ἦν, καὶ ἔστιν ἑκάτερον μὲν τελειότης, ἥ τε βαρύτης, εἴ γε εἶδος, ἥ τε κατὰ ταύτην ἐνέργεια, εἴ γε τελειότητές τε τῶν ἕξεών τε καὶ δυνάμεων αἱ ἀπ' αὐτῶν ἐνέργειαι, πρώτη μέντοι ἡ κατὰ τὸν χρόνον προϋφισταμένη, ἐν οἷς ἄμφω γίνεται, ἡ κατὰ τὴν ἕξιν τε καὶ τὴν δύναμιν τελειότης τῆς κατ' αὐτὴν ἐνεργείας), οὕτως ἔχει καὶ ἐπὶ τῶν συνθέτων σωμάτων. εἰ δὴ οὐχ αἱ ἀπὸ τῶν δυνάμεων ἐνέργειαι τὰ εἴδη, ἀλλ' αἱ δυνάμεις, αἳ διὰ τὸ προϋφίστασθαι τῶν ἀπ' αὐτῶν ἐνεργειῶν πρῶταί τε καὶ πρὸ ἐκείνων εἰσίν, εἴη ἂν καὶ τῶν φυτῶν εἶδός τε καὶ ψυχὴ ἡ πρώτη τελειότης. τούτων τοίνυν ὁμολογουμένων τε καὶ κειμένων, οὐκ

7 κεχώρισται] unterscheidet sich 9 τούτων αὐτῶν] auch die Kräuter selbst 16—17 οὐ γὰρ—φύσις] denn es ist nicht die Natur der Erde [p. des Steines] dass sie sich nach unten beuge 17—18 ἀλλ—βαρύτης ἦν] sondern die Kraft ... ist die Schwere 19 ἥ τε βαρύτης] ich meine die Schwere 20—22 πρώτη—ἐνεργείας] nur dass die Vollendung, welche in Erwerbung und Kraft, der Zeit nach die erste, und ihr Vorhandensein an den Dingen, in welchen beide Zustände zugleich [vorhanden sind], vorangeht der Vollendung, welche in actu durch die Erwerbung und die Kraft 22—26 οὕτως ἔχει—τελειότης] ebenso ist die Form in den zusammengesetzten Körpern nicht die Wirkungen, welche von den Kräften [kommen]; sondern die Kräfte gleichfalls, weil ihre Existenz der der Wirkungen vorangeht, welche von ihnen entstanden, sind erste, diesen [den Wirkungen] vorangehende: daher ist die Form der Pflanze und ihre Seele gleichfalls die erste Vollendung.

2 ἐν αὐτοῖς scripsi: ἐν αὐτοῖς V: ἐν αὐτοῖς om. a αὐτῷ scripsi: αὐτῷ Va 4 δὲ V γεννᾶν a αὐτῷ scripsi: αὐτῷ Va 5 ταῦτα πάντα a 7 κράσιν V ut solet 11 τὸ τοιοῦτοῦτον diphthongo in initio versus repetita, τὸ et ι infra lineam V: τὸ τοιοῦτο a 13 αὐτοῦ scripsi: αὐτοῦ Va 15 ἀπο V 18 αὐτῇ a: αυτη V τὸ om. a ὅπερ] cf. ὅπερ ἐστὶν ἡ κουφότης 126ᵛ31 ὅπερ ἦν ἡ ἁρμονία 147ᵛ14 et saepe. ἦν ἐστιν καὶ ἔστιν a 20 fortasse μέντοι καὶ κατὰ cf. v. 25 πρῶταί τε καὶ πρὸ ἐκείνων 22 τὴν om. a 23 δὲ a 24 αἳ scripsi: αἱ Va 25 εἴη ἂν a: εἴ ἂν V 26 ὁμολογουμένων] vide Ind.

οἶμαί τινα ἀμφισβητήσειν, ὡς οὐχὶ καὶ τὸ ζῷον φυσικόν ἐστι σῶμα καὶ σύνθετον, ἐκ ψυχῆς καὶ σώματος συγκείμενον. εἰ δὲ σῶμα ὂν ἐκ τούτων τὸ εἶναι ἔχει, πᾶν δὲ σῶμα ἐξ ὕλης τε καὶ εἴδους σύνθετον. δῆλον ὡς καὶ τούτων τὸ μὲν ὕλη τοῦ ζῴου, τὸ δὲ εἶδος ἔσται. ἔστι μὲν οὖν καὶ ἐκ τῶν εἰρημένων περὶ τῶν φυτῶν δῆλον τὸ τὴν ψυχὴν τὸ εἶδος εἶναι. οὐ μὴν ἀλλὰ καὶ ἐκ τοῦ κατ' ἀρχὰς ἡμῖν τῶν λόγων δεδειγμένου τοῦτο γνώριμον. ἦν γὰρ κείμενον τὸ καθ' ὃ ἑκάστῳ τὸ εἶναί ἐστι, τοῦτ' εἶναι τὸ εἶδος αὐτοῦ καὶ τὴν τελειότητα. τῷ δὲ ζῴῳ ἐστὶ τὸ εἶναι ζῴῳ κατὰ τὴν τοιάνδε ψυχήν (τὴν γὰρ αἰσθητικήν), ταύτῃ γὰρ τῶν ἄλλων ἁπάντων ἃ μὴ ζῷά ἐστι τὸ ζῷον διαφέρον ζῷόν ἐστιν. εἶδος ἄρα ἐν τῷ ζῴῳ ἡ ψυχὴ τοῦ σώματος, εἴ γε ἐν πᾶσιν τοῖς σώμασιν τὰ εἴδη τῆς ὑποκειμένης ἐν αὐτοῖς ὕλης ἐστὶν εἶδη, τοσούτῳ τελειότερον ἡ ψυχὴ εἶδος οὖσα τῆς ἐν τοῖς φυτοῖς, ὅσον ἡ ἐν ἐκείνοις ψυχὴ τῶν εἰδῶν τῶν ἐν τοῖς ἁπλοῖς τε καὶ πρώτοις σώμασιν. καὶ αἱ κατὰ τὴν αἰσθητικὴν δὲ ψυχὴν πάλιν διαφοραὶ τὴν αὐτὴν ἀναλογίαν σώζοιεν ἂν πρὸς ἀλλήλας, ἣν εἶχεν τὰ μὲν τῶν ἁπλῶν σωμάτων εἴδη πρὸς τὴν τῶν φυτῶν ψυχήν, αὕτη δὲ πρὸς τὴν αἰσθητικήν, καὶ τῆς ἀνάλογον αὐτοῖς διαφορᾶς αἰτία ἡ τῶν ὑποκειμένων αὐτοῖς σωμάτων κατά τε πλῆθος καὶ κατὰ ποιὰν κρᾶσίν τε καὶ μῖξιν καὶ σύστασιν διαφορά. καὶ εὐλόγως· εἰ γὰρ ἡ ἀρχὴ οὐχ ἥμισυ μόνον, ἀλλὰ καὶ τὸ πλεῖστον τοῦ παντὸς μέρος, καὶ ἡ κατὰ τὰς ἀρχὰς διαφορά. κἂν ᾖ βραχεῖα, μεγάλης ἂν εὐλόγως γίνοιτο διαφορᾶς αἰτία. καὶ τοῦτο δῆλον καὶ ἐκ τῶν κατὰ τὰς ὁδοὺς ἐκτροπῶν. βραχεῖα γὰρ ἐν ταύταις παραλλαγὴ πολλάκις αἰτία τῆς ἐπὶ τοὺς πλεῖστον ἀλλήλων διεστῶτας τόπους κινήσεως. ἀρχὴ δὲ καὶ ἡ προσεχὴς ἑκάστῳ τῶν γινομένων ὕλη. ὥστε καὶ ταῖς ταύτης διαφοραῖς τὴν τῶν γινομένων ἐπ' αὐταῖς εἰδῶν διαφορὰν εὔλογον ἕπεσθαι. οὐ γὰρ πᾶσα ὕλη τῆς αὐτῆς τελειότητός ἐστιν ἐπιδεκτική. οἷς μὲν οὖν τὴν ἀρχὴν τὸ ὑποκείμενον οὐδέπω σῶμα, τούτων καὶ τὸ εἶδος ἁπλούστερον· οἷς δὲ τὸ ὑποκείμενον σῶμά τε καὶ τοῦτο σύνθετον καὶ ἔχον μέρη διάφορα, ὡς ἄλλο πρὸς ἄλλην ἐνέργειαν εἶναι χρήσιμον, τούτων δὲ καὶ τὸ

---

3 δὲ] om. δῆλον] also ist es klar 5 οὐ μὴν ἀλλὰ om. 6 τοῦτο] dasselbe 12 τοσούτῳ τελειότερον ὅσον] nur ist sie vollendeter gemäss der Erhabenheit 14 πάλιν om. 15 ἣν εἶχεν] welche wir angaben als bestehend 21 εὐλόγως] und das ist notwendig so 22 παραλλαγή] Abweichung und Ablenkung 24 προσεχὴς—ὕλη] die Hylé, welche die nächste ist für jedes der entstandenen Dinge 26 ἐπιδεκτική] es passt dass an ihr gesehen werde 27 οὖν] denn 28 σύνθετον] addit: aus den Körpern

2 σῶμα ὂν a 4 ζώου a ut semper 7 respicit p. 6,25 sq. de imperfecto v. Ind. 9 γὰρ i. e. λέγω cf. Ind. ταύτῃ a 11 ἄγε a 12 τοσούτῳ V: τοσοῦτο a 15 σώζοιεν πάλιν ἂν a 17 ἀνάλογον V: ἀναλόγου a, at cf. δύναμις ἀνάλογον ἔχουσα 127ᵛ15 αἴσθησις ἀνάλογον ἔχουσα 130ᵛ47 ὡς εἶναι τὰ εἴδη τῶν ὀσφραντῶν ἀνάλογον τοῖς τῶν χυμῶν εἴδεσιν 132ᵛ9 (ψυχῆς δυνάμεις) ἀνάλογον ἔχουσαι 137ᵛ8. plura vide in Ind. αὐτῆς a 18 κρᾶσιν a: κράσιν V 20 κἂν ut saepe a 22 βραχεῖα a 25 αὐταῖς] αι in lit. V: αὐτῆς a

εἶδος μετὰ δυνάμεων πλειόνων, ἅτε ὂν εἶδος καὶ τελειότης ὀργανικοῦ τε καὶ ποικίλου σώματος· διὸ τοῦ τοιούτου σώματος εἶδος ἤδη ἡ ψυχή. ἀλλ' ἡ μὲν ἁπλουστέρα, ἧς καὶ τὸ σῶμα τὸ ὀργανικὸν ἁπλούστερον, ἡ δὲ ἐκ πλειόνων δυνάμεων καὶ τελειοτέρα, ἧς καὶ τὸ ὑποκείμενον σῶμα, οὗ ἐστιν εἶδος ἡ τοιάδε ψυχή, ποικιλώτερόν τε καὶ ὀργανικώτερον. εἰ δέ τῳ δοκεῖ αὐτόθεν ἀκούσαντι παράδοξον εἶναι τὸ τὴν ψυχὴν εἶδος εἶναι λέγειν τοῦ τοιούτου σώματος καὶ φύσιν, ὡς τοῦ πυρὸς τὴν κουφότητα, εἰς τὴν τῶν σωμάτων ἀπιδὼν διαφοράν, ὧν ταῦτα εἴδη, καὶ τὴν ἐν τοῖς ἐμψύχοις σώμασιν ἰδὼν κατασκευὴν ἀμύθητον ὅσον διαφέρουσαν τῆς τῶν ἁπλῶν σωμάτων, οὐκ ἂν ἔτι παράδοξα λέγειν τοὺς οὕτω λέγοντας ὑπολαμβάνοι, εἴ γε μὴ παράδοξον, ἀλλὰ παντὸς μᾶλλον εὔλογον, τὸ ἣν ἔχει τὰ ὑποκείμενα τοῖς εἴδεσιν σώματα ἀναλογίαν πρὸς ἄλληλα, ταύτην καὶ τὰ εἴδη αὐτῶν σώζειν πρὸς αὐτά.

Ὅτι γὰρ εἶδος ἡ ψυχή, καὶ ὧδε ἂν δειχνύοιτο. ὁμολογεῖται τὸ ζῷον ἐκ ψυχῆς εἶναι καὶ σώματος. ἔκ τινων δὲ εἶναί τι λέγεται ἤτοι ὡς ἐκ μερῶν σωζομένων ἐν τῷ ὅλῳ καὶ τοιούτων, εἰς ἃ καὶ διαιρεῖται, ὡς τὴν οἰκίαν λέγομεν ἐκ πλίνθων, ἢ ὡς τὸ κεκραμένον ἔκ τινων, ὡς τὸ μελίκρατον (τοῦτο γὰρ ἐξ ὕδατος καὶ μέλιτος εἶναί φαμεν, εἰς ἃ οὐκέτι τὸ μελίκρατον διαιρεῖται τῷ μήτε σώζεσθαί τι αὐτῶν μήτε μετὰ τὴν κρᾶσιν ἔτι τὴν αὐτῶν φυλάσσειν φύσιν), ἢ ὡς ἐξ ὕλης τε καὶ εἴδους, ὡς τὸν ἀνδριάντα λέγομεν ἐκ χαλκοῦ τε καὶ σχήματος. κατὰ τούτους δὴ τοὺς τρόπους τοῦ ἔκ τινων εἶναι λεγομένου καὶ τὸ | ζῷον ἂν ἐκ ψυχῆς καὶ σώματος 125r

1 μετὰ—πλειόνων] eingerichtet für (entsprechend) verschiedene Kräfte 2 διὸ om. 4 τελειοτέρα] hebr. vertit τελειοτέρων ὑποκείμενον om. 5—9 εἰ δέ τῳ—κατασκευὴν] Wenn aber jemand, der gehört hat, was wir hier gesagt haben, dass [nämlich] die Seele fürwahr eine Form für einen derartigen Körper und eine Natur desselben sei, wie die Leichtigkeit im Verhältniss zum Feuer, glauben sollte, dass das Ketzerei sei, so wird er, wenn die Verschiedenheit der Körper betrachtet wird, denen diese Form gehört, und wenn die Einrichtung in den beseelten Körpern bedacht wird, und er sieht 12—13 ταύτην—πρὸς αὐτά] ganz dasselbe Verhältniss ist zwischen ihren Formen, [nämlich] der einen zur andern 14 γὰρ] aber καὶ ὧδε ἂν δειχνύοιτο] die Erläuterung davon kann auch von der folgenden Seite aus begriffen werden ὁμολογεῖται] nämlich davon dass zugegeben [worden] 16 καὶ—ὡς] so dass es [das Ganze] in sie geteilt werden kann, wie 17 ἐκ πλίνθων] aus Ziegeln und Steinen 19 τῷ μήτε .. μήτε] denn keines bleibt — noch bewahren sie

1 ὂν Va 2 ποικίλου a 3 τὸ post σῶμα om. a 5 ποικιλλώτερόν a δὲ V τω a 6 αὐτόθεν] cf. περὶ κράσεως καὶ αὐξήσεως 142v53: αὐτόθεν ἤδη προσπίπτει τὸ μὴ σῶμα εἶναι τὸ σῶμα δεδεγμένον 7 καὶ φύσιν V: καὶ παρὰ φύσιν a, cf. 3,20 τὸ οὕτως γινόμενον εἶδος ἡ φύσις 11 ἣν ἔχη a 13 fortasse πρὸς ἄλληλα vide int. hebr. et cf. οὐ σώζουσιν οἱ οὕτως λέγοντες τὴν τοῦ εἴδους ἀναλογίαν τοῦ ἐν τῷ ζῴῳ πρὸς τὰ εἴδη τά τε τῶν ἁπλῶν σωμάτων καὶ τὰ τῶν γινομένων κατὰ τέχνην 126v27 14 „Ἀρχὴ τῆς ἀποδείξεως. ὅτι εἶδος ἡ ψυχή." ὅτι γὰρ V (ἀρχὴ—ψυχὴ in marg.) a: „ἀρχὴ τῆς ἀποδείξεως." ὅτι γὰρ K 15 ἐκ τινῶν V 16 καὶ τούτων Ka 17 οἰκίαν] ι corr. ex ει V κεκραμμένον a 19 μήτε ... μήτε scripsi: μὴ δὲ ... μὴ δὲ VKa κράσιν V 20 αὐτῶν Va ἀνδριάνδα a

553885

εἴη κατά τινα τούτων τῶν τρόπων. ἀλλ' οὔτε κατὰ τὸν πρῶτον οἷόν τε (παράθεσις γὰρ ἔσται ψυχῆς τε καὶ σώματος, οὕτως δὲ οὐκέτ' ἂν εἴη τὸ σῶμα διόλου ἔμψυχον, ἔσται τε εἰ οὕτως ἔχοι οὐκ εἰς τὸ ποιόν, ἀλλ' εἰς τὸ ποσὸν ἡ ψυχὴ τῷ ζῴῳ συντελοῦσα), ἀλλ' οὐδὲ κατὰ τὸν δεύτερον. οὐ γὰρ φθειρομένης τῆς ψυχῆς τε καὶ τοῦ σώματος ἡ τοῦ ζῴου γένεσις ὡς τῶν γινομένων ἐκ κράσεώς τινων. λείπεται τοίνυν οὕτω λέγειν συγκεῖσθαι τὸ ζῷον ἐκ ψυχῆς τε καὶ σώματος, ὡς ἐξ ὕλης καὶ εἴδους. ὅτι δὲ εἶδος ἡ ψυχὴ τοῦ σώματος καὶ οὐκ οὐσία τις αὐτὴ καθ' αὑτήν, μάθοι τις ἂν καὶ ἀπὸ τῶν ἐνεργειῶν αὐτῆς. οὐ γὰρ οἷόν τε ἐνέργειάν τινα ψυχικὴν γενέσθαι χωρὶς σωματικῆς κινήσεως, ὥσπερ οὐδὲ κατὰ τὰς φυσικὰς ῥοπὰς φοράν, ὡς τοῦ σώματος ἐνεργοῦντος αὐτὰς κατὰ τὴν δύναμιν τὴν ἐν αὐτῷ. τό τε γὰρ τρέφεσθαί τε καὶ αὔξεσθαι καὶ γεννᾶν οἷον αὐτὸ γίνεται μὲν κατὰ δύναμιν ψυχικήν, αἱ δὲ κινήσεις τοῦ σώματος. ἀλλὰ καὶ αἰσθάνεται τὸ ζῷον διὰ τῶν αἰσθητηρίων σωμάτων ὄντων, αἵ τε ὀρέξεις αὐταὶ φανερῶς κινουμένου τινὸς γίνονται σώματος. αἵ τε γὰρ ἐπιθυμίαι καὶ οἱ θυμοί τε καὶ ὀργαὶ ἐν τοῖς ζῴοις τοῦτον γίνονται τὸν τρόπον. ἀλλὰ καὶ ἐν τοῖς φόβοις τοῦ σώματος ἡ ἀλλοίωσίς τε καὶ συστολή. καὶ ἡ φαντασία δὲ διὰ σώματος, εἴ γε ἤρτηται τῆς κατ' ἐνέργειαν αἰσθήσεως, ὡς δειχθήσεται. ὅτι δὲ καὶ ἐν ταῖς ὁρμαῖς σῶμά ἐστι τὸ κινούμενον, οὐδεὶς ἂν ἀντείποι. καὶ τὸ φρονεῖν δέ, εἰ μὴ ἄνευ φαντασίας γίνεται, καὶ αὐτὸ ἂν εἴη γινόμενον διὰ σώματος. εἰ δὲ μηδεμίαν οἷόν τε ψυχῆς ἐνέργειαν χωρὶς σωματικῆς λαβεῖν κινήσεως, δῆλον ὡς τοῦ σώματός ἐστί τι καὶ ἀχώριστος αὐτοῦ. μάτην γὰρ ἂν εἴη χωριστὴ μηδεμίαν τῶν οἰκείων ἐνεργειῶν καθ' αὑτὴν ἐνεργῆσαι δυναμένη. δηλοῖ δὲ τὸ εἶδος αὐτὴν εἶναι τοῦ σώματος καὶ τὸ κατὰ τὰς τοῦ σώματος ἐπιτηδειότητας καὶ τὰς κατ' αὐτὴν κινήσεις γίνεσθαι.

---

2 παράθεσις] Anreihung und Anordnung, sed addit: denn wenn es so wäre οὕτως δὲ] addit: denn wenn ihr Verhältniss so wäre 3 εἰ οὕτως ἔχοι om. 4 ἀλλ' om. 6 ἐκ κράσεως om. 7 ὡς ἐξ ὕλης καὶ εἴδους] wie das Ding, welches aus Hyle und Form, wie das Abbild (צלם) δὲ om. sed addit „fürwahr" 8 καὶ om. μάθοι τις ἂν] wir wissen 10—11 ὥσπερ—ἐν αὐτῷ] dies ist klar daraus dass der Leib in natürlichen Bewegungen sich bewegt durch die Kraft, die in ihm ist 13 αἱ—σώματος] Nur dass diese Bewegungen des Körpers sind 14 διὰ—ὄντων] durch die Sinne; die Sinne sind Körper αἵ τε—σώματος] die Begierde, welche ihr ebenfalls angehört, ist nur, wenn sich etwas im Leib bewegt 16 ὀργαὶ] Sorge 21 δὲ] also εἰ οἷόν τε λαβεῖν] weil ist 23 οἰκείων om. 25 ἐπιτηδειότητας] addit: für dieselben κατ' αὐτὴν] welche sie hat

---

1—4 οὔτε—ἀλλ' οὐδὲ] cf. p. 14,5 οὔτε ὡς μέρος οὖσα .., ἀλλ' οὐδὲ et οὔτε γὰρ τὸ ἀσώματον σώματι μὴ συμπάσχειν ἀληθές ..., ἀλλ' οὐδὲ 146r14. 153,a,29. contra excidit fortasse alterum οὔτε p. 5,19 et, nisi fallor, 146v43, et mutandum videtur οὐδὲ οὔτε excipiens p. 146r54 in οὔτε 2 τε om. Ka 3 δι' ὅλου V ἔχει Ka εἰς] ι in lit. V 5 ζῳου V 7 ὅτι V: ἄρα Ka 9 ψυχικὴν] inter ι et κ paululum erasum V 10 κατ' αὐτὰς Usenerus. hoc dicit philosophus: *neque anima sine corpore neque corpus sine anima quidquam agere potest, quia corpus secundum facultatem insitam, si agit, agit* 13 τοῦ σώματος scil. εἰσίν 14 αὐταὶ scripsi: αὖται Va 18 ἤρτηται] alterum η in lit. V 20 γίνεται scripsi: γίνηται V: γίνοιτο Ka 25 ἐπιτηδειότητας V: ἰδιότητας Ka

ποτὲ μὲν γὰρ ἰσχυρῶν ὄντων τῶν ἐκτὸς αἰτίων, ἃ ἢ ὀργὴν ἢ φόβον ἢ ἐπιθυμίαν ἤ τι τοιοῦτο πάθος ἄλλο κινεῖν οἷά τε, ἢ οὐδὲν πάσχομεν παντάπασιν ἢ ἐπιπολαίως τε καὶ πρὸς ὀλίγον, ποτὲ δὲ μικρῶν καὶ τῶν τυχόντων τῶν ἐκτὸς ὄντων ὑπερβάλλομεν τοῖς πάθεσιν, ὅταν ὀργᾷ τε καὶ προπαρεσκευασμένον ᾖ καὶ ἐπιτήδειον πρὸς τὸ πάθος τὸ σῶμα ἤ διά τινα ἔνδειαν ἢ διὰ πλῆθος ἢ διὰ χυμῶν τινων παράθεσιν. καὶ γὰρ ὀργιζόμεθα ῥᾷον χολῆς πλεοναζούσης καὶ φοβούμεθα καὶ λυπούμεθα πολλάκις ἐπὶ τοῖς τυχοῦσιν τῷ τὸ σῶμα ἡμῶν οὕτω πως ἔχειν.

Δεικνύοιτο δ' ἂν εἶδος οὖσα ἡ ψυχὴ τοῦ σώματος καὶ διὰ τοῦ εἶναι μὲν αὐτὴν ἐν τῷ σώματι τοῦ ζῴου πρὸς πάντων ὁμολογεῖσθαι, πλεοναχῶς δὲ τοῦ εἶναι ἔν τινι λεγομένου κατὰ μηδὲν ἄλλο σημαινόμενον τοῦ ἔν τινι τῷ σώματι τὴν ψυχὴν εἶναι δύνασθαι. ἔν τινι γάρ τι εἶναι λέγεται ἢ ὡς εἶδος ἐν γένει, ὡς ἄνθρωπος ἐν τῷ ζῴῳ, ἢ ὡς γένος ἐν εἴδεσιν, ὡς τὸ ζῷον ἐν πτηνῷ καὶ πεζῷ καὶ ἐνύδρῳ (ἐν γὰρ τοῖς ἐκ τοῦ γένους ἀντιδιαιρουμένοις ἀλλήλοις εἴδεσιν τὸ εἶναι τῷ εἰς αὐτὰ διαιρουμένῳ γένει), ἢ ὡς μέρος ἐν ὅλῳ, ὡς ἡ χεὶρ ἐν τῷ σώματι, ἢ ὡς τὸ ὅλον ἐν τοῖς μέρεσιν· ὅλον γὰρ τὸ τοῦ ἀνθρώπου σῶμα εἶναι λέγεται ἐν κεφαλῇ καὶ τραχήλῳ καὶ θώρακι καὶ τοῖς ἄλλοις, μεθ' ὧν τὸ ὅλον ἀναπληροῦται σῶμα. ἔστι τι ἔν τινι καὶ ὡς ἐν ἀγγείῳ καὶ ὡς ἐν τόπῳ, ὡς λέγομεν Δίωνα ἐν ἀγορᾷ εἶναι καὶ τὸν οἶνον ἐν τῷ κεραμίῳ. καὶ τὰ συμβεβηκότα δέ τισιν ἐν ἐκείνοις εἶναι λέγεται, ὡς τὸ λευκὸν ἐν τῷ λευκῷ σώματι λέγεται, καὶ τὰ κεκραμένα ἐν τῷ ἐξ αὐτῶν εἶναι κράματι, ὡς ἐν τῷ οἰνομέλιτι τό τε μέλι καὶ ὁ οἶνος. παρὰ τοὺς εἰρημένους τρόπους ἔν τινι εἶναι λέγεται καὶ ὡς εἶδος ἐν ὕλῃ. καθ' ὃ γάρ τι ἔκ τινων ὂν αὐτὸ τὸ εἶναι ἔχει, τοῦτ' ἔστι

---

1 ὀργὴν] Sorge (Kummer) 3 καὶ τῶν τυχόντων] schwache 4 ὑπερβάλλομεν τοῖς πάθεσιν] es überwältigen uns ihre Eindrücke sehr 4—6 ὅταν ὀργᾷ—ἔνδειαν] Das geschieht wenn sie den Leib treffen, nachdem er von früherer Zeit her bereit war, passend für das Empfangen des Eindrucks, sei es durch den Mangel 6 παράθεσιν] Ueberhandnehmen und Verbreitung 10 τοῦ ζῴου om. 11 τοῦ εἶναι ἔν τινι] das Ding in einem Dinge [videtur igitur non legisse εἶναι] κατὰ μηδὲν ἄλλο] addit: als in jenem 13 ἐν τῷ ζῴῳ] im Lebenden τὸ ζῷον] das Lebende 14—15 ἐν γὰρ—γένει] denn die Existenz der Gattung ist fürwahr in ihren Arten, in welche geteilt zu werden ihre Weise ist, indem einige den anderen gegenüber (= entgegen) gesetzt [sind] 15—16 ἢ ὡς μέρος—ἐν τῷ σώματι om. 18 σῶμα om. 18—19 ἔστι—τόπῳ] Man sagt auch von den Körpern, dass ein Ding in einem [anderen] Dinge sei entweder in der Weise dessen, das in einem Gefässe ist, oder in der Weise dessen, das in einem Orte ist 19 Δίωνα] Zeid 20—21 καὶ τὰ—εἶναι λέγεται] Man sagt auch in der Weise des Zufalls, dass ein Ding in einem Dinge sei 21 λέγεται] ist

---

3 ἐπιπολαίως K: ἐπιπολέως Va πρὸς ὀλίγον VK: προσολίγον a 6 τινων] τι in lit. V 8 πῶς in lit. V: πως Ka 9 „ποσαχῶς τὸ ἔν τινι". δεικνύοιτο VKa ἡ ψυχὴ οὖσα Ka 11 εἶναι om. Ka 12 fortasse ἐν τῷ σώματι cf. 14,15 ἐν τοῖς εἴδεσιν ἐν τῷ σώματι et 14,12,25. 15,10 τι εἶναί τι Ka 16. 17 ἡ χεὶρ—εἶναι λέγεται om. K 17 κεφαλῇ] sub ε paululum erasum V 20 κεραμείῳ K 24 ὄν] ὂν a τουτέστιν a

ὡς εἶδος ἐν ὕλῃ τῷ λοιπῷ. οὕτως ἔχει τὸ μὲν τοιόνδε σχῆμα ἐν τῷ ἀνδριάντι ὄντι ἐκ χαλκοῦ τε καὶ σχήματος, ἡ δὲ βαρύτης ἐν τῇ γῇ οὔσῃ ἐξ ὕλης τε καὶ ταύτης. κατὰ τούτους δὴ τοὺς τρόπους τοῦ ἔν τινι λεγομένου (ὁ γὰρ κυβερνήτης ἐν τῇ νηΐ κατά τινα τῶν προειρημένων ἂν εἴη τρόπον), ἡ ψυχὴ ἐν τῷ σώματι οὖσα οὔτε ὡς μέρος οὖσα αὐτοῦ ἐστιν ἐν αὐτῷ (σῶμά τε γὰρ ἂν εἴη, σῶμα γὰρ τὸ τοῦ σώματος μέρος, καὶ εἰς τὸ ποσὸν ἄν, οὐκ εἰς τὸ ποιὸν τῷ ζῴῳ συντελοῖ· ἔτι τε οὐκ ἂν ἦν πᾶν ἔμψυχον τὸ σῶμα, ἀλλὰ ἑκάτερον αὐτῶν τοῦ ἑτέρου κεχώριστο, εἰ μὴ σῶμα διὰ σώματος οἷόν τε χωρεῖν τε καὶ διέναι, οὐ οὐδὲ ἐπίνοιαν σχεῖν ῥᾴδιον), ἀλλ' οὐδὲ ὅλον μέν τι ἡ ψυχή, μέρη δὲ τῆς ψυχῆς τὰ μέρη τοῦ σώματος, ὡς εἶναι τὴν ψυχὴν ὡς τὸ ὅλον ἐν τοῖς μέρεσιν τοῖς αὑτοῦ. ἀλλ' οὐδὲ ὡς εἶδος ἐν γένει ἐν τῷ σώματι ἡ ψυχή. οὐ γὰρ γένος τὸ σῶμα τῆς ψυχῆς ἐν ᾧ ἐστιν· ἑκάτερον γὰρ αὐτῶν ἕν τι κατ' ἀριθμόν, τὰ δὲ γένη τε καὶ εἴδη κοινά τε καὶ καθόλου· ἔτι τε σῶμα ἂν ἡ ψυχὴ εἴη. ἀλλ' οὐδὲ ὡς τὸ γένος ἐν τοῖς εἴδεσιν ἐν τῷ σώματι ἡ ψυχὴ διά τε τὴν προειρημένην αἰτίαν καὶ ὅτι, εἰ ἡ ψυχὴ γένος τοῦ σώματος λέγεται, πᾶν σῶμα ψυχή, ὡς πᾶς ἄνθρωπος ζῷον. ἀλλ' οὐδὲ τόπος τὸ σῶμα τῆς ψυχῆς· σῶμά τε γὰρ ἂν ἡ ψυχὴ εἴη (πᾶν γὰρ τὸ καθ' αὑτὸ ἐν τόπῳ σῶμα) καὶ ἔτι τὸ σῶμα τόπος ἔσται. οὕτως γὰρ ἔσται τὸ σῶμα ἢ διάστημά τι κενὸν ἢ πέρας τοῦ περιέχοντος· αὗται γὰρ αἱ περὶ τόπου δόξαι. ἔτι τῷ μὲν τόπῳ οὐδὲν τὸ ὂν ἐν αὐτῷ συντελεῖ πρὸς τὸ εἶναι τοιῷδε, τὸ δὲ ἔμψυχον σῶμα παρὰ | τῆς ψυχῆς ἔχει τὰς διαφορὰς τὰς πρὸς τὰ ἄλλα σώματα. οὐδ' ὡς ἐν ἀγγείῳ δ' ἂν εἴη· καὶ γὰρ τὸ ἀγγεῖον τόπος τοῦ ἐν αὐτῷ, διάφορον τοῦ τόπου μόνῳ τῷ συμμεταφέρεσθαι τοῖς ἐν αὐτῷ. ἀλλ' οὐδ' ὡς ἐν ὑποκειμένῳ τε καὶ ὡς συμβεβηκὸς ἐν τῷ σώματι ἡ ψυχή· οὐσία

---

1 ὡς om. τῷ λοιπῷ] und das ist das zweite (p: dann ist das eine) von den zwei Dingen woraus das Ding geworden 6 σῶμα] addit: denn wenn sie es wäre 6—7 εἰς τὸ ποιὸν συντελοῖ] der Teil würde sich anlehnen an das Thier [p. var. l. zusammenhängen mit dem Thier] in der Categorie der Qualität 9 χωρεῖν—διέναι] übergehen und eintreten 11 τοῖς αὑτοῦ] des Körpers 16 λέγεται] wäre 17 ἀλλ' κτλ.] addit: denn wenn es so wäre 18—19 καὶ ἔτι ἔσται] also wäre auch γὰρ om. 19 οὕτως nach dieser Analogie 20—21 ἔτι—τοιῷδε] Ferner was in einem Orte ist, trägt zu dem, worin es ist, in Bezug auf das, was es ist, nichts bei, so dass es dieses bestimmte Ding würde 23 οὐδ'] addit: sie kann nicht im Leibe sein, wie 24 διάφορον—ἐν αὐτῷ] der Unterschied besteht nur in dieser Einheit allein, ich meine dass jenes übertragen (räumlich bewegt) wird, wenn das worin es ist [sic Steinschneider coniecit. libri: das was in ihm ist] übertragen wird

---

1 fortasse ἐν τῷ λοιπῷ 5 τρόπον V: τρόπων Ka 7 συντελεῖ K πᾶν om. Ka 8 σῶμα πᾶν Ka 11 τὸ ὅλον VK: τὸ τόλον a αὐτου V: αὐτοῦ Ka 14 ἔτι τε V; ἔτι τε καὶ Ka cf. ἔτι τε οὐκ ἂν ἦν v. 7 ἔτι τε βίᾳ ἂν κινῴη p. 15,17 ἔτι τε πῶς οὐκ ἄτοπον 128r20 et Ind. s. v. τε 19 οὕτως γὰρ ἔσται] οὗ ς γὰρ ἐσ in lit. V: γὰρ om. Ka. γὰρ inelegantер iteratum, ut κοινότερον γὰρ λέγεται τὸ ὕδωρ εἶναι τροφὴ τῷ πυρί. μόνα γὰρ κυρίως τρέφεται τὰ τὴν θρεπτικὴν ψυχὴν ἔχοντα. τὸ γὰρ τρέφειν ταύτης 129v in. v. Ind. 21 τοιῶδε a 24 διάφορον scripsi: διαφόρων V: διαφέρων Ka

μὲν γὰρ ἡ ψυχὴ καὶ τῶν ἐναντίων ἐπιδεκτική· οὐδὲν δὲ συμβεβηκὸς οὐσία· ἔτι τε τὸ μὲν ἐν ὑποκειμένῳ τινὶ οὐκ ἔστι τῷ ὑποκειμένῳ αὐτῷ αἴτιον τοῦ εἶναι· δύναται γὰρ καὶ χωρὶς τούτου εἶναι τὸ ὑποκείμενον αὐτῷ· τῷ δὲ ὀργανικῷ σώματι, ἐν ᾧ ἐστιν ἡ ψυχή, τὸ εἶναι ὀργανικῷ παρὰ τῆς ψυχῆς. ἀλλ' οὐδὲ ὡς ἐν τῷ κεκραμένῳ τὰ ἐξ ὧν κέκραται ἐν τῷ σώματι ἡ ψυχή. οὐδὲν γὰρ τῶν οὕτως ὄντων ἔν τινι ἔτι σώζει τὴν αὑτοῦ φύσιν· οὔτε γὰρ ὁ οἶνος οὔτε τὸ μέλι ἐν τῷ οἰνομέλιτι σώζεται, ἡ δὲ ψυχὴ καὶ τὸ σῶμα ἀμφότερα ἐν τῷ ζῴῳ μένει· ἔτι πᾶσα κρᾶσις σωμάτων, ὥστε εἴη ἂν καὶ ἡ ψυχὴ σῶμά τι. ἀλλ' οὐδὲ ὡς ὁ κυβερνήτης ἐν τῇ νηὶ οὕτως οἷόν τε εἶναι τὴν ψυχὴν ἐν τῷ σώματι. εἰ μὲν γὰρ τὸν κυβερνήτην οὕτως λαμβάνοι τις ὡς τὴν τέχνην τὴν κυβερνητικήν, εἴη ἂν ὡς ἕξις τις καὶ εἶδος ἐν ὕλῃ ἡ ψυχὴ ἐν τῷ σώματι (οὕτως γὰρ αἱ ἕξεις εἰσὶν ἐν τοῖς ὧν εἰσιν ἕξεις· ἀσώματοί τε γάρ εἰσι καὶ ἀχώριστοι τῶν ἐν οἷς εἰσιν), εἰ δ' ὡς αὐτὸν τὸν κυβερνήτην τὸν ἔχοντα τὴν ἕξιν, σῶμά τε ἔσται ἡ ψυχή (καὶ γὰρ ὁ κυβερνήτης μετὰ σώματος), καὶ ἔσται ἔν τινι μέρει τοῦ σώματος ἀποκεκριμένῳ ὡς ἐν τόπῳ, οὐκ ἔσται τε πᾶν τὸ σῶμα ψυχὴν ἔχον οὐδὲ συμπαθὲς ἑαυτῷ οὐδὲ ἔχον συναίσθησιν· ἔτι τε βίᾳ ἂν κινῴη τὸ σῶμα, δύναιτό τε ἂν οὖσα ἡ ψυχὴ τοιαύτη καὶ χωριζομένη τοῦ σώματος εἰσιέναι πάλιν εἰς αὐτό, ὡς τὸ αὐτὸ σῶμα ποτὲ μὲν ἔμψυχον εἶναι, ποτὲ δὲ μή. τίς τε ἡ αἰτία, δι' ἣν τοιοῦτόν τι οὖσα ἡ ψυχὴ εἴσεισιν εἰς τὸ σῶμα, καὶ τίς τῆς εἰσόδου τρόπος; καὶ τί τοῦ συμμένειν αἴτιον, καὶ πολὺ πρότερον ἔτι τίς ἡ οὐσία αὐτῆς καὶ ἡ φύσις; εἴ τέ ἐστιν ἡ ψυχὴ ὡς ὁ κυβερνήτης, οὐχ ὡς ἡ κυβερνητική, εἴη ἂν καὶ αὐτὴ ἐξ ὕλης καὶ εἴδους τινός, ὃ εἶδος εἴη ἂν ἡ ψυχή, εἴ γε παρ' οὗ τὸ εἶναι κυβερνήτῃ αὐτῇ, παρὰ τούτου καὶ τὸ εἶναι ψυχῇ· κατὰ γὰρ τὸ εἶδος ἑκάστῳ τὸ εἶναι τοῦτο ὅ ἐστι· παρὰ δὲ τοῦ εἴδους, οὐ παρὰ τῆς ὕλης τῷ κυβερνήτῃ τὸ κυβερνήτῃ εἶναι. εἰ δὲ κατὰ μηδένα τῶν προειρημένων τρόπων οἷόν τε εἶναι τὴν ψυχὴν ἐν τῷ σώματι, λείποιτ' ἂν τὸ εἶναι αὐτὴν ἐν αὐτῷ ὡς εἶδος, εἴ γε εἶδος μὲν ἑκάστου, καθ' ὅ ἐστι τοῦτο ὅ ἐστι, κατὰ δὲ τὴν ψυχὴν τὸ ζῷον ζῷόν ἐστι. ἐπεὶ

---

6 τὴν αὐτοῦ φύσιν] seine Natur, die es specificirt 7 ὁ οἶνος] Wasser 9 ἀλλ' οὐδὲ] addit: wenn es sich so verhielte 15—16 καὶ ἔσται—τόπῳ] sie wäre begriffen in einem der Glieder des Leibes, in ihm abgeschlossen, wie ein Ding in einem Orte abgeschlossen ist 17 ἔτι τε—τὸ σῶμα om. 20 τίς τε ἡ αἰτία—τὸ σῶμα] Welches wäre die Ursache für die Seele, dass ihr Zustand so [werde], dass sie in den Leib trete 21 τοῦ συμμένειν] ihres Aufenthaltes in ihm und Bleibens in ihm 22 εἴ τε] ferner wenn 22 ὡς om. 24—25 εἴ γε—ψυχῇ] da das Ding wodurch der Steuermann selbst ist, was er ist, dasselbe ist, wodurch die Seele ist 25 ἑκάστῳ] jeder von Beiden 26 δὲ (τοῦ)] nämlich

---

3 γὰρ om. K 6 αὐτοῦ scripsi: αὐτοῦ VKa 7 τὸ μέλι V: τὸ μὲν μέλι Ka 8 κράσις VKa 11 κυβερνητικήν] κήν in lit. V 16 fortasse ἀποκεκριμένη 17 βίᾳ Ka κινῴη V: κινώη Ka 18 δύναιτό τε] cf. ἔτι τε p. 14,14 οὐδέν τε 128r20 ἐν ἀσφαλεστάτῳ τε κτλ. 141r28 20 εἴσεισιν Ka: εἴσισιν V 21 τοῦ ex. Vict.: τὸ VKa 23 αὐτῇ V 24 αὐτῇ a: αυτη V 25 ψυχῇ scripsi: ψυχή Va 26 κυβερνήτῃ εἶναι a (ut 24)

τοίνυν ἡ ψυχὴ [ἦν καὶ τελειότητα καὶ ἐντελέχειαν ἔθος Ἀριστοτέλει λέγειν] εἰδός τε ἐστιν, ὡς δέδεικται, καὶ εἶδος ἔνυλον (σώματος γάρ, καὶ σώματος φυσικοῦ· οὐ γὰρ τεχνικοῦ, ὡς τὸ τοῦ ἀνδριάντος· καὶ φυσικοῦ οὐχ ἁπλοῦ ὡς τὸ τοῦ πυρός, ἀλλὰ συνθέτου τε καὶ ὀργανικοῦ), τὸ δὲ εἶδος, οὗ ἐστιν εἶδος, εἰδείχθη καὶ τελειότης ὄν, ἔθος δὲ Ἀριστοτέλει τὴν τελειότητα καὶ ἐντελέχειαν λέγειν, ὡς τοῦ ἐν τῷ τέλει εἶναι τὸ πρᾶγμα οὗ ἐστιν οὖσαν αἰτίαν, εἰκότως αὐτῆς ἀπέδωκε τοιοῦτον τὸν λόγον· ἐντελέχεια ἡ πρώτη. διττὴ γὰρ ἦν ἡ τελειότης, ἡ μὲν ἕξις τε καὶ δύναμις, ἡ δὲ ἀπὸ τῆς δυνάμεως ἐνέργεια, ὧν ἡ δύναμις ἦν πρώτη καὶ τὸ εἶδος ἦν ἡ κατὰ τὴν δύναμιν τελειότης. ἐντελέχεια οὖν ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ. ἔστι γὰρ ὀργανικὸν σῶμα τὸ ἔχον πλείω τε καὶ διαφέροντα μέρη ψυχικαῖς δυνάμεσιν ὑπηρετεῖσθαι δυνάμενα. διὸ τὸ ὀργανικὸν σῶμα καὶ δυνάμει ζωὴν ἔχειν λέγει, τῷ δυνάμει ζωὴν ἔχον ἀντὶ τοῦ δυναμένου κατ' ἐνέργειαν ζῆν χρώμενος. τὸ γὰρ ἤδη τὴν τέλειον ψυχὴν ἔχον πολλὰ κατ' αὐτὴν δύναται ποιεῖν τε καὶ πάσχειν, τρέφεσθαι, αὔξεσθαι, γεννᾶν, αἰσθάνεσθαι, ὀρέγεσθαι, διανοεῖσθαι, λέγειν, πράττειν, ὑγιαίνειν, νοσεῖν. ἔμψυχα γὰρ οὐδὲν ἧττον, κἂν μὴ ἐνεργῇ μέν, δύνηται δέ, καὶ ἔστι τὸ δυνάμει, τὸ προσκείμενον, τῆς πρώτης ἐντελεχείας δηλωτικόν. καὶ αὕτη μὲν ἡ τῆς ψυχῆς οὐσία, ὡς ἐνὶ λόγῳ περιλαβεῖν πλείους ψυχὰς οὔτε ὁμοειδεῖς ἀλλήλαις τάξιν τε ἐχούσας πρὸς ἀλλήλας, ὡς εἶναι τὴν μέν τινα αὐτῶν ἀτελεστέραν τε καὶ πρώτην, τὴν δὲ μετὰ ταύτην τελειοτέραν ἐκείνης τῷ πρὸς ἐκείναις καὶ ἄλλην δύναμίν τινα προσειληφέναι, καὶ μετὰ ταύτην τρίτην τινὰ πάλιν πρὸς ἐκείναις ταῖς

---

1 ἦν καὶ—λέγειν om. 2 γὰρ] und 4—5 τὸ δὲ εἶδος—τελειότης ὄν] aber bereits erläutert ist, dass die Form, welche für das, dessen Form sie ist, auch eine Vollendung desselben ist. 6–7 ὡς τοῦ—ἡ πρώτη om. 8 γὰρ om. 9—10 ὧν—τελειότης] die Kraft ist von jenen beiden die erste Vollendung, die Form die Vollendung in der Weise der Kraft 9 ἦν v. 8 et 9 ist 10 οὖν] also ist sie 11—12 ψυχικαῖς—δυνάμενα] welche die Arbeit ertragen durch die Kräfte der Seele BP. p: welche den Kräften der Seele dienen 12–13 διὸ—χρώμενος] er sagt dass in ihm Leben in potentia sei, anstatt dass er sage, er vermöge in actu zu leben 15 ante τρέφεσθαι addit: denn es vermag γεννᾶν] das ähnliche zu erzeugen 16 οὐδὲν ἧττον] sind beseelte 18—19 καὶ αὕτη—πρὸς ἀλλήλας] Dies ist der wesentliche Inhalt des Wesens der Seele, wenn sie in eine Definition gefasst wird. Die Theile der Seele sind vollkommen, keiner derselben ist passender der Art nach [P: Form], als (ist untergeordnet?) der andere; jedoch ist eine Abstufung zwischen einzelnen, ich meine 20 καὶ πρώτην] und geringer τὴν δὲ] p. addit: derselben 21 πρὸς] mit 22 τρίτην τινά] addit: für dieselbe

---

1 ἦν καὶ—λέγειν] haec verba cum male ex v. 5 praecepta sint et in interpretatione hebraica desint, uncis circumscripsi 6 πρᾶγμα Ka: πρᾶμα V 7 εἰκότως] incipit apodosis 10 ἐντελέχεια—ὀργανικοῦ scil. ἐστι ψυχή 12 διὸ τὸ ὀργανικὸν σῶμα om. Ka 13 ἔχειν V: ἔχει Ka ἔχον m¹, ἔχειν m² V: ἔχον Ka ἀντι m², παντι m¹ V: παντὶ Ka. Alexandrum puto scripsisse τῷ „δυνάμει ζωὴν ἔχον" ἀντὶ τοῦ „δυνάμενον κατ' ἐνέργειαν ζῆν" χρώμενος ut l. II p. 143r 7 καὶ ἔστιν ἴσον τὸ δυνάμει ζωὴν ἔχον τῷ „ὀργανικόν" 15 γεννᾶν] post α una lit. er. V 18 ψυχῆς a

δυνάμεσιν καὶ ἄλλας τινὰς δυνάμεις ἔχουσαν. οὐ γὰρ οἷόν τε τῶν οὕτως ἐχόντων πρὸς ἄλληλα σαφῆ τὸν κοινὸν εἶναι λόγον τῷ δεῖν μὲν τὸν ὁρισμόν τινων κατὰ πάντων αὐτῶν κατηγορεῖσθαι, μὴ δύνασθαι δὲ ἐν τῷ τοιούτῳ λόγῳ διασημαίνεσθαί τι τῶν τελειοτέρων ἐν αὐτοῖς. οὐκέτι γὰρ ἂν τὰ ἀτελέστερα ἐν τῷ ὁρισμῷ περιλαμβάνοιτο. δι' ἣν αἰτίαν καὶ ὁ τῆς ψυχῆς κοινὸς λόγος ἁπλούστερός τε καὶ κοινότερος ὢν οὐδεμιᾶς τῶν μάλιστα δοκούσῶν εἶναι ψυχικῶν δυνάμεών ἐστιν ἐνδεικτικός. ἀπὸ γάρ τινος κοινῶς πάσαις αὐταῖς ὑπάρχοντος ὁ τοιοῦτος λόγος. |

Εἰ δέ ἐστιν εἶδος ἡ ψυχή, ὡς δέδεικται, ἀναγκαῖον αὐτὴν ἀχώριστόν 126r
τε εἶναι τοῦ σώματος οὗ ἐστιν καὶ ἀσώματον καὶ ἀκίνητον καθ' αὑτήν. πᾶν γὰρ εἶδος τοιοῦτον. τὸ μὲν γὰρ σῶμα συναμφότερόν τε καὶ ὑφεστὸς καθ' αὑτό, τὸ δὲ εἶδος ἄλλου ὄν (τοιοῦτον γὰρ ἡ ἐντελέχειά τε καὶ τελειότης) οὐχ οἷόν τε ἄνευ ἐκείνου οὗ ἐστιν εἶναι, ὡς οὐδὲ τὸ πέρας χωρὶς τοῦ οὗ πέρας ἐστί, ὥστ' οὐδὲ τὴν ψυχὴν οἷόν τε εἶναι χωρισθῆναι καὶ καθ' αὑτὴν ὑφεστάναι. οὐδὲ σῶμα ἄρα. ἀλλ' οὐδὲ κατὰ τοὺς λέγοντας, πᾶν σῶμα, ἢ ὕλην ἢ ἐξ ὕλης, εἶναι (ὡς τοῖς ἀπὸ τῆς Στοᾶς δοκεῖ) εἴη ἂν τὸ εἶδος σῶμα. οὔτε γὰρ ὕλη τὸ εἶδος (ἡ μὲν γὰρ ἄποιος, τὸ δὲ ποιότης τις), οὔτε ἐξ ὕλης· εἰ γὰρ εἴη τὸ εἶδος ἐξ ὕλης καὶ εἴδους, πρῶτον μὲν ἔσται ταὐτὸν τὸ ἕτερον τῷ συναμφοτέρῳ, ἔπειτα εἰς ἄπειρον προελεύσεται, εἴ γε τὸ μὲν εἶδος ἐξ ὕλης τε καὶ εἴδους, πάλιν δὲ ἐκεῖνο τὸ εἶδος ὕλης τε καὶ εἴδους δεήσεται. εἰ γὰρ οὕτως λέγοιεν τὸ εἶδος ἐξ ὕλης τε καὶ

3 μὴ δύνασθαι διασημαίνεσθαι] man kann nicht andeuten mit solcher Definition, so dass sie es bedeute 7—8 ἀπὸ—λόγος] denn jene Definition ist fürwahr genommen von irgend einer Gemeinschaftlichkeit, die sich in ihnen findet 12 τὸ δὲ εἶδος ἄλλου ὄν] die Form hingegen, wenn sie ist, so ist sie fürwahr für einen anderen Gegenstand · ἐντελέχεια] p: erste Entelechie 13—14 οὐχ—πέρας ἐστί] sie kann nicht entblösst von jenem Dinge sein, da (nachdem) auch in Bezug auf das Ende sie nicht von dem Dinge getrennt werden kann, dessen Ende sie ist 15—17 ἀλλ'—ποιότης τις] denn es ist nicht möglich, auch nicht nach dem Ausspruch derjenigen, welche sagen dass sie ein einfacher Körper oder Hyle oder aus Hyle und Form [sei] (wie die Leute der Finsterniss [arab. Ahlal-ruwak, quod interpres hebraeus non intellexerit? St.] glauben), dass die Form Körper sei. [Pp in mg: nachdem er gesagt hat, dass die Form Körper sei, hätte er einen diese Frage erläuternden Beweis bringen sollen, nämlich dass die Form nicht Körper sei; wenn aber dies selbstverständlich ist, so hätte er fortfahren müssen: die Form ist nicht Hyle.] Die Form ist nämlich nicht Hyle, weil die Hyle nicht qualificirbar, die Form ist aber irgend eine Qualität 18 οὔτε ἐξ ὕλης] addit: und Form εἰ γὰρ—εἴδους] nach dieser Analogie 20 εἴ γε] addit: notwendig 20—21 πάλιν—δεήσεται om.

1 ἄλλάς τινας K: ἄλλά τινας a 7 κοινῶς m^2 κοινὸς m^1V: κοινῶς Ka 9 „ὅτι ἀχώριστος ἡ ψυχὴ τοῦ σώματος οὗ ἐστι ψυχή." εἰ δέ VKa (nisi quod K οὗ ἐστι ψυχή om.) 10 καὶ ante ἀσώματον om. Ka 11 καὶ ὑφεστὸς] καὶ ὁ in lit. V 12 αὑτὸ] ὁ in lit. V 13 χωρὶς om. Ka 15 ὑφεστᾶναι Ka 16 σῶμα et ἢ interpunxi. sine dubio enim haec dicit Alexander: *ne secundum eos quidem, qui omne corpus esse dicunt, forma corpus est*

εἴδους, οὐχ ὡς ἐξ ἄλλου τινὸς εἴδους, ἀλλ' ὡς αὐτοῦ σὺν ὕλῃ τὸ εἶναι ἔχοντος, οὐδ' ἂν ἡ ὕλη κατ' αὐτοὺς ἄποιος εἴη κατὰ τὸν αὑτῆς λόγον· καὶ γὰρ αὕτη πρὸς τὸ εἶναι εἴδους τινὸς δεῖται καὶ ποιότητος. εἰ δὲ ταύτην καίτοι μὴ δυναμένην ὑποστῆναι χωρὶς ποιότητος ἄποιον λέγουσιν, ὅτι ἐν τῇ οἰκείᾳ φύσει αὐτῆς οὐκ ἔστιν ἡ ποιότης, καὶ τὸ εἶδος ἂν καὶ ἡ ποιότης κατὰ τὸν αὐτὸν λόγον χωρὶς ὕλης εἶεν, εἰ καὶ μεθ' ὕλης ἡ ὑπόστασις αὐτοῖς, τῷ ἐν τῇ οἰκείᾳ φύσει αὐτῶν τὴν ὕλην μὴ περιέχεσθαι. ἔτι δὲ πῶς οὐκ ἄτοπον τὸ τὴν ὕλην λέγειν ἐν τῷ τὸ εἶδος καὶ τὴν ποιότητα λαμβάνειν καὶ ὕλην τινὰ προσλαμβάνειν; ὃ ἀναγκαῖόν ἐστι λέγειν τοῖς τὸ εἶδός τε καὶ τὴν ποιότητα σῶμα ἔνυλον λέγουσιν. τὸ δὲ λέγειν τῶν τοῦ σώματος μερῶν ἀνάγκην εἶναι καὶ τὰ μέρη σώματα εἶναι, ὥσπερ καὶ τῆς ἐπιφανείας καὶ τῆς γραμμῆς καὶ τοῦ χρόνου τὰ μέρη, τῆς μὲν ἐπιφάνειαι, τῆς δὲ γραμμαί, τοῦ δὲ χρόνοι, μέρη δὲ τοῦ ζῴου σώματος ὄντος τό τε εἶδος καὶ ἡ ὕλη, ὥστε καὶ σῶμα, πεπλανημένων. οὐ γὰρ οὕτως μέρη ταῦτα τοῦ σώματος, ὡς εἰς αὐτὰ τέμνεσθαι τὸ σῶμα. τὰ μὲν γὰρ μέρη τοῦ σώματος, εἰς ἃ τέμνεται, εἴς τε τὸ ποσὸν συντελεῖ τῷ σώματι καὶ τμηθέντα ὑφέστηκέν τε καὶ μένει. οὐχ οὕτως δὲ μέρη τοῦ σώματος τό τε εἶδος καὶ ἡ ὕλη, ἀλλὰ ὡς τοῦ ἀνδριάντος ὅ τε χαλκὸς καὶ ἡ μορφή, εἰς ἃ οὐκέτι ἡ τοῦ ἀνδριάντος γίνεται διαίρεσις, ὡς εἰς κεφαλὴν καὶ θώρακα καὶ σκέλη, καίτοι καὶ ἐξ ἐκείνων ὡς μερῶν τοῦ συναμφοτέρου συγκειμένου, εἰ καὶ μὴ κατὰ τὸν αὐτὸν τρόπον. τὸ γὰρ σχῆμα τοῦ ἀνδριάντος μέρος οὐχ ὡς εἰς τὸ ποσὸν αὐτῷ συντελοῦν τι, ἀλλ' ὡς εἰς τὸ ποιόν, καὶ οὐχ ὡς ἐν τῷ ἀπὸ τῆς ὕλης χωρισμῷ σώζεσθαι δυνάμενον. εἰς δὲ τὰ ὡς ποσοῦ μέρη καὶ εἰς τὰ σωζόμενα μετὰ τὴν διαίρεσιν ἡ προειρημένη τοῦ τε σώματος καὶ τῶν ἄλλων συνεχῶν διαίρεσις. διὸ οὐδὲ μέρη ταῦτα ἁπλῶς σώματος, ἀλλὰ τοιοῦδε σώματος, οὗ μέρος καὶ τὸ δι' ὃ τοιόνδε ἐστὶν οὐκ ὂν σῶμα. ἀλλ' οὐδὲ ὁ λέγων λόγος οὗ τὸ μέρος σῶμα καὶ αὐτὸ σῶμα, τῆς δὲ ψυχῆς ἡ αἴσθησις μέρος οὖσα σῶμά ἐστι, καὶ αὕτη ἄρα σῶμα,

1—2 ἀλλ'—ἔχοντος] sondern in der Weise dass sie fürwahr sich finde mit Hyle 6 κατὰ—λόγον] ihrem Wesen nach 6—9 εἰ καὶ—προσλαμβάνειν] wenn aber deren Bestehen fürwahr mit der Hyle ist, weil insbesondere ihre Natur nicht eine Hyle umfasst: so ist es also offenbar (ἔτι δὲ πῶς οὐκ) tadelhaft, dass man sage, dass die Hyle [Pp in margine coniciunt Form pro Hyle] derart sei, dass, wenn eine Form oder Qualität sich finde, sich mit derselben auch eine weitere Hyle finde 10—11 τὸ δὲ λέγειν—σώματα εἶναι] Sagt aber jemand, dass die Teile des Körpers auch Körper sein müssen 14—15 οὐ γὰρ—τὸ σῶμα] denn diese beiden sind nicht zwei Teile des Körpers, weil (indem) der Körper in sie geteilt wird 18 post μορφὴ addit: zwei Teile sind 19 ὡς εἰς] wenn es sich teilt in 20 σκέλη] die beiden Füsse 21 εἰ—τρόπον] obwohl seine Zusammensetzung aus jenen nicht von ein und derselben Seite [anzusehen ist] 22 καὶ οὐχ ὡς κτλ. om. usque ad p. 20,23

1 οὐχ ὡς, ἀλλ' ὡς cf. p. 18,22 τὸ εἶναι scripsi: τὸ εἶδος Va cf. τὸ νοούμενον ἐπ' ὕλῃ τινὶ τὸ εἶναι ἔχει 138ʳ fin. 2 αὐτῆς scripsi: αὐτῆς VKa 3 αὐτη V 10—11 τὰ τοῦ σώματος μέρη a 11 τὰ μέρη om. a 20 ῳ post συγκειμένου videtur erasum esse V: ᾧ εἰ a 23 δυνάμενον scripsi: δυναμένῳ Va 28 αυτη V

δείκνυσίν τι· τὴν γὰρ αἴσθησιν, εἰ μὲν ὡς τὸ αἰσθητήριον λαμβάνει, σῶμα μὲν τὸ λαμβανόμενον, ἀλλ' οὐ τῆς ψυχῆς μέρος, εἰ δὲ ὡς τὴν δύναμιν τὴν αἰσθητικήν, μέρος μὲν ψυχῆς, ἀλλ' οὐ σῶμα λήψεται. καὶ γὰρ εἰ σῶμα ἡ ψυχή, καὶ σῶμα οὐχ ὡς ἡ ὕλη, ἔσται ἐξ ὕλης καὶ εἴδους, εἴ γε πᾶν σῶμα κατ' αὐτοὺς τῷ παρὰ τὴν ὕλην τοιοῦτον. ἀλλ' εἰ τοῦτο, ἔσται καὶ ἐν ἐκείνῳ τῷ σώματι τὸ εἶδος ἡ ψυχή. εἰ γὰρ τὸ ὑποκείμενον αὐτῷ σῶμα τόδε τι ὂν καὶ καθ' αὑτὸ ὑφίστασθαι δυνάμενον εἴτε πνεῦμα ὂν εἴτε ἄλλο τι οὐκ ἔμψυχον, ὃ σωζομένῳ τῷ σώματι τούτῳ προσγινόμενον ἔμψυχον αὐτὸ ἐξ ἀψύχου ποιεῖ, τοῦτ' ἂν εἴη ἡ ψυχὴ κατ' αὐτούς. οὐ γὰρ οἷόν τε λέγειν κατὰ τὴν τῆς ποιότητος τῷ πνεύματι προσθήκην ψυχὴν γίνεσθαι τὸ πνεῦμα. εἰ μὲν γὰρ ἡ τῆς ποιότητος προσθήκη τῷ πνεύματι κατὰ τὴν οὐσίαν ἐποίει τοῦ πνεύματος μεταβολήν, ἐνῆν λέγειν εἰς ψυχὴν τὸ πνεῦμα μεταβάλλειν. εἰ δὲ καὶ μετὰ τὴν τῆς ποιότητος προσθήκην μένει πνεῦμα, οὐκ ἦν δὲ ψυχὴ τὸ πνεῦμα, οὐδ' ἂν ἡ προστιθεμένη ποιότης αὐτῷ ψυχὴν αὐτὸ ποιοῖ ἅτε μὴ μεταβάλλουσα αὐτοῦ τὴν οὐσίαν, ἀλλ' οὖσα συμβεβηκός τι τῷ πνεύματι. οὐδὲν γὰρ σῶμα φυσικὸν μὴ κατ' οὐσίαν μεταβάλλον οἷόν τε ἐξ ἄλλης φύσεως εἰς ἄλλην τινὰ μεταστῆναι. ἄλλη δὲ φύσις ψυχῆς τε καὶ πνεύματος. οὐ γὰρ δὴ γένος οἷόν τε λέγειν τῆς ψυχῆς τὸ πνεῦμα, ἔχον ὑπόστασιν καθ' αὑτό. οὐδὲν γὰρ γένος τοιοῦτον, ὡς ὑφεστάναι καθ' αὑτό. |

Οἱ δὲ λέγοντες εἶδος μὲν εἶναι τὴν ψυχὴν τοῦ σώματος, ἓν δέ τι τῶν 126v
ὑποκειμένων ἐν τῷ ζῴῳ σωμάτων ποιοῦντες αὐτήν, οἷον πῦρ ἢ ἀέρα ἤ τι ἄλλο, λανθάνουσιν αὑτοὺς τὸ μέρος τῆς ὕλης εἶδος τῆς λοιπῆς ὕλης ποιοῦντες, τοῦτο δὲ ἄτοπον. ἄλλη γὰρ φύσις εἴδους τε καὶ ὕλης, ὡς δέδεικται. τὸ μὲν γὰρ ὑποκείμενον, τὸ δὲ ἐν ἐκείνῳ, καὶ τὸ μὲν σχηματιζόμενον, τὸ δὲ καθ' ὃ σχηματίζεται, ἀκολουθήσει τε τοῖς οὕτως λέγουσιν τελειότητα τῶν λοιπῶν τριῶν σωμάτων λέγειν τὸ πῦρ ἢ τὸν ἀέρα, καὶ τὴν γένεσιν ἔχειν αὐτὸ ἐκ τῆς ἐκείνων μίξεως· τοιοῦτον γὰρ ἡ τελειότης. οὕτως δὲ οὐκέτ' ἂν ἁπλοῦν εἴη σῶμα. ᾧ γὰρ ἡ γένεσις ἐκ μίξεως πλειόνων σωμάτων, οὐχ ἁπλοῦν τοῦτο. οὕτως τε οὐκ ἂν εἴη τὰ ἁπλᾶ σώματα τέτταρα. ἀλλ' οὐδὲ οἷόν τε τῶν τεσσάρων τι σωμάτων ἐκ τῆς τῶν καταλιπομένων γενέσθαι μίξεως, εἴ γε δεῖ μὲν ἐμφαίνεσθαι τῷ ἐκ τῆς μίξεώς τινι ὄντι πάσας τὰς δυνάμεις τὰς ἐκείνων, ἐξ ὧν μέμικται· ταύτῃ γὰρ φθορᾶς μίξις διαφέρει, ὅτι μὴ ὁλόκληρος ἡ τῶν μιγνυμένων φθορά. ἀδύνατον δὲ ἢ ἐν τῷ πυρὶ λέγειν εἶναι ὑγρότητά τε καὶ ψυχρότητα, ἢ ἐν τῷ ἀέρι ξηρότητα τε καὶ ψυχρότητα. ἔτι τί μᾶλλον τόδε τι τῶν τεσσάρων, ἢ ἄλλο

1 αἰσθητηρίον a 5 τῷ Usenerus: τὸ erasum in V: τὸ a 6 ὑποκείκενον a 9 + ἀψύχου sic V 13 καὶ om. a 15 την V 21 „ὅτι οὐδὲν τῶν ἁπλῶν σωμάτων ἡ ψυχή.“ οἱ δὲ Va 23 αὐτοὺς scripsi: αὐτοὺς Va 24 ὕλης τε καὶ εἴδους a 25 ἐν infra lineam m¹V 27 σωμάσων a 28 τοιοῦτον γὰρ ἡ τελειότης] cf. τοιοῦτον γὰρ ἡ ψυχή 127v21 τοιοῦτον γὰρ ἡ πέψις 129r41 τοιοῦτον μὲν ἡ τροφή 129v14 etc. 32 τῷ τινι ὄντι] cf. οἷς διαφέρουσιν ἀλλήλων τά τινα σώματα 146r in. ὥστε ἐκ τοῦ τινος σώματος τι σῶμα γίνεται 147r26 33 ταύτῃ a 36 fortasse τόδε τῶν, ut ὁμοίων γὰρ ὄντων ἑκατέρων οὐδὲν μᾶλλον τόδε μεῖζον ἂν ἐν τῇ συνθέσει γεγονὸς εἴη 129v10 cf. Ind.

τι εἶδος ἂν εἴη τῶν λοιπῶν τριῶν; ἔτι μόναι ἂν εἶεν ἐν τῷ ζῴῳ δυνάμεις αἱ τοῦ σώματος τοῦ ἐκ τῆς τῶν ἄλλων κράσεως γεγονότος, εἰ μὲν εἴη τὸ γεγονὸς πῦρ, θερμότης τε καὶ ξηρότης, εἰ δ' ἄλλο τι αἱ ἐκείνου, τῷ τοῦτ' εἶναι τὸ γεγονὸς ἐξ ἐκείνων. εἰ δὲ μηδὲν μᾶλλον τῶν ἐκείνου δυνάμεων αἱ τῶν ἄλλων ἐν τῷ ζῴῳ μένουσιν, οὐκ ἂν εἴη τοῦτο γεγονὸς ἐξ ἐκείνων, ὥστε οὐδὲ εἶδος. εἰ δὲ μὴ τοῦτο, οὐδὲ ψυχή. ἔτι εἰ ἕν τι τούτων ἐστὶν ἡ ψυχή, ἢ οὐ πᾶν τὸ ζῷον ἔμψυχον ἔσται, ἢ σῶμα διὰ σώματος διελεύσεται, ἧς δόξης τίς ἂν ἀτοπωτέρα γένοιτο; πῶς γὰρ οἷόν τε σῶμά τι μεστὸν ὂν αὑτοῦ καὶ μηδὲν ἔχον ἐν αὑτῷ κενὸν ἄλλο ἐν αὑτῷ σῶμα δέξασθαι ὁμοίως μεστὸν αὑτοῦ; εἰ γὰρ τὸ πλῆρες ὂν αὑτοῦ ἄλλο τι πάλιν καὶ αὐτὸ ὁμοίως ὂν πλῆρες αὑτοῦ δέξεται, οὐδὲν ἔσται τὸ κωλύον καὶ ἄλλο πάλιν αὐτὸ καὶ ἄλλο δέξασθαι. οὐδὲν γὰρ ἔλαττον πλῆρες ὄν, ὅτε ἦν μόνον, τοῦ νῦν, ὅτε ἐδέξατό τι ἄλλο ἐν αὑτῷ, οὐκ ἐκωλύθη δέξασθαί τι καὶ δεύτερον, οὕτως τε οὐδὲν κωλυθήσεται τὸ μέγιστον ἐν τῷ μικροτάτῳ γενέσθαι σώματι. πῶς δὲ οὐκ ἄτοπον καὶ τὸ τὸν πεπληρωμένον τόπον ὑπὸ σώματός τινος λέγειν δύνασθαι καὶ ἄλλο τι σῶμα δέξασθαι τὸν αὐτὸν μένοντα τοῦ πεπληρωκότος αὐτὸν σώματος ἐν αὐτῷ μένοντος καὶ μὴ μεθισταμένου που; ἀλλὰ περὶ μὲν τῆς τούτου τοῦ δόγματος ἀτοπίας ἐν ἄλλοις ἡμῖν ἐπὶ πλεῖον εἴρηται. ἔτι δὲ οὐ σώζουσιν οἱ οὕτως λέγοντες τὴν τοῦ εἴδους ἀναλογίαν τοῦ ἐν τῷ ζῴῳ πρὸς τὰ εἴδη τά τε τῶν ἁπλῶν σωμάτων καὶ τὰ τῶν γινομένων κατὰ τέχνην. οὐ γὰρ τοιοῦτον ἡ βαρύτης εἶδος οὐδὲ ἡ κουφότης οὐδὲ τὸ σχῆμα. ἔτι δὲ εἰ ἕν τι τῶν ἁπλῶν σωμάτων τὴν ὡς ψυχὴν εἶδος λέγοιεν, ἐπεὶ τὸ εἶδος τὸ τὴν ὕλην εἰδοποιοῦν ἐστιν, ἀλλ' οὐ τὸ συναμφότερον, εἴη ἂν καὶ ψυχὴ κατὰ τοὺς οὕτω λέγοντας τὸ εἶδος τούτου τοῦ σώματος, ὅπερ ἐστὶν ἡ κουφότης ἢ ἡ μετὰ ταύτης θερμότης τε καὶ ξηρότης ἤ τι εἶδος τῶν ἁπλῶν τινος σωμάτων. οὐδὲ οἱ εἶδος δὲ λέγοντες τὴν ψυχὴν τοῦ ζῴου, εἶδος δὲ ὡς οὐσίαν τινὰ χωριστήν τε καὶ αὐτὴν καθ' αὑτήν, ὡς τῆς νεὼς τὸν κυβερνήτην (εἶναι γὰρ κἀκεῖνον εἶδος τῆς νεὼς καὶ τελειότητα) ὀρθῶς λέγουσιν. οὐ γάρ ἐστι τῆς νεὼς εἶδος οὔτε τελειότης ὁ κυβερνήτης. ἔστι γὰρ ναῦς καὶ χωρὶς τοῦ κυβερνήτου.

23—26 ἐπεὶ τὸ εἶδος — σωμάτων] Denn wenn die Form nach dieser Ansicht fürwahr das Bildende [sic P in mg. PpB: die Form] der Hyle ist, nicht das aus den beiden Gegenständen Verbundene, so wird auch die Seele fürwahr die Form dieses Körpers sein, das ist die Leichtigkeit und die Wärme mit ihr und Trockenheit oder irgend eine der Formen der einfachen Körper. Ita pergit post lacunam, quam indicavi p. 18,22, praemissis his verbis: Es darf auch niemand sagen, dass die Form, welche in Bezug auf die Seele [angenommen wird] fürwahr der Unterschied sei, welcher zwischen den Körpern stattfindet, wegen der Hyle. Adscripsit autem interpres hebr. in P et p ad „es darf": „Von hier bis „einfachen Körper" ist schwierig und uns nicht verständlich".

---

3 τῷ] post ω paululum erasum V 4 ἐκείνου] inter ο et υ paululum erasum V 6 δὲ om. a 9 αὑτοῦ etc. scripsi: αὐτοῦ etc. Va 13 δέξατο a 18 ἐν ἄλλοις] cf. de an. II 151 v 18 sq. et de mixt. 142 v 16 sq. 22. 23 τὴν ὡς sic V: τὸ ὡς Usenerus 25 ἢ ἡ scripsi: ἡ et una litera erasa V: ἢ a 28 κἀκεῖνον a, saepe

ἀλλ' οὐδ' ὡς τῆς ἐνεργείας τῆς νεὼς εἶδος ὁ κυβερνήτης λέγοιτ' ἄν. γίνεται μὲν γὰρ τῇ νηῒ κατὰ τοιόνδε σχῆμα, ὅ ἐστιν εἶδος αὐτῆς, ὡς νεὼς ἡ ἐνέργεια, πρὸς δὲ ταύτην ὁ κυβερνήτης συντελεῖ τι. ἡ δὲ ψυχὴ εἶδος τοῦ ζῴου καθὸ ζῷον καὶ οὐχ, ὅτε ἐνεργεῖ μόνον, τότε ἔμψυχον. διὰ τοῦτο γὰρ ἡ πρώτη ἐντελέχεια ἡ ψυχή. ὅτι γὰρ μὴ ἐστιν ὁμοίως ὡς ἡ ψυχὴ τοῦ ζῴου, οὕτως καὶ ὁ κυβερνήτης εἶδος τῆς νεώς, δῆλον ἐκ τοῦ τὴν μὲν ναῦν μένειν, κἂν ὁ κυβερνήτης ἀπέλθῃ, τὸ δὲ ζῷον ἀπελθούσης τῆς ψυχῆς μηκέτι ζῷον εἶναι. διὸ μᾶλλον ἂν πρὸς τὸ σχῆμα τῆς νεὼς ἡ ψυχὴ τὴν ἀναλογίαν ἔχοι. κατὰ γὰρ τοῦτο τὸ εἶναι τῇ νηΐ, ὡς τῷ ζῴῳ κατὰ τὴν ψυχήν. ἔτι ὁ μὲν κυβερνήτης οὐ διὰ πάσης ἐστὶ τῆς νεώς. ἔμψυχον δὲ πᾶν τὸ τοῦ ζῴου σῶμα. ἀλλὰ καὶ εἰ οὕτως ἦν ἐν τῷ σώματι ἡ ψυχή, ἐνεδέχετ' ἂν αὐτὴν καὶ χωρισθεῖσαν αὐτοῦ εἰσιέναι πάλιν εἰς αὐτό. τί γὰρ ἔσται τὸ τοιαύτην οὖσαν τὴν ψυχὴν κατέχον ἐν τῷ σώματι; ἔτι οὐ κατὰ τὴν αὐτοῦ φύσιν ἔσται τὸ σῶμα κινούμενον· παρὰ φύσιν ἄρα. ἀλλὰ μὴν πᾶσα βίαιος κίνησις παρὰ φύσιν καὶ διὰ σωματικῆς ἀντερείσεως γινομένη, ὥστε γένοιτο ἂν κατὰ τὸν λόγον τοῦτον πάλιν ἡ ψυχὴ σῶμα. ἀλλὰ καὶ καθόλου τις ἂν εὐλόγως ἀπαιτήσαι τοὺς οὕτως λέγοντας τὴν ψυχὴν εἶδος εἶναι τοῦ σώματος, τί τὸ συνάγον καὶ τί τὸ συνέχον ἀμφότερα κεχωρισμένα τε ἀλλήλων ὄντα καὶ τὰς φύσεις διαφέροντα, ὡς ἕν τι γίνεσθαι τὸ ἐξ αὐτῶν καὶ συμμένειν; χαλεπὸν γὰρ εὑρεῖν τὸ αἴτιον τῆς τῶν τοιούτων τὴν ἀρχήν τε συνόδου καὶ μετὰ τὴν σύνοδον ἑνώσεως. |

Οὖσα δὲ ἡ ψυχὴ εἶδος τοῦ σώματος, ὁποῖον προείρηται, τῷ ἀχώριστον εἶναι τοῦ σώματος τὸ τοιοῦτον εἶδος καὶ συμφθείροιτο ἂν τῷ σώματι, ὅσῃ γε αὐτῆς φθαρτοῦ σώματος εἰδός ἐστιν. εἴη δ' ἂν καὶ ἀκίνητος καθ' αὑτήν. οὐ γὰρ πᾶν ἀνάγκη τὸ κινήσεως αἴτιόν τινι καὶ αὐτὸ κινεῖσθαι. ἀλλ' ὅσα μὲν ἀπολελυμένα καὶ κεχωρισμένα τῶν κινουμένων ὑπ' αὐτῶν τῇ ἁφῇ καὶ σωματικῶς αὐτὰ κινεῖ, ταῦτα ἀνάγκη κινούμενα καὶ αὐτὰ κινεῖν. τά τε γὰρ ὠθοῦντά τι καὶ τὰ ἕλκοντα καὶ τὰ δινοῦντα καὶ

1—3 ἀλλ' οὐδ' ὡς—συντελεῖ τι] wenn aber ohne Zweifel Jemand sagen möchte, dass der Steuermann eine Form sei für das Thun des Schiffes, da das Thun des Schiffes fürwahr von dem Schiffe stattfindet in derjenigen Gestalt, welche es hat, und diese ist seine Form, insofern es ein Schiff ist; der Steuermann ist derjenige, der beiträgt zur Vollkommenheit dieses Thuns 11 οὕτως] wie der Steuermann im Schiffe 12 τί γάρ] addit: wenn es so wäre 14 ἔσται] ist 17 εὐλόγως ἀπαιτήσαι] stellt eine notwendige Frage 18 καὶ τί τὸ συνέχον om. 19—20 ὡς - συμμένειν] so dass aus beiden Verbundenen eins wird, oder eins bleibt was es ist 21 καὶ μετὰ—ἑνώσεως] während ihr Zustand noch in ihrer Vereinigung nach der Verbindung so ist

1 οὐδ' ὡς scripsi: εἰ ὅλως Va 4 καὶ V: ἀλλ' a 5 γὰρ ante ἡ om. a 7 κ'ἂν V: κἂν a ἀπέλθῃ a 8 δι' ὁ an δ' ὁ dubium V 9 τῷ ζῴῳ scripsi: τῷ ζῶιον V: τὸ ζῶον a 14 αὐτοῦ Va 15 ἀντερείσεως a: ἀντερίσεως V 17 τις a: τίς V ἀπαιτῆσαι a 20 χαλεπὸν] χα supra lin. V 22 „ὅτι ἡ ψυχὴ ἀκίνητος αὐτὴ καθ' ἑαυτήν." οὖσα δὲ Va (nisi quod a αὐτή omisit.) 27 καὶ om. a 28 τὰ δεινοῦντα sic V: δινοῦντα a

τὰ ὀχοῦντα αὐτὰ κινούμενα οὕτως καὶ τοῖς ὑπ' αὐτῶν κινουμένοις αἴτια κινήσεως γίνεται. ὅσα δὲ δυνάμεις τε καὶ ἕξεις ὄντα τῶν κινουμένων αἴτια τοῖς ἔχουσιν αὐτὰ ποιᾶς κινήσεως γίνεται, ταῦτα οὐ μόνον οὐκ ἀνάγκη κινεῖν κινούμενα αὐτά, ἀλλὰ καὶ ἀδύνατον. ἀδύνατον γὰρ καθ' αὑτὸ κινεῖσθαι μὴ ὂν χωριστόν τε καὶ καθ' αὑτό. τοιαῦται δὲ αἵ τε ἕξεις καὶ αἱ δυνάμεις καὶ ὅλως τὰ τῶν σωμάτων εἴδη, ὧν οὖσα καὶ ἡ ψυχὴ δέδεικται. ὡς γὰρ ἡ βαρύτης αἰτία μὲν γίνεται τῇ γῇ τῆς εἰς τὸ κάτω φορᾶς καὶ κατὰ τοῦτ' αὐτῆς ἐστι κινητική, οὐ μὴν κινουμένη καθ' αὑτήν (πῶς γὰρ ἂν βαρύτης κινηθείη καθ' αὑτὴν εἶδος οὖσα καὶ φύσις τοῦ ἔχοντος αὐτὴν σώματος;), οὕτως καὶ ἡ ψυχὴ τῶν ζῴων πασῶν τῶν ὡς ζῴου κινήσεων ἔχουσα τὴν αἰτίαν, ἐπεὶ κατὰ ταύτην αὐτῷ ἡ τοῦ κινεῖσθαι τοῦτον τὸν τρόπον ἐξουσία, οὐκ αὐτὴ κινουμένη καθ' αὑτὴν οὕτως κινεῖ τὸ σῶμα· κινουμένῳ μέντοι τῷ σώματι συγκινεῖται καὶ αὐτή, καὶ γίνεται κινουμένη κατὰ συμβεβηκός, ὅπερ καὶ πᾶν εἶδος πάσχειν ἀνάγκη συνὸν καὶ συνοδεῦον τῷ σώματι, οὗ ἐστι, τῷ εἶναι ἀχώριστον αὐτοῦ. καὶ ὅταν γε τῆς κινήσεως τῷ σώματι τὸ εἶδος ἢ τὸ οἰκεῖον αἴτιον, τότε γίνεται τὸ εἶδος προηγουμένως μὲν κινοῦν τὸ σῶμα, κατὰ συμβεβηκὸς δὲ καὶ αὐτὸ τῷ συγκινεῖσθαι τῷ σώματι τὴν κίνησιν, ἣν αὐτὸ κινεῖ. ἡ γὰρ βαρύτης αὐτὴν κινεῖ κατὰ συμβεβηκός, ὅταν αὐτὴ τῆς εἰς τὸ κάτω φορᾶς τῷ ἔχοντι αὐτὴν σώματι αἰτία ᾖ. καὶ ἡ ψυχὴ δὴ κατὰ συμβεβηκὸς ἑαυτὴν κινήσει τότε, ὅταν τὸ ἔχον αὐτὴν ζῷον κινῆται κατ' αὐτήν. κινηθήσεται μὲν γὰρ κατὰ συμβεβηκὸς κἂν δι' ἄλλην τινὰ αἰτίαν τὸ ζῷον κινῆται κατὰ τόπον, ὑφ' αὑτῆς δὲ ἐν τῇ καθ' αὑτὴν γινομένῃ κινήσει μόνῃ. καὶ γὰρ εἰ, διότι κινεῖ, διὰ τοῦτο κινεῖσθαι λέγουσιν αὐτήν, καὶ ἐπεὶ καὶ ἠρεμίας αἰτία γίνεται τῷ σώματι, ἠρεμεῖν ἂν τότε λέγοιτο. τίς γὰρ ἡ ἀποκλήρωσις τοῦ κινεῖν μὲν αὐτὴν κινουμένην, μηκέτι δὲ ἠρεμοῦσαν ἠρεμίζειν τὸ σῶμα; εἰ δὲ τοῦτο, οὐκέτ' ἂν ἐν τῇ οὐσίᾳ αὐτῆς ἡ κίνησις εἴη. καὶ γὰρ εἰ τὸ οἰκεῖον ἔργον

---

1 ὀχοῦντα] was drückt (drängt) 8 οὐ μὴν—αὑτήν] nur dass die Schwere fürwahr nicht bewegt in dem sie sich selbst bewegt 10—12 οὕτως—ἔχουσα τὴν αἰτίαν—κινεῖ] so ist auch die Seele die Ursache — also bewegt sie, cetera paria 13 κινουμένῳ μέντοι—καὶ αὐτή] nur wenn der Leib sich bewegt, bewegt sie sich. [Ar. non μέντοι, sed μόνῳ legisse videtur] 14 συνὸν καὶ συνοδεῦον] verknüpft und gleich 15—16 καὶ—αἴτιον] Ist also die eigentümliche Form des Leibes Ursache seiner Bewegung 16 προηγουμένως] wegen ihres [der Form] Voranseins. 18 αὐτὴν] sich selbst 22—23 ὑφ' αὑτῆς—μόνῃ] so ist jedoch seine [des Thier's] Bewegung durch dieselbe bei [p var. lect.: wegen] der Bewegung welche durch sie allein stattfindet 23 καὶ om. 24 τῷ σώματι om. 25 τίς—ἀποκλήρωσις] denn es ist [etwas] was uns nicht genügt κινεῖν] addit: den Körper 27 καὶ om.

---

3 τοῖς] οι in lit. V οὐκ om. a 8 καὶ καθ' a 12 αὐτὴ] α in lit. V 13 συ-|≋-κινεῖται i. e. συν|≋-κινεῖται V αὐτή a: αυτη' V 14 post εἶδος quinque lit. erasae V 16 ειδος a 17 αὐτὸ scripsi: αὐτὸ Va 18 κίνοσιν a αὐτὴν scripsi: αὐτην Va 19 αὐτὴ a: αυτη V 22 κᾶν a 23 μόνῃ a 25 ἠρεμεῖν a: ἠρεμεῖν V ubique cf. καὶ τίς μὲν ἡ ἀποκλήρωσις τοῦ .. εἶναι 147 v 4 27 εἰ in lit. V

αὐτῆς ἐν ἠρεμίᾳ μᾶλλον ἢ κινήσει περιγίνεται, οἰκειότερον ἂν αὐτῇ καὶ κατὰ φύσιν μᾶλλον εἴη τὸ ἠρεμεῖν. ἀλλὰ μὴν τὸ πρῶτον. τὸ γὰρ νοεῖν, οἰκειότατον ὂν ἔργον αὐτῆς, ἠρεμούσῃ μᾶλλον, ἢ κινουμένῃ περιγίνεται. διὰ τοῦτο γὰρ τὸ νοεῖν ἐν γήρᾳ μᾶλλον ἢ νεότητι, καὶ νήφουσιν μᾶλλον ἢ μεθύουσιν, καὶ ἠρεμοῦντος τοῦ σώματος μᾶλλον ἢ φερομένου. μᾶλλον ἄρα αὐτῇ τὸ ἠρεμεῖν τοῦ κινεῖσθαι κατὰ φύσιν. διὸ ἀληθέστερον τὸ λέγειν μήτε κινεῖσθαι μήτε ἠρεμεῖν τὴν ψυχὴν καθ' αὑτήν, ἀλλ' ἑκάτερον τούτων ποιεῖν τὸ ζῷον κατ' αὐτήν. ὡς γὰρ οὐ λέγομεν βαδίζειν τὴν ψυχὴν ἢ ὁρᾶν ἢ ἀκούειν, ἀλλὰ κατὰ τὴν ψυχὴν τὸν ἄνθρωπον, οὕτως καί, ὅσας ἄλλας ἐνεργείας τε καὶ κινήσεις ὡς ἔμψυχός τε καὶ ὡς ἄνθρωπος ἐνεργεῖ, οὐχ ἡ ψυχή ἐστιν ἡ ἐνεργοῦσά τε καὶ κινουμένη, εἰ καὶ ἡμεῖς πολλάκις ἐπὶ τοῦτο φερόμεθα διὰ τὸ μὴ ὁμοίως εἶναι γνώριμον ἡμῖν τὸ κινούμενον ἐν ταῖς τοιαύταις ἐνεργείαις σῶμα. ἀλλ' ἔστιν καὶ ἐν ἐκείναις τὸ ζῷον καὶ ὁ ἄνθρωπος κατὰ τὴν ψυχὴν ἐνεργῶν, καθ' ἣν ἐστιν αὐτῷ τὸ εἶναι ἀνθρώπῳ. καὶ γὰρ ἥδεται καὶ λυπεῖται καὶ ὀργίζεται καὶ φοβεῖται καὶ φιλεῖ καὶ μισεῖ καὶ μανθάνει καὶ νοεῖ καὶ ἀναμιμνήσκεται καὶ μνημονεύει ὁ ἄνθρωπος κατὰ τὴν ψυχήν. δύναται γὰρ ταῦτα τῷ τοιοῦτον εἶδος ἔχειν καὶ τοιαύτην τελειότητα. ὡς γὰρ ὁ παλαιστὴς παλαίει κατὰ τὴν ἕξιν τὴν παλαιστικὴν αὐτῆς τῆς παλαιστικῆς οὐ παλαιούσης, καὶ ὁ αὐλητὴς αὐλεῖ κατὰ τὴν αὐλητικὴν οὐκ αὐλούσης τῆς αὐλητικῆς, καὶ ὁ ὑφαντὴς ὑφαίνει τῆς ὑφαντικῆς οὐχ ὑφαινούσης, οὕτως ἔχειν ὑπολητέον καὶ ἐπὶ τῶν ἐνεργειῶν, ἃς ἐνεργεῖ τὰ ψυχὴν ἔχοντα καθό ἐστιν ἔμψυχα. οὐδὲ γὰρ ἐπὶ τούτων ἡ ψυχή τινα τῶν ζωτικῶν ἐνεργειῶν ἐνεργεῖ καθ' αὑτήν, ἀλλὰ κατὰ ταύτην τὸ ἔχον αὐτήν. οὐδὲ γὰρ οὐδὲ ἐκεῖνο ἀληθὲς τὸ ὅτι τῆς ψυχῆς εἰσιν αἵδε αἱ ἐνέργειαι προσχρωμένης ὡς ὀργάνῳ τῷ σώματι. ὡς γὰρ ἐπὶ τῶν ἄλλων δυνάμεων καὶ ἕξεων οὐδεμία δύναμις οὐδὲ ἕξις ἐνεργεῖ χρωμένη τούτῳ οὗ ἐστιν ἕξις, ἀλλ' ἔμπαλιν τὰ τὰς δυνάμεις τε καὶ τὰς ἕξεις ἔχοντα κατὰ τὰς δυνάμεις τε καὶ τὰς ἕξεις ἐνεργεῖ (οὐδὲ γὰρ ἡ βαρύτης κάτω φέρεται προσχρωμένη τῇ γῇ, ἧς δύναμίς ἐστιν, ἀλλ' ἡ γῆ φέρεται κάτω κατὰ τὴν βαρύτητα δύναμιν οὖσαν αὐτῆς καὶ εἶδος

1 ἐν] durch περιγίνεται] vollendet wird 2 ἀλλὰ μὴν τὸ πρῶτον] Jedoch ist das Frühere wahr 4 νήφουσιν] deren Verstand lauter ist 6 ἀληθέστερον] die wahreste 9 τὸν ἄνθρωπον] addit: dies thue 11 κινουμένη] addit: durch sie 11—12 εἰ καὶ — διὰ τὸ] Wenn uns aber auch die Sache dazu trägt, dass wir häufig sagen [so geschieht das], weil 25 προσχρωμένης] weil sie sich bedient und unterstützt wird Item. v. 29

1 αὐτῃ V 2 cf. ἀλλὰ μὴν τὸ πρῶτον. τὸ ἄρα δεύτερον 147r42, 156r1 3 ἠρεμούσῃ a κινουμένη a 4 γῆρᾳ a 6 αὐτῇ a: αὐτη V 8 κατ' αὐτήν scripsi: καθ' αὑτήν Va 9 fortasse ἄνθρωπον ταῦτα ποιεῖν cf. int. hebr. 13 ἐκείναις] κε in lit. V 18 παλαίει V ex. Vict.: om. a 19 παλαιστικῆς a: παλαιστηκῆς V

21 ὑφάνει a ὑφαινοῦσ, ὁ in lit. V 24 οὐ γὰρ a 25 ὅτι V: ἄρα a αἵδε αἱ V: αἱ δὲ a 26 οὐδεμιᾶ a 27 τούτῳ V: τούτων a

καὶ τελειότητά τε καὶ ἐντελέχειαν), οὕτως καὶ ἐπὶ τῆς ψυχῆς ἔχει, ἐπεὶ καὶ αὐτὴ δύναμίς τε καὶ εἶδος καὶ ἐντελέχειά ἐστι τοῦ ἔχοντος αὐτὴν σώματος. ἡ γὰρ γένεσις αὐτῆς ἐκ τῆς ποιᾶς μίξεώς τε καὶ κράσεως τῶν πρώτων σωμάτων, ὡς ἐδείχθη. καὶ τὸ μὲν ἐνεργοῦν κατὰ τὴν ψυχὴν ἐκεῖνο, ἐν ᾧ τὸ τῆς ψυχῆς ἡγεμονικόν | (ἐκεῖνο γὰρ καὶ τὸ πρώτως τε ἔμψυχον καὶ καθ' αὑτό), πρὸς δὲ τὰς κατὰ ταύτην ἐνεργείας χρῆται τοῖς ὀργανικοῖς μέρεσιν τοῦ σώματος. τοῖς γὰρ ζῴοις τὰ ὄργανα, οἷς πρὸς τὰς κατὰ τὴν ψυχὴν ἐνεργείας χρῆται, σύμφυτά τε καὶ μέρη τοῦ σώματος, ἀλλ' οὐχ ὡς ἐπὶ τῶν τεχνῶν κεχωρισμένα. τοιαῦτα γὰρ μέρη τοῦ σώματος νεῦρά τε καὶ χεῖρες καὶ πόδες καὶ τὰ αἰσθητήρια. ἔστιν γὰρ αἰσθητήριον μόριον σώματος ὀργανικοῦ πρὸς ἀντίληψιν αἰσθητοῦ. ἔστι δὲ ἡ ψυχὴ τοῖς ἐμψύχοις ἀρχή τε καὶ αἰτία, οὐ μόνον ὡς τῶν ζωτικῶν κινήσεων ποιητικὴ αὐτὴ ἐν αὐτοῖς, ἀλλὰ καὶ ἡ κατὰ τὸ εἶδος αἰτία, ὡς δέδεικται, καὶ πρὸς τούτοις καὶ ὡς οὗ ἕνεκα, τουτέστιν ἡ ὡς τέλος, εἴ γε τέλος μὲν καὶ τελειότης ἥδε τῶν ψυχὴν ἐχόντων, τοῦ δὲ τέλους χάριν τὰ πρὸ τοῦ τέλους. πάντα γὰρ τὰ κατὰ φύσιν γινόμενα ἕνεκά του γίνεται, τοῦτ' ἔστιν τέλος ἐν αὐτοῖς.

Οὐ δεῖ δὲ ὑπολαμβάνειν τὴν ψυχὴν ἁρμονίαν λέγειν τοὺς λέγοντας αὐτὴν εἶδος εἶναι γινόμενον ἐπὶ τῇ τοιᾷδε μίξει τε καὶ κράσει τῶν ὑποκειμένων αὐτῇ σωμάτων. οὐ γὰρ εἰ χωρὶς τῆς τοιαύτης κράσεώς τε καὶ μίξεως ἀδύνατον αὐτὴν εἶναι, ἤδη ταὐτὸν αὐτῇ γίνεται. οὐ γὰρ ἡ τοιάδε τῶν σωμάτων κρᾶσις ἡ ψυχή, ὅπερ ἦν ἡ ἁρμονία, ἀλλ' ἡ ἐπὶ τῇ τοιᾷδε κράσει δύναμις γεννωμένη, ἀνάλογον ἔχουσα ταῖς δυνάμεσιν τῶν ἰατρικῶν φαρμάκων ταῖς ἀθροιζομέναις ἐκ μίξεως πλειόνων. καὶ γὰρ ἐν ἐκείνοις ἡ μὲν τῶν φαρμάκων μῖξίς τε καὶ σύνθεσις καὶ ὁ λόγος, καθ' ὃν τὸ μὲν αὐτῶν διπλάσιόν ἐστι, τὸ δ' ἥμισυ, τὸ δ' ἡμιόλιον, ἂν οὕτω τύχῃ, ἀναλογίαν τινὰ πρὸς ἁρμονίαν ἔχει. οὐ μέντοι ἔτι καὶ ἡ ἐκ τῆς κατὰ τὴν ἁρμονίαν ταύτην καὶ τὸν λόγον τῶν φαρμάκων μίξεως δύναμις γεννωμένη ἁρμονία. ἡ μὲν γὰρ ἁρμονία ὁ λόγος καὶ ἡ σύνθεσις τῶν μεμιγμένων, ἡ

8 σύμφυτά] elementar oder zur Grundlage gehörig 9—10 τοιαῦτα—αἰσθητήρια] denn jene sind in der Stufe der Gefässe der Hände der Füsse der Sinne zum Leibe [i. e. verhalten sich zu] 11 ὀργανικοῦ om. πρὸς ἀντίληψιν] addit: geeignet zu 14 ὡς τέλος] addit: welcher beabsichtigt ist durch dasselbe 15 τὰ πρὸ τοῦ τέλους] das was um des Endzweckes willen geschieht 18 ἁρμονίαν] Verbindung ut solet 20 τε καὶ μίξεως om. 23—24 ἀνάλογον—πλειόνων] es verhält sich damit so wie mit den medicinischen aus vielen Mischungen zusammengesetzten Mitteln 26 ἂν—τύχῃ om.

---

2 ἐντελέχεια καὶ εἶδος a 7 ὄργανα] alterum α supra lin. V 8 ἐνεργείαις a 13 αὐτὴ ἐν αὐτοῖς a: αυτη εν αυτοις V 14 καὶ ante ὡς om. a εἴ γε V: εἰ a 15 ἥδε a: ἡ δὲ V 16—17 τέλους ἐν αὐταῖς a 18 „ὅτι οὐκ ἔστιν ἁρμονία ἡ ψυχή." οὐ δεῖ Va 19 τοιάδε a 20—21 μίξεώς τε καὶ κράσεως a 21 αυτη V: αὐτῇ a 22 τοιᾶδε a 23 γενομένη a 24 μίξεων legisse videtur Arabs sed cf. μίξεως καὶ συνθέσεώς τινων p. 26,14 ἡ γὰρ ἐκείνοις a 26 τύχῃ a 28 γενομένη a 29 ἁρμονία] μο supra lin. V

δὲ τῆς ἁπλάστου δύναμις οὐκ ἔστιν ὁ λόγος καθ' ὃν μέμικται τὰ μεμιγμένα. τοιοῦτον δὲ καὶ ἡ ψυχή. ἡ γὰρ δύναμις καὶ τὸ εἶδος τὸ ἐπιγινόμενον τῇ κατὰ τὸν τοιόνδε λόγον κράσει τῶν σωμάτων ψυχή, ἀλλ' οὐχ ὁ λόγος τῆς κράσεως οὐδὲ ἡ σύνθεσις. μᾶλλον γὰρ ἂν τὴν ὑγίειάν τις εὐλόγως ἁρμονίαν, ἢ τὴν ψυχὴν λέγοι. ἐγγυτέρω γὰρ ἁρμονίας ἥδε τῆς ψυχῆς. ἡ μὲν γὰρ ὑγίεια συμμετρία τῶνδέ τινων, ἥτις συμμετρία σύνθεσίς τινων καὶ μῖξίς ἐστι κατὰ λόγον τινά, ἡ δὲ ψυχὴ οὐχ ἡ συμμετρία, ἀλλ' ἡ ἐπὶ τῇ συμμετρίᾳ δύναμις οὐκ ἄνευ μὲν ταύτης εἶναι δυναμένη, οὐκ οὖσα δὲ αὕτη. διχῶς δὲ τῆς ἁρμονίας λεγομένης, τῆς μὲν ἐπὶ τῆς τῶν σωμάτων συνθέσεως (ὅταν γὰρ οὕτως ᾖ συγκείμενα, ὡς μηδὲν αὐτῶν συγγενὲς παραδέχεσθαι μεταξύ, ἡρμόσθαι λέγεται, καὶ ἁρμονία ἡ τοιάδε σύνθεσις), τῆς δὲ ἐπὶ τοῦ λόγου τῶν μιγνυμένων, οἷον εἰ κατὰ διπλάσιον λόγον ⟨ἢ⟩ ἐπίτριτον εἴη μεμιγμένον (τὸ γὰρ οὕτως μεμιγμένον, φέρ' εἰπεῖν ὡς τὸ μὲν εἶναι διπλάσιον, τὸ δὲ ἥμισυ τῶν ἐν τῇ μίξει, καθ' ἁρμονίαν τινὰ μεμῖχθαι δοκεῖ καὶ εἶναι καὶ ἡ τοιάδε μῖξις ἁρμονία), ἐπὶ τῆς πρώτης ἁρμονίας οὐ ταὐτὸν ἡ ἁρμονία καὶ τὸ γινόμενον ἐκ τῶν ἡρμοσμένων. οὐ γὰρ ἐπεὶ καθ' ἁρμονίαν παράκειται τὰ ξύλα ἀλλήλοις τὰ ἐν τῷ βάθρῳ, διὰ τοῦτο τὸ βάθρον ἁρμονία. οὐδ' ἐπεὶ οἱ λίθοι εἰσὶν καθ' ἁρμονίαν συγκείμενοι, ἤδη καὶ ὁ νεὼς ἁρμονία ὁ ἐκ τῆς τούτων γεγονὼς ἁρμονίας. ὡς δὲ ἐπὶ ταύτης τῆς ἁρμονίας ἄλλο ἡ ἁρμονία καὶ ἄλλο τὸ γεγονὸς ἐκ τῶν καθ' ἁρμονίαν συγκειμένων, οὕτως ἔχει καὶ ἐπὶ τῆς κατὰ τὸν λόγον ἁρμονίας. οὐ γὰρ εἴ τινα ἐν λόγῳ τινὶ μέμικται καὶ καθ' ἁρμονίαν, ἤδη καὶ τὸ ἐκ τῆς τοιαύτης γεγονὸς μίξεως ἁρμονία τε καὶ λόγος, οὐδὲ ταὐτὸν τὸ ἡρμό-

2 τοιοῦτον—ψυχή om. 2—3 ἡ γὰρ—ψυχή] Ebenso ist auch die Seele das Verhältniss und die Zusammensetzung der Kraft und die Form, welche entsteht durch die Mischung der Körper in irgend einem der Verhältnisse 4—5 μᾶλλον—λέγοι] denn das Wahrscheinlichste und das am ehesten sich Ergebende ist, dass man sage, dass die Verbindung des Leibes die Gesundheit sei, nicht die Seele 6 συμμετρία] addit: irgend eine 8 δύναμις] addit: welche entsteht 10 συγκείμενα] angeordnet 10—11 ὡς—μεταξύ] wobei es unmöglich ist, dass sie zwischen sich Etwas von anderer Gattung aufnehmen 12—15 οἷον εἰ κατὰ—ἁρμονία] z. B. dass das Ding im Verhältniss des doppelten, oder im Verhältniss der Aehnlichkeit (Gleichheit) und des Drittels gemischt sei. Denn was gemischt wird, so dass in ihm zum Beispiel das eine das Doppelte des anderen und das andere die Hälfte jenes Gemengten, das hält man für ein Gemengtes in irgend einer Verbindung und dass es verbunden (harmonisirt) sei, und man hält diese Mengung für eine Verbindung 17 παράκειται] geordnet ist βάθρῳ] Sessel 18 συγκείμενοι] geordnet, et addit: in einer Mauer 19 νεὼς] Mauer 22 τινα] die Dinge, var. lect.: zwei Dinge

3 ψυχὴ] ψ in lit. V ὁ V: οἱ a 4 ὑγιειαν a: ὑγείαν V τις] ι in lit. V 9 αὕτη scripsi: αυτη V: αὐτή a 12 ἢ addidi cf. vers. hebr. 13 μεμιγμένον a: μεμιγμεν· V 15 καὶ ἡρμοσμένον εἶναι vertit Arabs offensus fortasse solita καὶ particulae abundantia. Cf. καὶ πρὸς τούτοις καὶ ὡς p. 24,14 ἀλλὰ καὶ ἐμφαίνεταί τινα χρώματα καὶ ἐν τῷ 153r16 et Ind. 16 καὶ] κα in lit. V 18 ἁρμονίαν a 23 καὶ καὶ a

σθαι τὴν κιθάραν τῷ τοιοῦτον ἠχεῖν. ἥρμοσται μὲν γὰρ οὐδὲν ἧττον καὶ μηδὲν ἠχοῦσα· ὁ δὲ ἐκ τῆς τοιαύτης καὶ ἐπὶ τῇ τοιαύτῃ ἁρμονίᾳ γινόμενος ψόφος ἄλλος τῆς ἁρμονίας ἐφ' ἣ γίνεται. λέγοι δ' ἄν τις μηδὲ πάντων τῶν κατὰ λόγον τινὰ μιγνυμένων ἁρμονίαν εἶναι τὸν λόγον. οὐ γὰρ ἁρμονία ὁ διπλάσιος λόγος, ὅταν ἐν οἴνῳ καὶ μέλιτι ᾖ. ἐν γὰρ ποιᾷ συνθέσει μελῶν τε καὶ ῥυθμῶν ἡ ἁρμονία, ἀλλ' οὐ τῶν τυχόντων οὐδὲ κατὰ τὸν τυχόντα γινομένη λόγον. πᾶσα μὲν γὰρ ἁρμονία ἐν ὡρισμένῳ λόγῳ. οὐκ ἐν ὡρισμένῳ δὲ λόγῳ ἡ τῶν θερμῶν τε καὶ ψυχρῶν καὶ ξηρῶν καὶ ὑγρῶν μῖξις, τουτέστιν ἡ τῶν στοιχείων, ἧς μίξεως εἶδος ἡ ψυχή. ἡ γὰρ αὐτὴ ψυχὴ μένει καὶ ἐπιτεινομένων καὶ ἀνιεμένων ἕως τινὸς τῶν ἐν τῇ μίξει δυνάμεων. ὅλως γὰρ εἰ λέγοι τις ἁρμονίαν τὴν τῶν τυχόντων μῖξιν κατὰ λόγον τινά, συμβήσεται τούτῳ πάντα τὰ συγκείμενα ἡρμόσθαι λέγειν. εὑρεθήσεται γάρ τις λόγος ἐν πᾶσιν τοῖς συγκειμένοις. μᾶλλον δὲ κατὰ τοὺς τὴν ψυχὴν γεννῶντας ἐκ ποιᾶς μίξεώς τε καὶ συνθέσεώς τινων εἴη ἂν ἡ ψυχὴ ἤτοι ἁρμονία ἢ σύνθεσις καθ' ἁρμονίαν τινῶν σωμάτων. ὧν εἰσιν οἵ τε ἀπὸ τῆς Στοᾶς, πνεῦμα αὐτὴν λέγοντες εἶναι συγκείμενόν πως ἔκ τε πυρὸς καὶ ἀέρος, καὶ οἱ περὶ Ἐπίκουρον· καὶ γὰρ κατ' ἐκείνους σύνθετος ἡ ψυχὴ ἐκ πλειόνων τινῶν καὶ διαφερόντων σωμάτων. καὶ κατὰ Πλάτωνα δὲ ἐκ συνθέσεώς τινων ἡ τῆς ψυχῆς οὐσία κατὰ λόγον τινὰ συγκειμένων, ὡς ἐν τῷ Τιμαίῳ λέγει. μᾶλλον, ὡς εἶπον, κατὰ τοὺς | οὕτω λέγοντας 128r εἴη ἂν ἁρμονία ἡ ψυχή, ἢ κατὰ τὸν λέγοντα αὐτὴν ἕξιν τε καὶ δύναμιν καὶ εἶδος ἐπιγινόμενον ποιᾷ κράσει τε καὶ μίξει τῶν ἁπλῶν σωμάτων. καθ' οὓς μὲν γὰρ αὐτὰ τὰ συγκείμενά πώς ἐστιν ἡ ψυχή, κατὰ τούτους παρὰ τῆς ποιᾶς συνθέσεως τὸ ψυχῇ εἶναι τῷ συγκειμένῳ. ἤτις σύνθεσις εἰ ἔστιν ἁρμονία, παρὰ τῆς ἁρμονίας ἂν τὸ ψυχῇ εἶναι ἔχοι τὸ συγκείμενον. καθ' ὃν δέ ἐστιν ἡ ψυχὴ οὐχ ἁπλῶς τὰ συγκείμενα, ἀλλ' ἐπὶ τῇ ποιᾷ τῶν πρώτων σωμάτων κράσει τε καὶ μίξει δύναμις γεννωμένη, ἡ μὲν κρᾶσις ὕλης ἕξει λόγον, τὸ δ' εἶναι τῇ ψυχῇ οὐ κατὰ τὴν ἁρμονίαν τε καὶ κρᾶσιν ἔσται, ὡς ἐκείνοις ἔπεται λέγειν, ἀλλὰ κατὰ τὴν ἐπ' αὐτῇ δύναμιν γενωμένην.

1 τὴν κιθάραν] addit: wenn sie geschlagen wird 1—2 καὶ μηδὲν ἠχοῦσα] auch wenn sie nicht geschlagen und ein Ton aus ihr gehört wird 2 δὲ om. καὶ ἐπὶ τῇ τοιαύτῃ om. 3 ἄλλος] etwas anderes 7—9 οὐκ—μῖξις] Dies (so) ist aber die Mengung des Warmen etc. 9 γὰρ om. Hebr. 9—11 ἡ γὰρ—δυνάμεων] Es bleibt die Seele in ihrem Zustande, sei sie stark oder schwach, bis zu einem gewissen Grade der Schwäche und der Stärke, welche in jener Mengung 15 ἢ—σωμάτων] oder Zusammensetzung für eine Art der Verbindung der Körper 16 Στοᾶς] cf. p. 17 πνεῦμα] Paarung 17 κατ' ἐκείνους] Epikur 23 παρὰ] in 24 τῷ συγκειμένῳ] dem Verbundenen 25 τὸ συγκείμενον] cf. 24 28 ἁρμονίαν τε καὶ κρᾶσιν] Verbindung der Mischung

1 ἠχεῖν V ex. Viet.: ἔχειν a 5 ποιᾶ a S καὶ ξηρῶν] καὶ ξ in lit. V 12 τούτῳ a 20 Τιμαίῳ] p. 34c sq. 21 ἡ ex. Viet.: ἡ Va 24 τῆς ἐκ ποιᾶς a ψυχῇ a: ψυχὴ V 25 ψυχῇ a: ψυχὴ V

Τίς μὲν οὖν ἡ τῆς ψυχῆς οὐσία, καὶ τίνα τὰ ἑπόμενα αὐτῇ. ὡς ἦν οἷόν τε δι' ὀλίγων καθόλου συλλέξαντας εἰπεῖν περὶ αὐτῆς, δεδηλώκαμεν· ἀκόλουθον δὲ ἑξῆς περὶ τῶν μερῶν αὐτῆς εἰπεῖν, πόσα τε καὶ τίνα, δείξαντας πρῶτον, ὅτι πλείω τέ ἐστι καὶ πεπερασμένα. τοῦ μὲν οὖν πλείους δυνάμεις τῆς ψυχῆς εἶναι καὶ μὴ τὴν αὐτὴν ταῖς μεταβολαῖς καὶ ἄλλοτε πρὸς ἄλλα τε καὶ δι' ἄλλων ἐνεργείαις δοκεῖν πλείους εἶναι, ὡς Δημοκρίτῳ τε καὶ ἄλλοις τισὶν δοκεῖ, ἱκανὴ δεῖξαι καὶ ἡ ἐπὶ τῶν ἐγκρατῶν τε καὶ ἀκρατῶν μάχη πρὸς ἀλλήλας τῶν δυνάμεων. φανερώτατα δ' ἂν δεικνύοιτο καὶ διὰ τοῦ μηδὲν τὴν φύσιν δοκεῖν μάτην ποιεῖν, εἶναι δέ τινα ⟨ζῷα⟩, ἃ δύναμιν ψυχῆς ἔχοντα μηκέτ' ἐνεργεῖν κατὰ τὰς ἄλλας ἐνεργείας δύναται καίτοι τῶν πραγμάτων ὄντων περὶ ἃ αἱ κατ' ἐκείνας τὰς δυνάμεις ἐνέργειαι. εἰ γὰρ λέγοι τις δι' ὀργάνων ἀπορίαν ἐν τούτοις μὴ γίνεσθαι τὰς ἐνεργείας, ἀναιρήσει τὸ μηδὲν μάτην ποιεῖν τὴν φύσιν. μάτην γὰρ ἔσται πλείους ἐνεργείας ἐνεργεῖν ἡ ψυχὴ ἡ ἐν ἐκείνοις δυναμένη, εἴ γε ὑπ' αὐτῆς τῆς φύσεως ἐνεργεῖν καὶ αὐτὰς δι' ἀπορίαν ὀργάνων κωλύεται. ἔτι τε πῶς οὐκ ἄτοπον τὸ τὸν ἄνθρωπον λέγειν τῶν βατράχων καὶ τῶν τυχόντων ζῴων διαφέρειν μὴ τῇ τῆς ψυχῆς δυνάμει, ἀλλὰ ὀργανικῷ τινι σώματι; οὐδέν τε διοίσει τῆς ὑπό τινων λεγομένης μετεμψυχώσεως ἥδε ἡ δόξα, εἰ μὴ παρὰ τὰς τῆς ψυχῆς δυνάμεις, ἀλλὰ παρὰ τὰ ὄργανα ἡ τῶν ζῴων καὶ τῶν ἐνεργειῶν αὐτῶν γίνεται διαφορά. ἡ αὐτὴ μὲν γὰρ ἐν πᾶσι τοῖς ἐμψύχοις

1 καὶ—αὐτῇ] von den Dingen welche ihr zukommen 3 ἀκόλουθον] daran knüpft sich und damit verbindet sich 4—8 τοῦ μὲν—δυνάμεων] wir sagen es genügt zur Nachweisung, dass die Kräfte der Seele mehr als eine sind, und dass sie fürwahr nicht eine Kraft sind, und [damit] geglaubt werde, dass sie mehr als eine sind in ihren Veränderungen und ihren Wirkungen zu verschiedenen Zeiten und in verschiedenen Dingen, wie Demokritos und andere Leute meinen, bei (sic) dem Krieg welcher unter den Kräften stattfindet zwischen der einen und der anderen, indem der seine Seele bewältigt und sie überwindet [i. e. sich beherrscht] 8 φανερώτατα] klar und im höchsten Grade offenbar 9—10 εἶναι—δύναται] Wir finden manches Thier, welches eine der Kräfte der Seele besitzt, aber die anderen Wirkungen derselben nicht gleichfalls ausüben kann 11 καίτοι—ἐνέργειαι] obwohl die Zustände (Gegenstände), deren es für die Wirkungen bedarf, die man durch jene Kräfte ausübt, vorhanden sind 12 δι' —ἀπορίαν] wegen des Mangels an Organen μὴ] in interpretatione arabica deesse notat Hebraeus 13 μάτην] zwecklos inhaltlos 15 ἐνεργεῖν καὶ αὐτὰς] jene Wirkungen auszuüben δι' ἀπορίαν ὀργάνων] dadurch dass sie entzieht und mangeln lässt die Organe κωλύεται] addit: bei einigen von ihnen 16 τῶν τυχόντων ζῴων] dem geringsten der Thiere 18 οὐδὲν διοίσει .. ἥδε ἡ δόξα] diese Ansicht widerspricht nicht [der Ansicht]

2 οἰόνται V 3 „πόσα καὶ τίνα μέρη τῆς ψυχῆς." ἀκόλουθον δὲ V: πόσα—ψυχῆς post γεννωμένην (26,29) inserit a: Post δεδηλώκαμεν in interpretatione hebraica maior incisio 7 ἐγκράτων .. ἀκράτων Va 9 μάτην δοκεῖν a ζῷα addidi cf. int. hebr. 10 κατὰ] Arabs καὶ legisse videtur ἐνεργείας insiticium videtur 12 ἀπορίαν om. m¹ ἀνεπιτηδειότητα ἢ ἀπορίαν m² in mg. adscripsit V: om. a cf. Praef. 13 ante τὸ paululum erasum V μά τὴν V 15 καὶ αὐτὰς] cf. p. 25,15 et Ind. 17 ὀργανικῷ a 18 τε cf. p. 15,18

ἔσται ψυχή, κατὰ δὲ τὰς τῶν σωμάτων διαφορὰς διαφόρως ἐνεργήσει· ὃ καὶ κἀκεῖνοι λέγουσιν.

Ὅτι μὲν οὖν πλείους αἱ τῆς ψυχῆς δυνάμεις, δῆλον ἐκ τῶν εἰρημένων, ὅτι δ' οὐκ ἄπειροι, καὶ τοῦτο δῆλον ἐκ τοῦ μηδὲν μὲν μάτην ποιεῖν τὴν φύσιν, μάτην δὲ λέγεσθαι τὴν τῶν δυνάμεων ἀπειρίαν, εἴ γε μὴ οἷόν τέ ἐστι ζῷόν τι κατὰ ἀπείρους δυνάμεις ἐνεργεῖν. ἔτι ὡς τὰ τοῦ σώματος τοῦ ἔχοντος τὴν ψυχὴν μόρια πεπερασμένα, εὔλογον καὶ τὰ τῆς ἐν αὐτῷ ψυχῆς. ἔτι πάντα ἡ φύσις ἕνεκά του ποιεῖ, καὶ ἐν οἷς τὸ μὲν πρῶτόν ἐστι, τὸ δὲ δεύτερον, ἀεὶ τὸ πρῶτον ἐπὶ τὸ δεύτερον ἔχει τὴν ἀναφοράν. ἡ δὲ ψυχὴ φύσις καὶ φύσει τε καὶ τάξις τίς ἐστι τῶν ἐν αὐτῇ δυνάμεων. ἔστιν ἄρα τις ἐν αὐταῖς τελευταία, ἧς χάριν αἱ πρὸ αὐτῆς. ἀναιρεθήσεται γὰρ τὸ τὴν φύσιν ἕνεκά του ποιεῖν πάντα, εἰ ἐπ' ἄπειρον ἡ πρόοδος εἴη τῶν τῆς ψυχῆς δυνάμεων· ἐπεὶ δὲ πλείους τε αἱ τῆς ψυχῆς δυνάμεις καὶ πεπερασμέναι, ἐπισκεπτέον, πόσαι τε καὶ τίνες. ἐπεὶ γάρ, ὡς ἤδη προείρηται, τῶν ἐχόντων ἐν αὐτοῖς τὸ πρῶτόν τε καὶ δεύτερον καὶ τὸ ἀτελέστερόν τε καὶ τελειότερον οὐχ οἷόν τε διά τινος κοινοῦ λόγου τὴν οὐσίαν ἀκριβῶς τε καὶ προσεχῶς παραστῆσαι τῷ μάλιστα μὲν ἐν τοῖς τελειοτέροις διασημαίνεσθαι τὴν τοῦ πράγματος φύσιν, τὸν δὲ κοινὸν λόγον μὴ δύνασθαι τούτων εἶναι δηλωτικὸν τῷ μηκέτ' ἐφαρμόζειν τὸν τοιοῦτον λόγον τοῖς ἀτελεστέροις, οὕτως δὲ μηδὲ κοινὸν ἔτι μένειν (τῶν τοιούτων δὲ καὶ ἡ ψυχή· εἰσὶν γὰρ τῶν τῆς ψυχῆς δυνάμεων αἱ μὲν πρῶταί τε καὶ ἁπλούστεραι, διὰ τοῦτο δὲ καὶ ἀτελέστεραι, αἱ δὲ μετὰ ταύτας καὶ ἐπὶ ταῖσδε πάλιν ἄλλαι, καὶ οὕτως ἔχουσι πρὸς ἀλλήλας ἅπασαι, ὡς τὴν μὲν πρώτην δύνασθαι χωρίζεσθαι τῶν μετ' αὐτάς, τὰς δὲ ὑστέρας ἄνευ τῶν πρώτων εἶναι μὴ δύνασθαι· γίνεται δὲ ἡμῖν ὡς προεῖπον ὁ λόγος περὶ ψυχῆς τῆς τῶν ἐν γενέσει καὶ φθορᾷ· ταύτης γὰρ καὶ ὁ προειρημένος ὁρισμός· ἡ γὰρ τῶν θεῶν ψυχή, εἰ καὶ ταύτην δεῖ ψυχὴν καλεῖν, ὁμωνύμως ἂν ταύτῃ ψυχὴ λέγοιτο), ἀναγκαῖον τῷ περὶ ψυχῆς λέγοντι περὶ ἑκάστης δυνάμεως

5 μάτην—ἀπειρίαν] das Dasein unendlicher Kräfte im Thiere hat aber keinen Zweck 6 κατὰ] mit 8 ψυχῆς] addit: unendlich sind 9 ἔχει τὴν ἀναφοράν] steigt, erhebt sich zu 10 δὲ om. καὶ φύσει τε om. 11 ἔστιν ἄρα—αὐτῆς] also ist in ihr eine Kraft, welche die würdigste ist unter den Kräften und sie ist es, um derentwillen das, was um ihretwillen 13 πρόοδος] Uebergang 14 (δυνάμεις) καὶ] jedoch 15 προείρηται] vorausgeschickt und gesagt 16 κοινοῦ λόγου] Definition 17 παραστῆσαι] erkennen 19—20 τῷ μηκέτ'—ἔτι μένειν] denn eine derartige Rede hängt auch mit dem Mangelhafteren zusammen und wäre dann nicht allgemein beide Gegenstände umfassend 20—21 τῶν τοιούτων—ψυχή] mit der Seele aber es sich ebenso verhält 27—28 ὁμωνύμως—λέγοιτο] so sagt man von ihr Seele nur in der Weise des Zusammentreffens mit dieser im Namen

3 „ὅτι οὐκ ἄπειροι αἱ τῆς ψυχῆς δυνάμεις." ὅτι μὲν Va 4 μὲν om. a 5 fortasse ἔσεσθαι cf. μάτην γὰρ ἔσται πλείους ἐνεργείας ἐνεργεῖν ἡ ψυχὴ ἡ ἐν ἐκείνοις δυναμένη p. 27,13 et Ind. s. v. Futurum 8 ποιεῖν a 10 φύσις τε καὶ φύσει καὶ a: φύσις καὶ φύσει ⟨σύνθεσίς⟩ τε καὶ τάξις Usenerus 12 ἐπαπειρον V 14 ὡς ἤδη προείρηται] p. 17,1 sq. 15 τὸ δεύτερον a 16 οἷόνται V 26 φθορά a 27 ταύτῃ a

αὐτῆς ἰδίᾳ ποιήσασθαι τὸν λόγον. τῆς δὴ ψυχῆς τῆς τῶν ἐμψύχων τῶν ἐν γενέσει τε καὶ φθορᾷ πρώτη μέν ἐστιν ἡ θρεπτική, ᾗ συνέζευκται ἥ τε αὐξητικὴ καὶ ἡ γεννητική. ταύτῃ γὰρ τῇ δυνάμει πρώτῃ τὸ ἔμψυχον τοῦ ἀψύχου χωρίζεται. ζῆν γοῦν ἤδη τῶν ταύτην ἐχόντων τὴν δύναμιν κατηγοροῦμεν, ὃ διὰ ψυχῆς παρουσίαν | γίνεται. καὶ ἔστι τὸ ζῆν πᾶσιν τοῖς 128v
ἐμψύχοις, οὐ τοῖς φυτοῖς μόνον παρὰ τῆς θρεπτικῆς δυνάμεως, ὡς τοῖς αἰσθανομένοις τὸ αἰσθάνεσθαι παρὰ τῆς αἰσθητικῆς. ἀποθνήσκει τε γὰρ τὰ ζῶντα ἐξ ἀνάγκης ταύτης τῆς δυνάμεως στερηθέντα καὶ ζῇ πάντα ταύτης κεκοινωνηκότα, καὶ ὅσα πλείους δυνάμεις ἔχει τῇ τοῦ πρώτου ζῇ παρουσίᾳ. διὸ καὶ τὸ ζῆν ὁριζόμεθα τῇ δι' αὑτοῦ τροφῇ τε καὶ αὐξήσει. δευτέρα δὲ ψυχὴ ἡ αἰσθητική τε καὶ ὁρμητική, ἔτι δὲ ἥ τε ὀρεκτικὴ καὶ φανταστική, αἵτινες αὐταὶ μὲν οὐχ οἷαί τε ἔν τινι χωρὶς τῆς θρεπτικῆς γενέσθαι, ἡ μέντοι θρεπτικὴ καὶ χωρὶς τούτων ὑφίσταται. τοιαύτη γὰρ ἡ τῶν φυτῶν. ὅσα δὲ τὴν αἰσθητικὴν ἔχει (ταῦτα δέ ἐστι τὰ ζῷα· ταύτῃ γὰρ τῇ δυνάμει τὸ ζῷον ὁρίζεται), ταῦτα ἐξ ἀνάγκης ἔχει καὶ τὴν θρεπτικήν. ἀλλὰ καὶ οἷς ἡ ὀρεκτική τε καὶ φανταστική, τούτοις καὶ ἡ αἰσθητικὴ συνέζευκται. καὶ γὰρ τῇ αἰσθητικῇ πάλιν ἥ τε ὀρεκτικὴ καὶ ἡ φανταστική. καὶ οἷς δὲ ἡ ὁρμητική τε καὶ κατὰ τόπον κινητική, τούτοις καὶ ἡ φανταστική τε καὶ ἡ αἰσθητική. πᾶν μὲν γὰρ τὸ κατὰ τὴν ἐν αὐτῷ ψυχὴν κατὰ τόπον τε καὶ μεταβατικῶς κινούμενον καὶ φανταστικὸν καὶ αἰσθητικὸν καὶ θρεπτικόν ἐστιν ἐξ ἀνάγκης. οὐ μὴν πᾶν τὸ φανταστικόν τε καὶ αἰσθητικὸν ἤδη καὶ μεταβατικῶς κινητικόν. ἔσχατον δὲ εἶδος ψυχικῶν δυνάμεων, ὃ λογικὸν μὲν κοινῶς καλεῖται, εἰσὶν δὲ ἐν αὐτῷ δυνάμεις ᾗ τε βουλευτικὴ καὶ δοξαστική, καὶ ἡ ἐπιστημονική τε καὶ νοητική, αἳ καὶ τελειόταται τῶν τῆς ψυχῆς εἰσι δυνάμεων τῷ τε τὸ τιμιώτερον ἐν αὐταῖς ἔχειν καὶ τῷ τὴν ἔχουσαν τάσδε τὰς δυνάμεις ψυχὴν καὶ τὰς ἄλλας

4—5 ζῆν—γίνεται] das Lebende nämlich, womit bezeichnet wird, was diese Kraft besitzt, ist fürwahr [lebend] durch das Vorhandensein dieser Kraft an ihm 5—7 καὶ ἔστιν αἰσθητικῆς] Das Leben alles dessen, was eine Seele hat, um so viel mehr der Pflanzen insbesondere, [kommt] fürwahr von der nährenden Kraft, wie das, was wahrnimmt, die Kraft der Wahrnehmung hat von der sinnlichen Kraft 9 τῇ—παρουσίᾳ], [Alles] hat sie [i. e. diese Kräfte] nach dem Vorhandensein des Lebens in ihm als erste [Seele?] (zuerst) 10 δι' αὐτοῦ] dem Wesen (Substanz) nach 11—12 αἰσθητική—φανταστική] sinnliche, vergleichende (vorstellende Phantasie?), dann die Wolgefallen findende begehrende 12—13 αἵτινες—γενέσθαι] diese können aber in keinem Dinge ohne die ernährende sein 14—15 ταύτῃ—ὁρίζεται] denn diese Kraft findet sich am Thier 17 post φανταστική addit: und findet sich beim Finden derselben 18 καὶ οἷς ἡ ὁρμητική τε καὶ κατὰ τόπον κινητική] was die Wolgefallen findende Kraft besitzt [und?] im Orte fortgerückt wird 24 βουλευτική] kraft der Leitung (Hegemonie) δοξαστική] des Denkens 25—30,2 τῷ τε—δυναμένων] Denn das Schätzbarere unter dem, was in der Seele ist,

1 ἰδίᾳ V: ἰδία a δὴ supra lin. V 2 ἥ τε V: καὶ ἡ a 3 γεννητική a ταύτῃ a πρώτῃ Va 10 αὐτοῦ scripsi: αὑτοῦ Va 11 ἡ ὀρεκτική τε καὶ a 12 αὐταὶ scripsi: αὗται Va 14 ταύτῃ a 18 ὁρμητική τε καὶ V: ὀρεκτική τε καὶ a 19 fortasse αὐτῷ 23 κοινῶς μὲν a 25 αὐταῖς Va

ἁπάσας δυνάμεις αὐτῆς ἔχειν, οὐ πασῶν τῶν ἐκείνας ἐχουσῶν καὶ τούτων κοινωνεῖν δυναμένων. διὰ τοῦτο γὰρ καίτοι πολλῶν οὐσῶν τῶν ψυχικῶν δυνάμεων, ἐν οἷς ἡ λογικὴ δύναμίς ἐστι, μία ἡ ἐξ ἁπασῶν ψυχή, ὅτι μηδεμία τῶν ὑστέρων δυνάμεων ἄνευ τῆς πρὸ αὐτῆς οἵα τε εἶναι, ἀλλ' εἰσὶν ὡς μέρη τῆς αὐτῆς ἅπασαι προστιθεμένων ταῖς πρώταις τῶν δευτέρων καὶ διὰ τοῦτο αὔξησίν τε καὶ ἐπίδοσιν τῶν πρώτων λαμβανουσῶν. κατὰ δὲ τὴν προειρημένην τῶν ψυχῶν τε καὶ ψυχικῶν δυνάμεων διαφορὰν γίνεταί τις καὶ τῶν ἐμψύχων κοινοτέρα διαίρεσις, καθ' ἣν λέγομεν τῶν ψυχὴν ἐχόντων τὰ μὲν εἶναι φυτά, τὰ δὲ ζῷα, καὶ τῶν ζῴων τὰ μὲν λογικά, τὰ δὲ ἄλογα. ὅσα μὲν γὰρ πάσας τὰς προειρημένας δυνάμεις ἔχει, ταῦτα λογικά τε καὶ τέλεια ἀπὸ τῆς κυριωτάτης τῶν ἐν αὐτοῖς δυνάμεων καλούμενα. τοιοῦτο δὲ ὁ ἄνθρωπος ζῷον μόνον. τὰ δὲ λόγου μὲν μὴ κεκοινωνηκότα, αἴσθησιν δὲ ἔχοντα, ἄλογα ζῷα πάντα, τά τε πρὸς τῇ αἰσθήσει καὶ τὴν κατὰ τόπον κινητικὴν ἔχοντα καὶ τὰ χωρὶς ταύτης ἐκείνην, κατὰ ἀπουσίαν καὶ στέρησιν τῆς κυριωτάτης δυνάμεως οὕτως καλούμενα. ὅσα δὲ ὑπὸ τῆς θρεπτικῆς τε καὶ γεννητικῆς μόνης διοικεῖται δυνάμεως, φυτὰ ταῦτα. οὔσης τοίνυν τοιαύτης τῆς ψυχῆς, καὶ διὰ τοῦτο μὴ δυναμένης ὑπὸ τοῦ κοινοῦ λόγου δηλωθῆναι γνωρίμως, ἀναγκαῖον τοῖς περὶ ψυχῆς λέγουσιν ἰδίᾳ περὶ ἑκάστης τῶν δυνάμεων αὐτῆς ποιήσασθαι τὸν λόγον. οὕτως γὰρ ὁποία τις ἐστὶν ἡ οὐσία τε καὶ ἡ φύσις αὐτῆς φωραθήσεται. ἔσται δὲ ἡμῖν ὁ περὶ αὐτῶν λόγος μέχρι τοῦ τήν τε φύσιν ἑκάστης αὐτῶν ἐνδείξασθαι καὶ τὰς διαφορὰς τῶν δυνάμεων. τὰ γὰρ περὶ ἑκάστης αὐτῶν ἀπορεῖσθαί τε καὶ ζητεῖσθαι δυνάμενα πλείονος σχολῆς δεόμενα οὐκ ἂν εἴη τῆς προκειμένης οἰκεῖα πραγματείας· πρὸς γὰρ τὸ γνωρίμως παραστῆσαι τὴν τῆς ψυχῆς φύσιν ἐμποδὼν ἡ τῶν περὶ ἑκάστης δυνάμεως αὐτῆς εἰρημένων τε καὶ ἠπορημένων ἐπικύκλησις. οὐκ ἐπεὶ μέρη δὲ τῆς ψυχῆς λέγομέν τινα, ἤδη καὶ μέγεθος αὐτὴν ποιοῦμεν. οὐ γὰρ πᾶν τὸ μέρη ἔχον ἀναγκαῖον εἶναι μέγεθός τι. οὐδὲ γὰρ ὁ ἀριθμὸς μέγεθος καίτοι συγκείμενος ἐκ μερῶν. ἡ δὲ ψυχὴ οὐ μόνον οὐχ ὡς μέγεθος, ἀλλ' οὐδὲ ὡς

---

und das Wichtigere darunter ist fürwahr in diesen (durch diese?) Kräften, und da die Seele, welche diese Kräfte hat, auch alle anderen Kräfte der Seele besitzt, aber nicht jede Seele, welche diese Kräfte besitzt, vermögend ist einen Theil von ihnen zu nehmen
11 τε καὶ om. 14 τὴν—κινητικὴν] die im Orte bewegende Kraft 17 καὶ διὰ τοῦτο] incipit apodosis 22 διαφορὰς τῶν δυνάμεων] deren Arten und Unterschieden 22—23 ἀπορεῖσθαι—δυνάμενα] was bezweifelt werden kann und erforscht werden muss 24—26 πρὸς γὰρ—ἐπικύκλησις] da die Beschäftigung mit der Speculation über das, was von den einzelnen ihrer Kräfte gesagt wird, und die Zweifel, welche darüber vorgekommen, bedrängen und zurückhalten die Erkenntniss der Natur der Seele, so dass sie erkannt werde 28 οὐδὲ] nicht 29 μόνον om.

---

2 δυναμένων scripsi: δυνάμεων Va 4 τῶν om. a 11 post καὶ paululum erasum V τελεία a ἐν αὐτῇ a 19 ἰδία a 23 δυνάμενα] m² in marg. adscripsit post ζητεῖσθαι, om. m¹ V: om. a 24 προειμένης a 25 ἐμποδὼν V 28 μέγεθος m¹ in marg. V

ἀριθμός ἐστι μεριστή. οὐ γὰρ εἰς ἃ διαιροῦμεν αὐτήν, ὡς ἐκ τούτων κεχωρισμένων συγκειμένην διαιροῦμεν, ἀλλὰ τῇ τῶν δυνάμεων ὧν ἔχει καταριθμήσει καὶ τῇ τῶν διαφορῶν αὐτῶν εὑρέσει τὴν διαίρεσιν αὐτῆς ποιούμεθα, ὡς ἂν εἰ τὸ μῆλόν τις διαιροίη εἴς τε εὐωδίαν καὶ εἰς εὔχροιαν καὶ εἰς σχῆμα καὶ εἰς χυμόν. ἡ γὰρ τοιαύτη τοῦ μήλου διαίρεσις οὔτε ὡς σώματος γίνεται, εἰ καὶ ὅτι μάλιστα σῶμα τὸ μῆλον, οὔτε ὡς ἀριθμοῦ. ἐπεὶ τοίνυν τὸ ζῆν τῷ ζῶντι παντὶ ψυχῆς παρουσίᾳ, τὰ δὲ φυτὰ ζῇ, τὰ φυτὰ ψυχὴν ἂν ἔχοι καὶ εἴη ἂν αὐτῶν ψυχὴ ἡ δύναμις, καθ' ἣν ζῇ. ζῇ δὲ καθὸ τρέφεταί τε καὶ αὔξεται, ἡ θρεπτικὴ ἄρα καὶ ἡ αὐξητικὴ δύναμις ἐν αὐτοῖς ψυχή τε καὶ εἶδος τῶν φυτῶν. πᾶν γὰρ σύνθετον εἶναί τε καὶ ἐνεργεῖν λεγόμενον καθ' ἑκάτερον τῶν ἐν τῇ συνθέσει, καθὸ μὲν πρῶτόν ἐστί τε ὅ ἐστι καὶ ἐνεργεῖ τὰς οἰκείας ἐνεργείας, τοῦτο ἕξις τε καὶ εἶδός ἐστιν αὐτοῦ, καθὸ δὲ δεύτερον, τοῦτο ἐν αὐτῷ ὕλη τε καὶ ὑποκείμενον ἐκείνῳ, καὶ ἔστι τὸ μέν, καθ' ὃ δευτερόν ἐστί τι, τὸ δεδεγμένον ἐν αὐτῷ, τὸ δέ, καθ' ὃ πρῶτον, ὃ τοῦτο δέδεκται. οἷον τὸ ὑγιαῖνον ζῷον. ἐξ ὑγιείας καὶ σώματος συγκείμενον, λέγεται μὲν ὑγιαίνειν καὶ τῇ ὑγιείᾳ, λέγεται δὲ καὶ τῷ σώματι, καὶ ἔστιν ἡ μὲν ὑγίεια ἡ ἕξις τε καὶ τὸ εἶδος ὃ δέδεκται τὸ σῶμα, τὸ δὲ σῶμα, καθὸ δευτέρως ὑγιαίνει, ἡ ὕλη τε καὶ τὸ ὑποκείμενον καὶ δεδεγμένον τὴν ὑγίειαν. εἰ δὴ καὶ ἐπὶ τοῦ ζῆν τὰ ζῶντα συγκείμενα ἔκ τε ψυχῆς καὶ σώματος ἀμφοτέροις ζῆν λεγόμενα τῇ τε ψυχῇ καὶ τῷ σώματι πρώτῃ μὲν τῇ ψυχῇ ζῇ, δευτέρῳ δὲ τῷ σώματι, εἴη ἄν καὶ ἐκ τούτου δεικνύμενον, ὅτι ἡ μὲν ψυχὴ εἶδός τε τοῦ σώματος καὶ ὃ δέδεκται τὸ τοιόνδε σῶμα, τὸ δὲ σῶμα ὕλη τε τῆς | ψυχῆς καὶ τὸ δεδεγ- 129r
μένον. καὶ ἡ θρεπτικὴ ἄρα ψυχὴ εἶδος τοῦ ἔχοντος αὐτὴν σώματος. ὅτι γὰρ ἡ ψυχὴ τοῦτο καὶ οὐχ ἁπλῶς φύσις, δῆλον ἐκ τοῦ μηδὲν τῶν ἄλλων ζῆν, ἃ ὁμολόγηται φύσιν ἔχοντα μὴ ἔχειν ψυχήν. οὐδὲν γὰρ τῶν ἁπλῶν σωμάτων ζῆν λέγεται, ὡς τοῦ ζῆν λεγομένου κατὰ ψυχῆς παρουσίαν. πάντα

3 εὑρέσει] Existenz 10—15 πᾶν—δέδεκται] Denn in Bezug auf alles Zusammengesetzte, wovon wir sagen, dass es vorhanden sei, und dass es wirke durch jedes der beiden Dinge, aus denen seine Zusammensetzung [besteht], ist das Ding, wodurch jenes [das Zusammengesetzte] zuerst ist, was es ist, und wodurch es seine Wirkungen ausübt, welche dasselbe specificiren, — jenes Ding (subiect. repet.) ist dessen Aneignung und Form, und das Ding, wodurch jenes so ist, das Ding ist in ihm die Hyle und der Träger für jenes. Das Ding, wodurch jenes zweitens ist, ist das in ihm Aufnehmende und das, wodurch jenes erstens ist, ist das, was dieses aufgenommen hat 18 post σώματι addit: Es ist aber zuerst gesund durch die Gesundheit und es ist zweitens gesund durch den Leib ὃ δέδεκται τὸ σῶμα] welche der Leib angenommen hat 23—24 ὃ—τὸ τοιόνδε σῶμα] welches der bestimmte Körper aufgenommen hat 24 τὸ δεδεγμένον] das Aufnehmende 25 τοῦ ἔχοντος αὐτὴν om. 27 ἃ ὁμολόγηται] bei denen vorkommt

1 κεχωρισμένην a 2 συγκειμένην om. a 8 ἂν ἔχοι V: ἄρα ἔχει a 10 πᾶν γὰρ κτλ.] cf. p. 4,4 13 ἐν αὐτῷ om. a 14 ἐκείνῳ a αὐτῷ scripsi: αὐτῷ Va 15 τοῦτο sc. ἡ ὕλη δέδεκται V: δέδεικται a, corr. ex. Viet. ὑγιείας V: ὑγείας a 16 ὑγείᾳ Va 18 fortasse τῷ σώματι. ⟨ἔστι δὲ πρώτως ὑγιαῖνον τῇ ὑγιείᾳ, δευτέρως δὲ τῷ σώματι⟩ καὶ ἔστιν cf. int. hebr. ὃ δέδεκται] cf. v. 5 ὃ τοῦτο δέδεκται et v. 23 ὃ δέδεκται τὸ τοιόνδε σῶμα 19 δεύτερον ὑγιαίνῃ a 24 δεδεγμένον] δεδ in lit. V

γοῦν τὰ ψυχὴν ἔχοντα ζῇ καὶ οὐδὲν ζῇ τῶν μὴ ψυχὴν ἐχόντων. ἔτι δὲ εἰ αἱ δυνάμεις, καθ' ἃς τὰ σπέρματα ἐνεργεῖ, συγγενεῖς καὶ οἰκεῖαι τοῖς, ἀφ' ὧν τὰ σπέρματα, καθ' ἃς δυνάμεις ἐνεργεῖ τὰ ἀπὸ τῶν ἐμψύχων σπέρματα, εἶεν ἂν αὗται ψυχικαί. ἀλλὰ μὴν κατὰ πρώτην τὴν θρεπτικὴν δύναμιν ἐνεργεῖ πάντα τὰ ἀπὸ τῶν ἐμψύχων σπέρματα. ψυχικὴ ἄρα ἡ δύναμις ἡ θρεπτική. ἐπεὶ τοίνυν ψυχή τε ἡ θρεπτικὴ δύναμις καὶ πρώτη τῶν τῆς ψυχῆς δυνάμεων, περὶ ταύτης πρῶτον ῥητέον καὶ τὴν οὐσίαν αὐτῆς καὶ τὴν φύσιν δεικτέον, ἥτις ποτέ ἐστι. συνέζευκται δὲ τῷ περὶ τῆς θρεπτικῆς ψυχῆς λόγῳ καὶ ὁ περὶ τῆς γεννητικῆς. τῆς γὰρ θρεπτικῆς ψυχῆς οἰκεῖα ἔργα ὥσπερ τὸ θρέψαι τε καὶ αὐξῆσαι, οὕτως δὲ καὶ τὸ γεννῆσαι ὅμοιον τῷ σπείραντι. τῶν γὰρ ζώντων ὅσα τέλειά ἐστι καὶ μὴ πηρώματα, ὡς οἱ εὐνοῦχοι, μηδὲ τὴν γένεσιν αὐτομάτην ἔχει, ἔργον τὸ ποιῆσαι ἕτερον οἷον αὐτό, ἵνα τοῦ ἀεὶ εἶναι καὶ τῆς πρὸς τὸ θεῖον ὁμοιότητος ὡς δύναται πάντα μετέχῃ. πάντα γὰρ τὰ κατὰ φύσιν συνεστῶτα ἐκείνου ἐφίεται καὶ πάντα πράττει κατὰ φύσιν ἐκείνου χάριν. ἀλλὰ μὴν ψυχὴ αἰτία τῷ ἐμψύχῳ τοῦ πράσσειν τὰ κατὰ τὴν αὐτοῦ φύσιν. ἓν δὲ τῶν ὑπὸ τοῦ ἐμψύχου κατὰ φύσιν γινομένων καὶ ἡ τοῦ αὐτῷ ὁμοίου γένεσις. καὶ γὰρ τὰ φυτὰ καὶ τῶν ζῴων ὅσα μὴ πεπήρωται κατὰ τὴν οἰκείαν φύσιν ὁμοίων αὐτοῖς ἐστι γεννητικά. ψυχικὴ ἄρα καὶ ἡ δύναμις ἡ γεννητική. ἀλλὰ μὴν τὰ φυτὰ μόνην τὴν θρεπτικὴν ψυχὴν ἔχοντα πρὸς τῷ τρέφεσθαί τε καὶ αὔξεσθαι καὶ τὸ γεννᾶν ἔχει. τῆς θρεπτικῆς ἄρα δυνάμεώς τε καὶ ψυχῆς μόριον καὶ τὸ γεννητικόν. κοινὸς οὖν ἡμῖν ὁ περὶ ἀμφοτέρων λόγος. ἐπεὶ δὲ ἐν πᾶσιν ἡ τῶν ἀσαφεστέρων γνῶσις διὰ τῶν σαφεστέρων γίνεται, καὶ ἐπὶ τῶν προκειμένων οὕτω χρὴ ποιεῖν. καὶ ἐπεὶ αἱ κατὰ τὰς τῆς ψυχῆς δυνάμεις ἐνέργειαι σαφέστεραι τῶν δυνάμεων, ἀφ' ὧν ἐνεργοῦνται, τὸ αἰσθάνεσθαι τῆς αἰσθήσεως καὶ τὸ τρέφεσθαι τῆς θρεπτικῆς δυνάμεως, ἀρκτέον ἀπὸ τοῦ τρέφεσθαι. καὶ γὰρ πρὸς τῷ γνωριμώτερον εἶναι καὶ πρῶτόν ἐστι κατὰ τὸν λόγον τῆς δυνάμεως ἀφ' ἧς γίνεται. ταῦτα γὰρ πρῶτα τῷ λόγῳ, ἃ ἐν τῷ οἰκείῳ λόγῳ περιέχει τινὰ ὧν οὐκέτ' αὐτὰ ἐν τῷ λόγῳ παραλαμβάνεται. οὕτως δὲ ἔχει καὶ τὸ τρέ-

2 συγγενεῖς καὶ οἰκεῖαι] ähnlich der Gestalt nach und ähnlich der Gattung nach 4—5 κατὰ—ἐνεργεῖ] wirken zuerst durch die nährende Kraft 6 τοίνυν om. ψυχή] seelisch 8 συνέζευκται] es ziemt sich, dass wir verbinden 9 γεννητικῆς] der wachsenmachenden und erzeugenden 10 ὥσπερ—γεννῆσαι] das Nähren Wachsen-Machen und Erzeugen 11—12 μὴ πεπηρωμένα] nicht impotent 12 ὡς οἱ—ἔχει] wie der Verschnittene und dessen Erzeugung nicht von selbst 16 τοῦ—φύσιν] dass es durch seine Natur wirke 18—19 κατὰ τὴν οἰκείαν φύσιν] durch seine Natur und das Wesen seiner Seele 20 τὰ φυτὰ—ἔχοντα] die Pflanze und das, was hat 23 δὲ om. 29—30 ταῦτα γὰρ — παραλαμβάνεται] Denn die in der Definition ersten Dinge sind die Dinge, welche in der Definition, die dieselben specificirt, die Dinge begreifen, durch welche sie in einer Definition gefasst werden.

10 ἔργω a θρέψαι] ψαι in lit. V 14 μετέχῃ a 16 αὐτοῦ Va 21 γεννᾶν a 27 τρέφεσθαι] post τρεφε 3 lit. erasae V 30 ὧν pendet ab ἐν τῷ λόγῳ. ideo enim τὸ τρέφεσθαι est πρῶτον τῷ λόγῳ, quod in sua definitione τὴν δύναμιν τὴν θρεπτικὴν continet, in cuius definitione ipsum non inest.

φεσθαι πρὸς τὴν δύναμιν τὴν θρεπτικήν. τῷ μὲν γὰρ τρεφομένῳ τὸ τρέφεσθαι ἀπὸ τῆς δυνάμεως τῆς θρεπτικῆς. οὐ μὴν ἡ δύναμις ἡ θρεπτικὴ πρὸς τὸ εἶναι δεῖται τῆς ἐνεργείας. τὰς μὲν γὰρ ἀπὸ τῶν ἕξεων γινομένας ἐνεργείας ἀδύνατον εἶναι χωρὶς τῶν ἕξεων, αἱ δὲ ἕξεις καὶ χωρὶς τῶν ἐνεργειῶν εἶναι δύνανται. ἀλλὰ μὴν τὸν περὶ τοῦ τρέφεσθαι λέγοντα δεῖ πρῶτον περὶ τροφῆς εἰπεῖν. ἀδύνατον γὰρ γνώριμον γενέσθαι τὸ τρέφεσθαι ἀγνοουμένης τῆς τροφῆς, ᾗ τὸ τρεφόμενον τρέφεται. ἡ δὲ αὐτὴ τῆς ζητήσεως τάξις εἴη ἂν καὶ ἐπὶ τῶν ἄλλων τῆς ψυχῆς δυνάμεων. καὶ γὰρ ἐπ' ἐκείνων αἱ ἐνέργειαι τῶν ἕξεων γνωριμώτεραι. συνέζευκται δὲ τῷ τῶν ἐνεργειῶν λόγῳ καὶ ὁ τῶν περὶ ἃ αἱ ἐνέργειαι λόγος. δεῖ ἄρα τῷ μέλλοντι δεικνύναι, τίς ποτέ ἐστιν ἡ θρεπτικὴ ψυχή, πρῶτον εἰπεῖν περὶ τροφῆς.

Διττὴ δὴ ἡ τροφὴ δοκεῖ εἶναι. ἥν τε γὰρ προσφερόμεθα ἔξωθεν, τὴν ἄπεπτον ἔτι, τροφὴ καλεῖται [τροφὴ λέγεται] καὶ ἡ κατειργασμένη τε ἤδη καὶ προσκρινομένη. καὶ διὰ τὸ διττὸν τοῦτο τῆς τροφῆς ποτὲ μὲν λέγεται τὸ ἐναντίον τῷ ἐναντίῳ τρέφεσθαι, ποτὲ δὲ τὸ ὅμοιον τῷ ὁμοίῳ. ἡ μὲν γὰρ ἄπεπτος ἔτι καὶ ἀκατέργαστος τροφή. αὕτη δ' ἐστὶν ἡ πρώτη ἐναντία τῷ τρεφομένῳ τῷ δεῖν μὲν αὐτῇ μεταβολῆς, ὅπως ἐξομοιωθῇ τῷ τρεφομένῳ, τοιοῦτον γὰρ ἡ πέψις. ἡ δὲ μεταβολὴ πᾶσιν εἰς τὸ ἐναντίον. οὔτε γὰρ τῷ λευκῷ εἰς ἄλλο τι καθὸ λευκόν ἐστιν ἡ μεταβολή, ἢ εἰς τὸ μέλαν ἤ τι τῶν μεταξὺ χρωμάτων, ὃ καὶ αὐτὸ κατὰ τὴν εἰς τοὐναντίον μεταβολὴν γίνεται, οὔτε τῷ θερμῷ εἰς ἄλλο τι ἢ τὸ ψυχρόν, καὶ τῷ ψυχρῷ πάλιν εἰς ἐκεῖνο· ἀλλ' οὐδὲ τὸ γλυκὺ εἰς λευκὸν ἢ μέλαν ἢ εἰς ψυχρὸν ἢ θερμὸν μεταβάλλει καθὸ γλυκύ, ἀλλ' εἰς τὸν ἐναντίον χυμόν. καὶ ἡ ἄπεπτος δὴ τροφή, εἰ διὰ τῆς πέψεως μεταβάλλουσα ὁμοία γίνεται τῷ τρεφομένῳ, πρὸ τῆς πέψεώς τε καὶ μεταβολῆς εἴη ἂν ἐναντία αὐτῷ. διὸ δεῖ πᾶσαν τὴν τοιαύτην τροφὴν πέττεσθαι δύνασθαι καὶ μεταβάλλειν εἰς τὸ τρεφόμενον ὑπ' αὐτῆς. οὕτως μὲν οὖν τὸ ἐναντίον τῷ ἐναντίῳ

2—3 οὐ μὴν—ἐνεργείας] nur braucht die nährende Kraft nicht zum Act (in actu) vorhanden zu sein 3 ἀπὸ τῶν ἕξεων] von den Aneignungen 5 ἀλλὰ μὴν] also λέγοντα] gesprochen hat. var. lect. spricht 10 περὶ ἃ] in welchen 13 δοκεῖ εἶναι] wir sehen vom Wissen aus 13—14 ἥν—ἔτι] das Ding nämlich, das er erreicht, das zu ihm von aussen gelangt, das noch nicht verdaut ist 14 τροφὴ λέγεται] aber Nahrung wird genannt 17 ἡ μὲν γὰρ—αὕτη δ' ἐστὶν] Die Nahrung nämlich, welche noch nicht verdaut und verkocht ist, das ist die erste Nahrung, ist das dem von ihm Ernährten Entgegengesetzte 19 τοιοῦτον—πέψις] das ist der Sinn der Verdauung 23—24 ἀλλ' οὐδὲ—καθὸ γλυκύ] die Veränderung des Süssen ist nicht [anders], als in den Geschmack, der das ihm Entgegengesetzte 27 διὸ δεῖ] daher muss 28 τὸ ἐναντίον τῷ ἐναντίῳ] das E. dem E.

---

3 ἕξεων m^2 ἑξωθεν m^1 V: ἕξεων ex. Vict.: ἔξωθεν a 5 δύνανται] ται in lit. V 6 τὸ τρέφεσθαι m^1 in mg. V 13 „ὅτι διττὴ ἡ τροφή." διττὴ δὴ Va 14 τροφὴ λέγεται uncis seclusi τε om. Ka 17 αὕτη a: αυτη V 18 αὐτῇ a: αυτη V 21 ἢ a: ἡ V 26 corr. ex πρὸς m^1 V 27 δεῖ Ka: δὴ V 28 τῷ ἐναντίῳ τὸ ἐναντίον Ka

τροφή. οὐ μὴν πᾶν· οὐ γὰρ πᾶν τὸ μεταβάλλον εἰς τὸ ἐναντίον ἤδη τρέφειν αὐτὸ δύναται. τὸ γοῦν ὀξὺ εἰς τὸ βαρὺ μεταβάλλει καὶ τοῦτο εἰς ἐκεῖνο καὶ τὸ ἀσχημάτιστον εἰς τὸ ἐσχηματισμένον καὶ τὸ λευκὸν εἰς τὸ μέλαν, ἀλλ' οὐ διὰ τοῦτο ἤδη τρέφεται καὶ αὔξεται ὧν ἡ μεταβολὴ γέγονεν εἰς τἀναντία. ἀλλ' ἔστι ταῦτα τῶν ἐναντίων τροφή, ἃ μεταβάλλοντα εἰς τὰ ἐναντία αὔξειν δύναται τὰ εἰς ἃ ἡ μεταβολὴ γέγονεν αὐτοῖς. αὐξητικὰ δὲ τὰ σώματα· | δεῖ ἄρα τὴν τροφὴν ἐναντίον τε εἶναι καὶ σῶμα ἄλλο τοῦ τρεφομένου. οὐκ εἰ τὴν τροφὴν δὲ δεῖ τοιαύτην εἶναι ὡς δύνασθαι συναύξειν, ἤδη καὶ πᾶν τὸ συναῦξόν τι ὡς τροφὴ συναύξει. τὰ γοῦν ἁπλᾶ τῶν σωμάτων, ἃ στοιχεῖα καλοῦμεν, συναύξεται μὲν ὑπὸ τῶν εἰς αὐτὰ μεταβαλλόντων, οὐ μὴν ὡς ὑπὸ τροφῆς. κοινότερον γὰρ λέγεται τὸ ὕδωρ εἶναι τροφὴ τῷ πυρί· μόνα γὰρ κυρίως τρέφεται τὰ τὴν θρεπτικὴν ψυχὴν ἔχοντα· τὸ γὰρ τρέφειν ταύτης. διὸ τῶν ἀψύχων οὐδὲν τρέφεται, εἰ καὶ αὔξεται. καὶ οὕτως μὲν ἡ τροφὴ τὸ ἐναντίον. ἡ γὰρ πρώτη τοιαύτη. καθὸ δὲ καὶ τὸ προσκρινόμενον ἤδη τροφή, προσκρίνεται δὲ τὸ ὅμοιον τῷ ὁμοίῳ, κατὰ τοῦτο πάλιν τὸ ὅμοιον τρέφει. τροφῆς γάρ, ὥς φασιν, τὸ τρέφον τροφή, τρέφον δὲ τὸ προσκρινόμενον, τοιοῦτον δὲ τὸ ὁμοιούμενον ἤδη τῷ τρεφομένῳ. ὅτι δὲ τὸ ἔχον τὴν θρεπτικὴν ψυχὴν τρέφεται καὶ οὐκ ἄλλο τι, δῆλον καὶ ἐκ τοῦ ἐν τῇ τῶν ὁμοίων συνθέσει τοῦ τρέφοντος καὶ τοῦ τρεφομένου μεῖζον μὲν ἑκάτερον αὐτῶν δύνασθαι λέγεσθαι γεγονέναι (ὁμοίων γὰρ ὄντων ἑκατέρων οὐδὲν μᾶλλον τόδε μεῖζον ἂν ἐν τῇ συνθέσει γεγονὸς εἴη), τεθράφθαι δὲ καὶ διὰ τροφῆς ηὐξῆσθαι τὸ μὲν ἐκ τῆς τροφῆς μεταβεβληκὸς μὴ δύνασθαι λέγεσθαι, ἐκεῖνο δὲ ᾧ τοῦτο προστίθεται διὰ τὸ καὶ τὴν τρέφουσαν ψυχὴν ἐκεῖνο ἔχειν, κἀκεῖνο μὲν ἀμετάβλητον μένειν, τὴν δὲ τροφὴν μεταβαλλομένην ὑπ' αὐτῆς τῆς δυνάμεως προσκρίνεσθαι τῷ ἐμψύχῳ τε καὶ μένοντι.

Καὶ τοιοῦτον μὲν ἡ τροφή· ἡ δὲ κατὰ τὸ τρέφεσθαι ἐνέργεια γίνεται τῆς θρεπτικῆς ψυχῆς μεταβαλλούσης τὴν ἔξωθεν προσενεχθεῖσαν τροφὴν διὰ

1—2 οὐ μὴν—δύναται] aber nicht Alles, was sich in das ihm Entgegengesetzte verändert, ist so angethan, dass es ihn dadurch (davon) ernähre 4 τρέφεται om. 4—5 αὔξεται—τἀναντία] wachsen nicht auch die Dinge, in welche sie sich verändert haben 6—7 αὐξητικὰ—σώματα] die Vergrösserndeu sind aber Körper 8 post τοῦ τρεφομένου addit: für den er angemessen ist, Nahrung zu sein 11 γὰρ] denn 12 γὰρ] denn μόνα] fürwahr 19—22 δῆλον—γεγονὸς εἴη] wird daraus klar, dass wir von dem, in dessen Zusammensetzung die beiden ähnlichen Dinge, ich meine das Nährende und das Genährte, in Bezug auf jedes Eine von ihnen sagen müssen, dass es mehr war, als es [gewesen] war, denn da sie alle beide ähnlich waren, so war keines von beiden das erste vor dem andern durch Zusammensetzung grösser geworden zu sein, als es [gewesen] war 28—35,2 τῆς θρεπτικῆς—αὕτη] [die Wirkung ist die], dass

---

1 μεταβάλλου, ου ex corr. V 5 τἀναντία Usenerus restituit: ταὐτά Va 6 αὐξητικὴ Ka 7 ἐναντίαν K καὶ τὸ σῶμα K 11 κοινότερον] vid. Ind. γὰρ κτλ.] cf. p. 14,19 18 ἔχον καὶ θρεπτικὴν Ka 21 τόδε scripsi: τὸ δὲ Va, exspectas τόδε ἢ τὸ ἕτερον 23 ἐκεῖνο δὲ ᾧ τοῦτο προστίθεται] suppl. τεθράφθαι καὶ διὰ τροφῆς ηὐξῆσθαι 27 „περὶ τῆς θρεπτικῆς ἐνεργείας." ἡ δὲ Va 28 μεταβαλούσης a

πέψεως καὶ ἐξομοιούσης καὶ προσκρινούσης τῷ σώματι, οὐ ἐστιν εἰδός τε καὶ δύναμις αὕτη. ὄργανον δ' αὐτῇ πρὸς τὰς τοιαύτας ἐνεργείας τε καὶ μεταβολὰς τὸ θερμόν. διὸ καί τισιν ἔδοξεν ἤδη τοῦτ' εἶναι τὸ τρέφον τὴν τῆς ποιούσης ἀρχῆς δύναμιν ἐπὶ τὸ δι' οὗ ποιεῖ μεταφέρουσιν διὰ τὸ ὁρᾶν χωρὶς ταύτης μὴ δυνάμενον τρέφεσθαί τι. κινητικὸν μὲν γὰρ καὶ τὸ θερμόν, ἀλλ' οὔτε ὡρισμένη οὔτε τεταγμένη κίνησις, ἧς προηγουμένως ἀρχὴ τὸ θερμόν. τὸ δὲ τρεφόμενον τάξει τινὶ καὶ ὁδῷ πρόεισιν καὶ ὅρον ἔχει τινά, ἃ οἰκεῖα ψυχῆς, ἀλλ' οὐ πυρός. ᾧ δὲ τρέφεται τὰ τρεφόμενα, τούτῳ καὶ αὔξεται, ὡς ἤδη προείρηται. οὐ μὴν ταὐτόν ἐστιν αὔξεσθαί τε καὶ τρέφεσθαι, οὐδὲ ἅμα γίνεται οὐδὲ ἑκατέρῳ αὐτῶν ὁ αὐτὸς σκοπός. τρέφεται μὲν γὰρ ἀεὶ τὸ ζῷον, ἔστ' ἂν ᾖ (διὸ καὶ συνεχεστάτη ἤδε τῶν ψυχικῶν ἐνεργειῶν), αὔξεται δὲ οὐκ ἀεὶ τρεφόμενα, εἴ γε τρέφεται μὲν ἔστ' ἂν ᾖ, ἔστι δὲ καὶ τὰ γηράσκοντά τε καὶ μειούμενα. σκοπὸς δὲ τῷ μὲν τρέφοντι ἡ τοῦ τρεφομένου σωτηρία, τῷ δὲ αὔξοντι εἰς μέγεθος ἡ συντέλεια τῷ τρεφομένῳ. διὸ καὶ τῶν δυνάμεων ἡ μὲν τοῦ εἶναί τε καὶ τῆς οὐσίας ἐστὶ τηρητική (τοιαύτη γὰρ ἡ θρεπτική), ἡ δὲ αὐξητικὴ προηγουμένως ἐστὶ τῆς κατὰ τὸ ποσὸν ἐπιδόσεως ποιητική. ἔστι δὲ καὶ τὸ γεννᾶν τε καὶ ὅμοιον ἑαυτῷ καταλιπεῖν ἑπόμενον ταῖς προειρημέναις ἐνεργείαις ταῖς κατὰ τὸ αὔξεσθαί τε καὶ τρέφεσθαι, οὐ πᾶσιν μὲν ὑπάρχον οἷς κἀκείνων ἑκάτερον, τοῖς μέντοι μήτε πεπηρωμένοις μήτε ἀτελέσιν ἅπασιν, ὡς προείρηται. καὶ ἔστι τῶν τῆς θρεπτικῆς ψυχῆς δυνάμεων ἥδε τελειοτάτη. τελεία γὰρ ἤδη ἡ κατὰ ταύτην ἐνέργεια οὖσα κατὰ φύσιν καὶ ἤδη τελείων. παντὶ γὰρ τῷ κατὰ φύσιν ἔχοντι τέλος ἐστίν, ὡς ἤδη προείρηται, τὸ γεννῆσαι οἷον αὐτό. καὶ αὗται μὲν αἱ τῆς φυτικῆς τε καὶ πρώτης ψυχῆς ἐνέργειαι· τρέφειν αὔξειν γεννᾶν. εἶεν δ' ἂν καὶ αἱ δυνάμεις ἀφ' ὧν αἵδε αἱ ἐνέργειαι φανεραί· ἡ μὲν θρεπτικὴ δύναμις, οὖσα ἡ πρώτη ψυχῆς, σωστικὴ τοῦ ἔχοντος αὐτὴν διὰ τῆς οἰκείας ἐνεργείας, ἥτις ἐπὶ παρουσίᾳ τροφῆς γίνεται, ἡ δὲ

die nährende Seele die Nahrung verdaut, welche von aussen genommen wird (?), sie verändert, assimilirt und mit dem Körper zusammenhängend macht 6 ἧς—θερμόν] so dass das Warme selbst das vorangehende Princip wäre 6—7 τὸ δὲ—ἔχει τινά] Das Nährende aber befolgt Abstufung, Ordnung und Gesetz 11 συνεχεστάτη] niedrigere von den (als die) Wirkungen der Seele. Interpres hebr. se in margine legisse contendit: ausser (verschieden von) 12—13 ἔστι—μειούμενα] und das Abgenutzte und Mangelhafte dauert fort 16—17 ἡ δὲ—ποιητική] und fürwahr der Zweck, den das Wachsenmachen zuerst beabsichtigt, ist etwas von der Kategorie der Quantität 21 τελειοτάτη] die letzte und das worin ihre Vollendung 21—22 τελεία—τελείων] und es ist eine natürliche Wirkung der zwei Vollendeten [i. e. Mann und Weib, adn. interpr. hebr.] 24 φυτικῆς τε καὶ πρώτης] der nährenden Seele, welche die erste Seele ist

2 „ὅτι ὄργανον τὸ θερμὸν τῆς θρεπτικῆς ψυχῆς.“ ὄργανον δ' Va αὐτῇ a: αὐτὴ V τοιαύτας m^2 τοιαύτης m^1 V: τοιαύτας a 4 ὁρᾷν a 10 γὰρ supra lin. V 11 ἤδε V 12 ἔστ' a. etiam ἔστι δὲ—μειούμενα pendent ab εἴ γε 17 γεννᾷν a: γενᾶν V 20 μήτε ante πεπηρωμένοις om. a 21 δυνάμεως a ἥδε V 24 φυτικῆς ex Vict.: φυσικῆς Va. cf. p. 38,12 μετὰ δὲ τὴν ζωτικὴν καὶ φυτικὴν ψυχήν verba confundi solent vid. Ind. 27 παρουσίᾳ a cf. ὁ ἐπὶ τῇ τοιαύτῃ ἁρμονίᾳ γινόμενος ψόφος p. 26,2

αὐξητικὴ δύναμις ψυχῆς, διὰ τροφῆς αὐξητικὴ τοῦ ἔχοντος αὐτὴν σώματος διὰ τῆς οἰκείας ἐνεργείας, ἡ δὲ γεννητικὴ δύναμις ψυχῆς, γεννητικὴ ὁμοίου τῷ ἔχοντι αὐτήν, ἡ καὶ αὐτὴ τροφῇ πως χρῆται, εἴ γε τὸ σπέρμα δι' οὗ ἡ γέννησις τῆς ἐσχάτης τροφῆς περίττωμα, ὡς ἐν ἄλλοις δέδεικται, τελειοτέρα τις οὖσα τῶν πρὸ αὐτῆς. οὐ γὰρ εἰς αὐτὸ καὶ τὴν αὐτοῦ σωτηρίαν τε καὶ τελείωσιν συντελεῖ ἡ κατὰ τὴν γεννητικὴν δύναμιν ἐνέργεια, ἀλλὰ τοῖς ἤδη τελείοις οὖσιν αἰτία γίνεται τῆς ἄλλου ὁμοίου γενέσεως ἐφέσει ἀθανασίας ἐπισκευαστῆς τινος, ὡς ἐνδέχεται τὸ θνητὸν ἀθανασίας μετέχειν οὕτως αὐτῷ χορηγούσης αὐτὸ τῆς φύσεως διὰ τῆσδε τῆς δυνάμεως. τριῶν δὲ ὄντων ἐξ ὧν τὸ τρέφεσθαι γίνεται, τοῦ τρέφοντος, τοῦ τρεφομένου, ᾧ τρέφεται, τὸ μὲν τρέφον ἐστὶν ἡ θρεπτική τε καὶ πρώτη ψυχή, τὸ δὲ τρεφόμενον τὸ σῶμα, οὗ εἶδος ἡ προειρημένη δύναμις, τὸ δὲ ᾧ τρέφεται ἡ τροφή. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ αὔξεσθαί τε καὶ γεννᾶν. ἐπεὶ δὲ πάντα ἀπὸ τοῦ τέλους καὶ ἀπὸ τοῦ τελειοτάτου τῶν ἐν αὐτοῖς δίκαιον ὀνομάζειν (διὰ τοῦτο γοῦν καὶ τὸν ἄνθρωπον λέγομεν λογικὸν καίτοι ὄντα καὶ αἰσθητικόν), τέλος δὲ τῆς πρώτης ψυχῆς ὡς εἰδείχθη τὸ γεννῆσαι ὅμοιον 130r
αὐτῷ, καὶ ἡ πρώτη ἂν ψυχὴ εὐλόγως καλοῖτο γεννητικὴ ὁμοιοῦσα τῷ ἔχοντι αὐτήν, εἰ καὶ ὅτι μάλιστά ἐστι πρὸς τοῦτο καὶ θρεπτικὴ καὶ αὐξητική. ἔστι δ' ἡ θρεπτικὴ ψυχή τε καὶ δύναμις αἰτία καὶ τῆς συστάσεως τὴν ἀρχὴν τῷ τοῦ ζῴου σώματι, ὥσπερ οὖν καὶ τοῦ εἶναί τε καὶ τῆς ἐπιδόσεώς τε καὶ αὐξήσεως. ταύτης γὰρ ἔργον τὸ ἐν ᾧ ἂν ᾖ παρασκευάζειν 5
αὐτὸ τρέφεσθαί τε δι' αὐτοῦ καὶ αὔξεσθαι δύνασθαι, ἥτις ἐν τῷ καταβαλλομένῳ σπέρματι ἐνυπάρχουσα, ὅταν ὕλης ἐπιτηδείου λάβηται, πρὸς τοῦτο συνίστησίν τε αὐτὴν οὕτως, ὡς ἐν τῇ τροφῇ τε καὶ τῇ αὐξήσει τὸ συνιστάμενον ἐξ αὐτῆς ὅμοιον γίνεσθαι τῷ προεμένῳ, καὶ τοῦ τρέφεσθαί τε αὐτὸ καὶ αὔξεσθαι παρούσης τῆς τροφῆς αἰτία γίνεται. καὶ κατὰ ταύτην μόνην τὴν ψυχικὴν δύναμιν ἐνεργεῖ τὸ κατὰ γαστρὸς ὂν ἐξ αὐτοῦ ἔχον

---

4 ἐσχάτης om. 5—6 εἰς αὐτὸ—τελείωσιν] in der Substanz des Dinges, dessen Rettung und Vollständigkeit 7 τοῖς ἤδη—οὖσιν] in den zwei Vollendeten (vide 35,22) 8 ἐπισκευαστῆς—μετέχειν] welche erworben wird in dem möglichen Maasse in dem Teile, der [v. l. dem, was] ihm zukommt an Unsterblichkeit 9 οὕτως—δυνάμεως] und dies ist ihm Leben von der Natur durch diese Kraft 17—18 γεννητικὴ—αὐτήν] welche etwas erzeugt, dem sie ähnlich ist 18 μάλιστα om. πρὸς τούτῳ] vordem 19 ἔστι—δύναμις] Auch die nährende Seele hat eine Kraft, welche 21 γὰρ] om. 21—22 ταύτης γὰρ—δι' αὐτοῦ] die Wirkung dessen ist, dass sie das, worin sie ist, vermögend macht, dass es sich selbst ernähre 23—25 πρὸς τοῦτο—τῷ] so versetzt er dieselbe in einen Zustand, dass mit ihm (dabei) das Ding, woraus er es macht, auf die Weise der Nahrung und des Wachsens ähnlich wird dem 27 ἐνεργεῖ ἐξ αὐτοῦ] wirkt von selbst

---

1 ψυχῆς om. a 3 αὐτὴ τροφῇ m² αυτη τροφη m¹ V: αὐτὴ τροφῇ a 5 αὐτοῦ scripsi: αὐτοῦ Va 8 ἐπισκευαστῆς V: ἐπισκευαστικῆς a 9 αὐτῷ V: αὐτὸ a χωρηγούσης V 13 αὐτὸς a: αὐτος V γεννᾶν a 17 αὐτῷ scripsi: αὐτῷ a καλοῖτο a: καλλοῖτο V ὁμοιοῦσα] fortasse ὅμοιον ποιοῦσα cf. καὶ τὸ γεννῆσαι ὅμοιον τῷ σπείραντι 32,11 ποιῆσαι ἕτερον οἷον αὐτό 32,13 18 ὅτι V: ἄρα a 21 ἐν ᾧ ἂν ᾖ] cf. quae coll. ad 137r20 22 ἥτις a 23 πρὸ a 27 αὐτοῦ Va

μὲν καὶ τῶν ἄλλων δυνάμεων ἀρχάς τε καὶ ἐπιτηδειότητας, ὧν τὰς ἕξεις εἶχεν καὶ τὸ γεννῆσαν αὐτό, οὐ μὴν ἤδη καὶ ἔχον αὐτὰς ἐνεργείᾳ, τῷ μηδὲ μόριά πως ἔχειν, δι' ὧν αἱ κατ' ἐκείνας τὰς δυνάμεις ἐνέργειαι.

Αἰτίαν δὲ ἠγητέον καὶ τοῦ ἀπὸ μὲν τῶν φυτῶν ἀφαιρούμενά τινα μέρη ζῆν τε καὶ τελειοῦσθαι δύνασθαι, μηκέτι δὲ καὶ τῶν ζῴων, ὅτι ταῦτα μὲν τὴν θρεπτικὴν μόνην ψυχὴν ἔχοντα, ἥτις ἐστὶν ἐν παντὶ τῷ σώματι, καὶ διὰ τοῦτο ὄντα ἁπλούστερά τε καὶ οὐ δεόμενα τοσούτων ὀργάνων, ὅτι ἂν μόριον αὐτῶν ἀφαιρεθὲν δυνηθῇ τὴν ἐν αὐτῷ δύναμιν θρεπτικὴν τηρῆσαι δι' εὐπορίαν τροφῆς, σώζεταί τε καὶ ὅμοιον τῷ ὅλῳ γίνεται. καθ' ἣν γὰρ δύναμιν ἐνεργεῖ καὶ τὰ ἀπὸ σπέρματος γεννώμενα, κατὰ ταύτην ἐνεργεῖν καὶ ταῦτα οἷά τε, οὔσης αὐτοῖς ἐν ταύτῃ καὶ τῆς τελειότητος· ἐπὶ δὲ τῶν ζῴων οὐχ ὁμοίως ἐν παντὶ αὐτῷ παρεσπαρμέναι, διὸ οὐδὲ ἐν τῷ ἀφαιρουμένῳ μέρει. οὐ γὰρ ὁμοιομερὴς ἡ τῶνδε ψυχή, ὥσπερ ἡ τῶν φυτῶν, οὔτε δύναμίς ἐστιν ἐν αὐτοῖς ἐκείνων τινός, ὥσπερ ἐν τοῖς σπέρμασιν, τῷ τὴν ἀρχὴν τὰ μέρη ταῦτα μηδὲ δεκτικὰ ἐκείνων αὐτῶν εἶναί τινος, ἔπειτα δὲ καὶ τὴν τροφὴν αὐτὰ μηδὲ ὡς ἔτυχεν δύνασθαι λαμβάνειν, ἀλλὰ διά τινων ἀφωρισμένων ὀργάνων, ἃ οὐχ οἷόν τέ ἐστι τοῖς μὴ ἀπὸ σπερματικῆς ἀρχῆς συνισταμένοις προσγενέσθαι, ὡς τὰς ῥίζας τοῖς φυτοῖς. ἐκεῖναι μὲν

---

1 ἀρχάς om. 6 post ἔχοντα addit: wie erläutert worden 6 ἐστὶν] sich findet var. lect. verbreitet ist 6—7 καὶ διὰ τοῦτο — δεόμενα] daher weil sie einfacher ist und nicht bedarf, addit: wie das Thier 7—9 ὅτι ἂν — γίνεται] welcher Teil derselben auch abgesondert worden, so vermag er die nährende Kraft, die in ihm ist, zu bewahren, wenn er die Nahrung gesund und gut findet: er gleicht also der Totalität, von der er abgesondert worden 9—11 καθ' ἣν — τελειότητος] Durch die Kraft nämlich, wodurch das wirkt, was aus dem Samen erzeugt wird, können auch jene Teile wirken, da sie gleichfalls in dieser Kraft die Vollendung besitzen 11—18 ἐπὶ δὲ τῶν — ῥίζας τοῖς φυτοῖς] Beim Thiere ist aber das unmöglich, weil in ihm fürwahr nicht die

---

2 ἐνεργεία a 4 „διὰ τί ἀπὸ μὲν τῶν φυτῶν ἀφαιρούμενα μέρη ζῇ καὶ τελειοῦται, ἀπὸ δὲ τῶν ζῴων οὐκέτι." αἰτίαν δὲ Va, nisi quod a τὰ μέρη 6 ἔχοντα δέδεικται legebat Arabs 7 ὅτι V: ἄρα a 9 cf. 32,4: ἀλλὰ μὴν κατὰ πρώτην τὴν θρεπτικὴν δύναμιν ἐνεργεῖ πάντα τὰ ἀπὸ τῶν ἐμψύχων σπέρματα 11—15 ἐπὶ δὲ τῶν ζῴων — εἶναί τινος] supra παρεσπαρμέναι manus recentissima μέρει scripsit V (12) αὐτῷ a (15) haec manca esse et apertum est et confirmat interpretatio hebraica. quam secutus totum locum ita fere restituere conatus sum. ἐπὶ δὲ τῶν ζῴων ⟨οὐχ οἷά τε (sc. τὰ μέρη ταῦτα ἐνεργεῖν), ὅτι οὐ μόνον ἡ θρεπτική, ἀλλὰ καὶ ἄλλαι ψυχαί εἰσιν ἐν τῷ ζῴῳ⟩ οὐχ ὁμοίως ἐν παντὶ αὐτῷ παρεσπαρμέναι (διὸ οὐδὲ ἐν τῷ ἀφαιρουμένῳ μέρει· οὐ γὰρ ὁμοιομερὴς ἡ τῶνδε ψυχή, ὥσπερ ἡ τῶν φυτῶν) οὐδὲ δύναμίς ἐστιν ἐν αὐτοῖς ἐκείνων τινός, ὥσπερ ἐν τοῖς σπέρμασιν, τῷ τὴν ἀρχὴν τὰ μέρη ταῦτα μηδὲ δεκτικὰ ἐκείνων αὐτῶν εἶναί τινος ad διὸ οὐδὲ ἐν τῷ ἀφαιρουμένῳ μέρει suppleas ὁμοίως ἐν παντὶ αὐτῷ παρεσπαρμέναι εἰσὶν αἱ ψυχαί. ὅτι usque ad φυτῶν primam rationem, cur desectae animalium partes agere nequeant, continent. de quibus disserere pergit verbis οὐδὲ — εἶναί τινος, quae sic intellegas: *„neque facultas inest in eis (partibus) τινος ἐκείνων (i. e. ullius illorum animalium), quali facultate praedita sunt semina"*. cuius rei ea est causa *„quod hae partes nihil omnino eorum recipere possunt, quae illis ipsis (ἐκείνων αὐτῶν sc. animalibus) propria sunt"*. οὔτε mutavi in οὐδέ, ut 145ᵛ7 153ʳ29, nisi mavis οὔτε μόνον ἡ θρεπτική, .. οὔτε δύναμίς ἐστιν

γὰρ ῥᾳδίως τῇ τῆς τροφῆς παρουσίᾳ συνίστανταί τε καὶ αὔξονται οὐ πολλῆς τῆς οἰκονομίας δεόμεναι. οὐδὲν δὲ τῶν ζῴων οἷόν τε οὔτε χωρὶς τῶν ἀφωρισμένων πρὸς τὴν τροφὴν ὀργάνων τρέφεσθαι, οὔτε οἷά τε ταῦτα συστῆναι μὴ τοῦ σπέρματος τὰς δυνάμεις αὐτῶν ἔχοντος. διὸ καὶ κατὰ γαστρὸς ὄντα ἔτι ὡς μέρη τῆς φερούσης αὐτὰ τὴν τροφὴν λαμβάνει. τρέφεται μὲν γὰρ κατὰ τὴν δύναμιν τὴν ἐν αὐτοῖς, δέχεται δὲ τὴν τροφὴν ὡς μέρη. διὸ οὔτε ζῷον ἤδη οὔτε ἁπλῶς ζῆν καὶ καθ' αὑτὰ λέγεται τὰ ἔτι κατὰ γαστρὸς ὄντα. ζῇ μέντοι καὶ τὰ τῶν ζῴων μέρη πολλάκις διαιρεθέντων αὐτῶν ἐπὶ χρόνον τινά, εἰς ὅσον ἐπὶ τῶν ψυχικῶν δυνάμεων ἔχειν οἷά τε τὰ μέρη ἐγκαταλείμματά τινα τῶν τε ἐνεργειῶν καὶ τῶν δυνάμεων ὧν εἶχον ὅτε ἦν ἡνωμένα τε καὶ συνεχῆ τῷ ὅλῳ.

Καὶ τοιάδε μὲν ἡ πρώτη τῆς ψυχῆς δύναμις, μετὰ δὲ τὴν ζωτικήν τε καὶ φυτικὴν ψυχήν, ἣ δέδεικται διὰ τῶν περὶ αὐτῆς λόγων εἶδος οὖσα τοῦ ἔχοντος αὐτὴν σώματος, ἧς δυνάμεις αἱ προειρημέναι ἥ τε θρεπτικὴ καὶ ἡ αὐξητικὴ καὶ ἡ γεννητική, μετὰ δὴ τὸν περὶ ἐκείνης λόγον εἴη ἂν ἑπόμενον λέγειν περὶ τῆς αἰσθητικῆς. δευτέρα γὰρ ἥδε μετ' ἐκείνην. πάντα γὰρ τὰ ἄλλην τινὰ δύναμιν ἔχοντα ψυχικὴν ἀναγκαῖον, ὥσπερ ἔχει τὴν θρεπτικήν, οὕτως δὲ ἔχειν καὶ τὴν αἰσθητικήν· καὶ ἔστιν ἡ δύναμις αὕτη, καθ' ἣν τὰ ζῶντα πρὸς τῷ ζῆν καὶ ζῷά ἐστιν ἤδη. ἔστι μὲν οὖν ὁ περὶ αἰσθήσεως λόγος πλείων τε καὶ οἰκείας δεόμενος πραγματείας, ὡς δὲ συνελόντι καθόλου περὶ τῆς αἰσθητικῆς ψυχῆς εἰπεῖν, δύναμίς ἐστι ψυχῆς, καθ'

---

ernährende Seele allein ist, sondern [auch] andere Seelen, welche nicht nach jenem Beispiele (wie jene) in seinem ganzen Körper gestellt sind (Stand haben), daher findet sie sich nicht einmal in einem Gliede, welches von ihm abgesondert wird; denn die Seele des Thieres ist nicht von gleichartigen Teilen, wie die Seele der Pflanze, und in ihm (ihr) ist nicht die Kraft zu Manchem, was in jenen ist, wie in den Samen, weil es (sie) überhaupt Manches nicht annimmt, was jene besitzen. Ferner nach diesem, wenn die Glieder die Nahrung nehmen (würden?), so wäre es unmöglich, dass ein empfangender Teil vorkomme (?), [deest: es sei denn] mit irgend welchen bestimmten Organen. Denn es ist unmöglich, dass jene in (mit?) Organen entstehen, wie die Wurzeln [an] der Pflanze entstehen, es sei denn, dass sie vom Beischlaf ihren Anfang nehmen. 1—2 οὐ—δεόμεναι] da in dem Regimen ihres Zustandes keine grosse Arbeit ist 3—4 οὔτε—ἔχοντος] diese Organe können aber nur vorhanden sein durch Beischlaf, da durch denselben ihr Bestand ist 4—5 διὸ—λαμβάνει] daher so lange der Foetus im Mutterleibe bleibt, nimmt er fürwahr die Nahrung, insofern er ein Teil der Schwangeren ist, die ihn trägt 7 ζῷον] ein Lebendes καὶ om. 8 πολλάκις] viele 8—9 διαιρεθέντων—αὐτῶν] wenn sie abgeschnitten werden 9 εἰς ὅσον—δυνάμεων] in dem Maasse als es möglich ist, dass in diesen Gliedern von den Kräften der Seele ein Rest von den Wirkungen und Kräften übrig bleibe 18—19 καὶ ἔστιν—καθ' ἣν] diese Kraft ist die, durch welche 19—20 ἔστι—πλείων] die Rede über den Sinn ist lange 20—21 ὡς δὲ συνελόντι—εἰπεῖν] die kurze summarische Rede über die sinnliche Seele ist die, dass man von ihr sagt

---

5 φερούσης scripsi cf. int. hebr.: τρεφούσης Va 8 τοι supra lin. V 9 ἐπὶ] fortasse ἀπὸ 12 „περὶ τῆς αἰσθητικῆς ψυχῆς". καὶ τοιάδε Va (τοιᾶδε) 13 οὖσα a 15 τὸν a: τῶν V 16 ἥδε V 17 ἔχειν a 18 αὕτη ex. Vict.: αὐτὴ Va 19 καὶ om. a 20 αἰσθήσεων a

ἦν τὸ ἔχον αὐτὴν οἷόν τέ ἐστιν ὁμοιούμενον τοῖς δεκτοῖς αἰσθητοῖς διά τινος ἀλλοιώσεως τῇ πρὸς αὐτὰ ἐνεργείᾳ κρίνειν αὐτά. ὡς γὰρ ἡ θρεπτικὴ δύναμις τροφῆς ἐδεῖτο πρὸς τὸ ἐνεργεῖν (περὶ γὰρ ταύτην ἡ ἐνέργεια αὐτῆς), οὕτως καὶ ἡ αἰσθητικὴ τῶν αἰσθητῶν. περὶ γὰρ ταῦτα ἡ ἐνέργεια καὶ ταύτης καὶ τούτων ἐστὶν ἀντιληπτική τε καὶ κριτική. διὸ μὴ παρόντων αὐτῶν οὐκ ἐνεργεῖ, ἀλλ' ἔστιν δυνάμει αἴσθησις, ἀνάλογον ἔχουσα τοῖς ἔχουσι μέν τινα ἐπιστήμην, μὴ ἐνεργοῦσι μέντοι κατ' αὐτήν. ὁμοίως γὰρ ἐκεῖνά τε δυνάμει ἐπιστήμονα καὶ ἡ ἀνενέργητος αἴσθησις δυνάμει αἴσθησις. ἐκτὸς δὲ τὰ αἰσθητά, ὅτι ἡ αἴσθησις ἐπὶ χρήσιμόν τι τὴν ἀναφορὰν ἔχει· ἢ γὰρ τοῦ λαβεῖν τι χάριν, ἢ τοῦ φυγεῖν, ἐκτὸς δὲ ταῦτα. ἔστι δὲ τὸ αἰσθητόν τε | καὶ ἡ αἴσθησις πρὸ μὲν τῆς ἐνεργείας ἀνόμοια, ἐν δὲ τῇ 130v ἐνεργείᾳ ὅμοια γίνεται. κατὰ ὁμοίωσιν γάρ τινα γινομένην δι' ἀλλοιώσεως τὸ αἰσθάνεσθαι. τὸ γὰρ εἶδος τοῦ αἰσθητοῦ χωρὶς τῆς ὕλης γινόμενον ἐν τῷ αἰσθητικῷ ἡ κατ' ἐνέργειάν ἐστιν αἴσθησις. εἰ δὲ δι' ἀλλοιώσεως ἡ ὁμοίωσις, δῆλον ὡς πρὸ τῆς ἀλλοιώσεως ἕτερά τε καὶ ἀνόμοια ἦν, ὡς ἐδείχθη καὶ ἐπὶ τῆς τροφῆς. διὸ καὶ εὐλόγως λέγεται ἔστι μὲν ὡς ὑπὸ τοῦ ὁμοίου πάσχειν τὴν αἴσθησιν, ἔστι δ' ὡς ὑπὸ τοῦ ἀνομοίου. παθοῦσα γάρ ἐστιν ὁμοία. γίνεται δὲ τὸ πάθος τοῦτο ἐν τῷ πρώτῳ τὴν αἰσθητικὴν ψυχὴν ἔχοντι σώματι διά τινων ὀργάνων ὄντων ἄλλης φύσεως τῶν αἰσθητῶν οἷς διακονεῖται τῷ δύναμιν ἔχειν πάσχειν ὑπ' αὐτῶν, ἃ ὅταν πάθῃ εἶτ' ἐκεῖνο τὸ πάθος διαδίδωσιν. ἔστι δὲ ἐκεῖνο ἱδρυμένον περὶ τὴν καρδίαν, ἔνθα καὶ ὅλως τὸ τῆς ψυχῆς ἡγεμονικόν, ὡς προϊὼν ὁ λόγος δείξει. ἐν ᾧ γὰρ μάλιστα τὸ εἶναι τῷ ζῴῳ, ἐν ἐκείνῳ εὔλογον εἶναι καὶ τὸ εἶδος

1 τὸ ἔχον αὐτὴν] sie [i. e. die Kraft] δεκτοῖς om. 2 πρὸς αὐτά om. κρίνειν αὐτά] so dass sie über dieselben allgemein urteilt [p mg: in Allgemeinheit] 4—5 περὶ—κριτική] denn an ihnen ist ihr Wirken und durch dieses Wirken ergreift sie und urteilt über dieselben 7—8 ὁμοίως—αἴσθησις] Denn dieses und jenes (dieser und jener) ist einerlei, denn dieser erkennt virtualiter und der Sinn ohne Wirkung ist fürwahr [nur] virtualiter ein Sinn 9—10 ἐκτὸς—ταῦτα om. 12 κατὰ ὁμοίωσιν] [die Wahrnehmung] ist eine Aehnlichkeit 17 πάσχειν] zum Wirken gebracht [var. lect. mit Abbild versehen] werden 17—18 παθοῦσα—ὁμοία] Es wird nämlich zum Wirken gebracht (afficirt?) durch den Umriss (von dem Eindruck?), der nicht ähnlich ist; dann werden sie einander ähnlich 20—21 οἷς διακονεῖται—διαδίδωσιν] durch welche dasjenige, was die Kraft besitzt, den Umriss von ihnen anzunehmen vermag; wenn es den Umriss angenommen hat, dann bringt (?) es selbst den Umriss 22 ἔνθα] weil (weil in ihm??) 23 ἐν ᾧ γὰρ] durch welches ἐν ἐκείνῳ—εἶδος] das muss in ihm die Form sein

1 δεκτικοῖς a 3 ἐνεργεία a: ἐνέρ|α V 4 Arabs ἡ ἐνέργεια αὐτῆς καὶ ταύτης τούτων legisse videtur 7 τινὸς a 8 ἐκεῖνα .. ἐπιστήμονα] cf. Alexandri de sensu comment. 105,11 ed. Thurot. et ib. 422: κατὰ γὰρ ποιὰν σχέσιν .. τῶν ὁρωμένων .. πρὸς τὰ ὁρῶντα. de an. 42,17 εἴ τινες παρεστῶτες τύχοιεν .. τοῦ πεφωτισμένου διαδιδόντος καὶ ἐπὶ ταῦτα τὸ χρῶμα, Ind. s. v. neutrum 10 ἐκτὸς] sc. τὰ λῃπτὰ καὶ φευκτά (Diels) 19 τινων] sub ι litura V 20 οἷς διακονεῖται] *quibus* (i. e. sensibilibus) *inserviunt organa, quippe quae ita instituta sint, ut a sensibilibus patiantur.* de διακονεῖσθαι cf. Ind. 21 πάθῃ a εἶτ' scripsi: εἴτ' Va 22 δείξει] 140 r48 sq.

τὸ κυριώτατον. ἐν θερμῷ δὲ καὶ ὑγρῷ τὸ εἶναι μάλιστα τῷ ζῴῳ. τοιοῦτος δὲ ὁ περὶ καρδίαν τόπος. ἀρχὴ γὰρ αὕτη καὶ πηγὴ τοῦ αἵματος, ᾧ τρεφόμεθα, καὶ τοῦ πνεύματος, ταῦτα δὲ ὑγρά τε καὶ θερμά. καὶ τοιοῦτος μὲν ὁ κοινὸς τῆς αἰσθήσεως λόγος. ἐπεὶ δέ ἐστι μέρη τῆς αἰσθήσεως πέντε, καὶ ἔχει ταῦτα πρὸς ἄλληλα ὁμοίως τοῖς τῆς ⟨φυτικῆς⟩ ψυχῆς μέρεσιν τὸ πρῶτόν τε καὶ ὕστερον (ἐν δὲ τοῖς οὕτως ἔχουσιν οὐκ ἦν ὁ κοινὸς λόγος γνωρίμως τὴν τοῦ προκειμένου πράγματος σημαίνων φύσιν, ἀλλ' ἔδει περὶ ἑκάστου αὐτῶν ἰδίᾳ ποιεῖσθαι τὸν λόγον τῷ βουλομένῳ περὶ αὐτῶν οἰκείως τε καὶ προσεχῶς λέγειν), δεῖ καὶ τὸν περὶ αἰσθήσεως λέγοντα ἰδίᾳ περὶ ἑκάστου μέρους εἰπεῖν. μέρη δὲ τῆς αἰσθητικῆς δυνάμεως ἁφή, γεῦσις, ὄσφρησις, ἀκοή, ὅρασις ἢ ὄψις. ὧν ἡ μὲν ἁφὴ τῶν ἄλλων χωρίζεται (ἔστι δὲ τρόπον τινὰ καὶ ἡ γεῦσις ἁφή)· ἔστι γοῦν τινα τῶν ζῴων, ἃ ταύτην τὴν αἴσθησιν ἔχει μόνην. τῶν δὲ ἄλλων τινὰ αἰσθήσεων ἀδύνατον παρεῖναί τινι χωρὶς ἁφῆς. οὐδὲ γὰρ τὴν ἀρχὴν οἷόν τε ζῷον εἶναί τι χωρὶς ταύτης τῆς αἰσθήσεως. μέλλοντας δὲ λέγειν περί τε τῶν αἰσθητικῶν δυνάμεων καὶ περὶ τῶν ἐνεργειῶν τῶν κατ' αὐτάς, ἐπεὶ αἱ ἐνέργειαι αὐτῶν ἑκάστης γίνονται περὶ οἰκεῖόν τι αἰσθητόν, ἀναγκαῖον πρὸς τὴν δήλωσιν αὐτῶν πρῶτον ἐπ' ὀλίγον περὶ τῶν αἰσθητῶν διαλαβεῖν, ἐπεὶ ὁμοιώσει τούτων τὸ αἰσθάνεσθαι.

Καθόλου δὴ τῶν αἰσθητῶν τὰ μὲν καθ' αὑτά ἐστιν αἰσθητά, τὰ δὲ κατὰ συμβεβηκός, καὶ τῶν καθ' αὑτὰ αἰσθητῶν τὰ μὲν ἰδίᾳ ἑκάστῃ αἰσθήσει ἐστὶν αἰσθητά (ἄλλα μὲν γὰρ ὄψεως ἴδια αἰσθητά, ὡς τὰ χρώματα, ἄλλα δὲ ἀκοῆς, ὡς ψόφοι, ἄλλα δὲ ὀσφρήσεως, ὀσμαὶ γάρ, ἄλλα δὲ γεύσεως, χυμοὶ γάρ, ἄλλα δὲ ἁφῆς, αἱ γὰρ ἅπταὶ ἐναντιώσεις, ὧν θερμότητες, ψυχρότητες, ξηρότητες, ὑγρότητες, τραχύτητες, λειότητες· ἔστι γὰρ ἑκάστῃ αἰσθήσει αἰσθητά, ὧν οὐχ οἷόν τε αἰσθέσθαι ἄλλην τινὰ αἴσθησιν καθ' .

---

2 ὁ—τόπος] die Beschaffenheit des Gliedes Herz 3 ᾧ τρεφόμεθα—πνεύματος] wodurch der Geist (Hauch) ernährt wird 5 τῆς ψυχῆς] der vitalen Seele 6 τὸ πρῶτόν τε καὶ ὕστερον] dass nämlich das eine ein erstes, das andere ein letztes ist 7 γνωρίμως] so dass sie erkannt werden τοῦ προκειμένου πράγματος] des Gegenstandes, welcher gemeint ist durch sie [plur. die Dinge?] 8—9 ἀλλ' ἔδει—προσεχῶς λέγειν] sondern derjenige, der darüber in einer Rede reden will, wodurch sie (?) erkannt werden (γνωρίμως?), die Rede über jedes Einzelne trennen muss 11 ὅρασις ἢ ὄψις] und das Gesicht 15 δὲ om. 17—18 πρὸς τὴν δήλωσιν] in einer Belehrung 18—19 ἐπεὶ—αἰσθάνεσθαι] da die Wahrnehmung durch das ihnen ähnlich werden geschieht 20 ἐστιν] wir sagen, dass ist 21—23 τὰ μὲν—ἀκοῆς] teils specifische Sinnesobjekte für je einen der Sinne, z. B. die Sinnesobjecte des Gesichts sind ihm specifisch, wie wenn du sagst, die Farben, die Sinnesobjekte des Gehörs sind andere

---

5 τέντε a ἔχη a φυτικῆς addidi cf. int. hebr. sed potest etiam ζωτικῆς legisse Arabs 6 ἦν cf. 17,1. 28,14 7 λόγον γνώριμος a 8 ἔδη a ἰδία a 10 ἰδία a 11 ἢ a: η V. cur ἢ ὄψις adiunxerit nescio 13 μόνην] η in lit. V 14 οἷονται V 17 ανα-|καῖον i. e. ἀναγκαῖον V 19 ὁμοιώσει scripsi cf. int. hebr. ὁμοίως εἰ Va τὶ ἐσθάνεσθαι a 20 „περὶ αἰσθητῶν (αἰθητῶν V) τῶν τε καθ' αὑτὰ ὄντων καὶ τῶν κατὰ συμβεβηκός." καθόλου δή Va 21 ἰδία ἑκάστη a 22 ἴδιά ἐστιν αἰσθητά a ἄλλα V: ἀλλὰ a (item 23) 25 ξυρότητες a

αὐτά), τὰ δέ τινα τῶν καθ' αὐτὰ αἰσθητῶν ἐστι κοινά. ἔστι δὲ τοιαῦτα, ὅσα τὸ μὲν γνωρίζεσθαι δι' αἰσθήσεως ἔχει, πλείους μέντοι εἰσὶν αὐτῶν αἰσθήσεις διάκονοι. μεθ' ὧν γὰρ τὸ ἑκάστῃ αἰσθήσει ἴδιον αἰσθητὸν ὑποπίπτει, μετὰ τούτων καὶ τὰ αἰσθητήρια τὴν ἐπὶ τὴν αἴσθησιν αὐτῶν ποιεῖται διάδοσιν. τοιαῦτα δέ ἐστι κίνησις, ἠρεμία, ἀριθμός, σχῆμα, μέγεθος. κατὰ συμβεβηκὸς δὲ αἰσθητὰ τῷ συμβεβηκέναι τι αὐτοῖς αἰσθητὸν αἰσθητὰ καὶ αὐτὰ καλοῦμεν, οἷον εἴ τις τὸν ἀφρὸν αἰσθητὸν εἶναι λέγοι, διότι συμβέβηκεν αὐτῷ λευκῷ εἶναι, τοῦτο δὲ αἰσθητόν. τὰ μὲν οὖν οὕτως λεγόμενα αἰσθητὰ οὐδὲ αἰσθητὰ τὴν ἀρχήν, ὅτι μηδὲ πάσχει τι ἡ αἴσθησις ὑπ' αὐτῶν ᾗ τοιαῦτα. τῶν δὲ καθ' αὐτὰ αἰσθητῶν περὶ μὲν τὰ κοινὰ συμβαίνει τὰς αἰσθήσεις ἀπατᾶσθαι, ὡς μὴ πάσχειν, ὡς ἔχει τὰ ὑποκείμενα. αὕτη γὰρ αἰσθήσεως διαμαρτία τὸ διά τινα περίστασιν ἀλλοῖον αὐτῇ γίνεσθαι τὸ πάθος καὶ μὴ ὅμοιον τῷ ἀφ' οὗ γίνεται. περὶ δὲ τὰ ἴδια αἰσθητὰ ἀληθεύουσι μάλιστα, ὅταν αὐταῖς φυλάσσηται ταῦτα, μεθ' ὧν εἰσιν αὐτῶν ἀντιληπτικαί. ὧν πρῶτον μὲν ἂν εἴη τὸ ὑγιαίνειν τε καὶ κατὰ φύσιν ἔχειν τὰ αἰσθητήρια, δεύτερον δὲ ἡ θέσις τοῦ αἰσθητοῦ (οὐ γὰρ τοῦ ὄπισθεν κειμένου ἡ ὄψις ἀντιληπτική), τρίτον ἡ τοῦ διαστήματος συμμετρία. οὐ γὰρ ἀπὸ παντὸς διαστήματος τοῖς αἰσθητηρίοις ἡ τῶν αἰσθητῶν ἀντίληψις γίνεται. καὶ ἐπὶ τούτοις δεῖ τὸ μεταξύ, δι' οὗ ἡ τῶν αἰσθητῶν ἀντίληψις, ἐπιτηδείως ἔχειν πρὸς τὸ τοῖς αἰσθητηρίοις διακονεῖσθαι (οὐ γὰρ

---

1 τὰ δέ—κοινά] Einige Sinnesobjecte sind ihrem Wesen nach gemeinschaftlich 3—5 μεθ' ὧν—διάδοσιν] und zwar was die Dinge anbetrifft, bei welchen das einem einzelnen der Sinne specifische Sinnesobject dem Sinne unterliegt, mit diesen [Dingen] gelangen wir zur Wahrnehmung jener (durch jene?) 6—7 κατὰ συμβεβηκὸς—αἰσθητὸν εἶναι λέγοι] Was man Sinnesobjekte per accidens nennt, das sind die Dinge, die nicht nach dem Wesen ihrer Natur Sinnesobjecte sind, aber da sie zufällig trifft und erreicht ein sinnlich wahrnehmbares Ding, so nennen wir auch sie Sinnesobjekte, z. B. dass Jemand von dem Nachdenkenden (Einsichtigen) sagt, er ist ein Sinnesobjekt 10 ᾗ] insofern 11—15 ὡς μὴ πάσχειν—ἀντιληπτικαί] so dass sie nicht einsehen (richtig wahrnehmen), wie ihnen passirt, in dem, was wir vor uns sehen von diesem Buche. Denn der Irrtum kommt vor im Sinn, wenn ihm der Gegenstand ähnlich vorkommt (?), und er irre wird, und der Umriss, welcher in ihm ist (wird), verschieden ist von dem Dinge, von welchem er kommt, wegen seiner Aehnlichkeit. Was die Dinge anbetrifft, welche den Sinnen dienen, so ist er in ihnen insbesondere wahrhaft, so lange die Dinge, mit welchen ihnen die Wahrnehmung stattfindet, erhalten (gegenwärtig?) sind 17 ἡ—συμμετρία] dass die Entfernung zwischen e. u. d. a. kurz sei 19 μεταξύ] zwischen dem Wahrnehmenden und dem Wahrgenommenen 20 τοῖς αἰσθητηρίοις] durch das Sinnesorgan

---

2 αὐτῶν V ex. Vict.: αὐτῷ a 3 ἑκάστῃ a 5 ἠρεμία ut solet V 6 post αἰσθητὰ plura excidisse interpretatio hebraica docet. fortasse κατὰ συμβεβηκὸς δὲ αἰσθητὰ ⟨τὰ καθ' αὐτὰ οὐκ αἰσθητά, ἀ⟩ τῷ συμβεβηκέναι τι αὐτοῖς αἰσθητὸν αἰσθητὰ καὶ αὐτὰ καλοῦμεν 7 ἀφρὸν] ἀφορὸν a. casu sensibilia Aristoteles nominis appellativi exemplo solet notare [Διάφους υἱός de an. 2,6. 418a21]. latet fortasse Εὔφρον', quod Arabs der Einsichtige vertit 10 ᾗ scripsi: ἡ V: om. a 11 ἀπατᾶσθαι a 12 αὐτῇ a: αὐτη V 14 ἀληθεύουσι sc. αἱ αἰσθήσεις φυλάσσηται V 17 ὄπισθεν a: ὄπιθεν V

οἷόν τε ὁρᾶν μὴ ὄντος τοῦ διαφανοῦς πεφωτισμένου), ἔτι ὑπὸ μηδενὸς ἐνοχλεῖσθαι· οὐ γὰρ οἷόν τε ἀκούειν οὗ τις βούλεται, ὅταν ἐνοχλῶσιν ψόφοι μείζονες.

Τῆς μὲν οὖν ὄψεως ἴδια ἐστιν αἰσθητὰ τά τε χρώματα καὶ ὅσα φωτὸς οὐχ ὁρώμενα σκότους ὁρᾶται, ἃ οὐκ ἂν εἴη χρώματα, ὅτι μὴ ὑποπίπτει τῷ τοῦ χρώματος ὁρισμῷ, εἴ γε χρῶμά ἐστι τὸ κινητικὸν τοῦ κατ' ἐνέργειαν διαφανοῦς. ἔστι δὲ διαφανῆ μὲν ὅ τε ἀὴρ καὶ τὸ ὕδωρ καὶ ὅσα τῶν στερεῶν οἰκείῳ οὐ κέχρηται χρώματι, κινούμενα δέ πως ὑπὸ τῶν χρωμάτων διακονεῖσθαι τῇ ὄψει δύναται πρὸς τὴν ἀντίληψιν αὐτῶν. ταῦτα δὲ κατ' ἐνέργειαν γίνεται διαφανῆ, ὅταν ᾖ πεφωτισμένα. οὕτως γὰρ ἐχόντων αὐτῶν κινητικὰ τὰ χρώματα. ὅτι γὰρ τὸ φῶς καὶ τὰ πεφωτισμένα τῶν διαφανῶν ὑπὸ τῶν χρωμάτων κινεῖταί πως. | δῆλον ἐκ τοῦ πολλοῖς τῶν 131r χρωμάτων τῶν διὰ τοῦ φωτὸς ὁρωμένων ὁμόχροον ὁρᾶν γινόμενον αὐτὸ καὶ συναναφέρον αὐτῷ τὸ χρῶμα. ἀπὸ γὰρ χρυσοῦ χρυσοειδὲς καὶ αὐτὸ φαίνεται καὶ ἀπὸ ἁλουργοῦς πορφυροειδές, καὶ ἀπὸ τῶν χλωρῶν ποωδές. πολλάκις δὲ ἔστιν ἰδεῖν καὶ τοὺς καταντικρὺ τοίχους τοῦ τοιούτου χρώματος καὶ τὸ ἔδαφος ὥσπερ χρωννύμενα τῷ ἐκείνων χρώματι, καὶ εἴ τινες δὲ παρεστῶτες τύχοιεν, ὡς τοῦ πεφωτισμένου τῷ πάσχειν ἀπ' αὐτῶν διαδιδόντος καὶ ἐπὶ ταῦτα τὸ τοιόνδε χρῶμα. γίνεται δὲ τὸ χρῶμα ἐν τῷ πεφωτισμένῳ τε καὶ φωτὶ οὕτως ὡς καὶ τὸ φῶς ἐν τῷ διαφανεῖ, οὔτε κατὰ ἀπόρροιάν τινα, οὔτε ὡς ὕλης ἡ τοῦ διαφανοῦς δεχομένου τὸ φῶς ἢ τοῦ φωτὸς τὸ χρῶμα (ἀπελθόντων γοῦν τῶν ταῦτα ἐμποιούντων εὐθὺς συναπέρχεται τὸ μὲν χρῶμα ἐκ τοῦ φωτός, εἰ τὰ χρωννύντα αὐτὸ ἀπέλθοι, τὸ

3 μείζονες] addit: als die Töne jenes Dings, das er hören will 7 καὶ om. 12—14 δῆλον—χρῶμα] der Beweis [ist], dass du, wenn du viele der Farben im Lichte siehst, auch von ihren Farben das Licht gefärbt siehst, welches ihre Farben mit sich fortgetragen 14—15 ἀπὸ—ποώδες] wir sehen nämlich, dass es von der goldenen Farbe zur Farbe des Goldes werde, und von der Farbe der Violen zur Farbe des Purpurs und von den grünen Farben grasartig (grün) 16—19 πολλάκις—χρῶμα] Häufig sehen wir die Wände, welche einer von jenen Farben gegenüberstehen, und die Erde (der Boden) der Pflanze von der (den) Farbe(n) derselben (desselben) gefärbt werden [i. e. Wände und Boden werden gefärbt, jene von der gegenüberstehenden Farbe, dieser von der Farbe der Pflanze. St.], ebenso auch, wenn es sich trifft, dass ein Mensch in der Nähe derselben steht, so wird er von ihren Farben gefärbt, weil das Licht von ihnen afficirt wird und die Farbe, die er empfängt, auch zu diesen Dingen bringt 20—22 οὔτε—χρῶμα] nicht indem Etwas aus beiden sich ergiesst auch nicht in der Weise, dass das Sapphirische, indem es das Licht aufnimmt, Hyle für das Licht wird, und das Licht, indem es die Farbe aufnimmt, Hyle für die Farbe [wird] 22—23 ἀπελθόντων—τοῦ φωτός] denn wenn die beiden Wirkenden (Wirkungen?) für diese entweichen, so entweicht auch der Umriss mit ihrem Entweichen, also entweicht auch die Farbe dem Licht

1 ὁρᾶν a 2 οὗ τις βούλεται om. a 8 οἰκείῳ a κέχρηται χρώματα a 13 αὐτὸ] i. e. τὸ φῶς ὁρᾶν] ante V ι erasum V: ὁρᾶν a τὸ γινόμενον a 14 fortasse αὐτῷ 15 ἁλουργοῦς V: ἀλλουργοῦ a 16 κατ' ἄντικρυ V: κατ' ἀντικρὺ a. plura aut legit aut coniecit Arabs. cf. int. hebr. sed fortasse tantummodo ἐκείνων corruptum ex παρακειμένῳ cf. 153r 16 sq. 17 χρωνούμενα a 19 ἐπὶ ταῦτα] cf. p. 39,8 20 οὕτως] υ et ς in lit. V 22 Arabs legerat εὐθὺς συναπέρχεται ⟨καὶ τὸ πάθος⟩ τὸ μὲν

δὲ φῶς ἐκ τοῦ διαφανοῦς, εἰ τὸ φωτίζον αὐτὸ μὴ παρείη), ἀλλ' ἔστι τις ἡ ἀπ' ἀμφοτέρων κίνησις ἐν τοῖς δεχομένοις αὐτὰ γινομένη κατὰ παρουσίαν τε καὶ ποιὰν σχέσιν, ὡς γίνεται καὶ ἐν τοῖς κατόπτροις τὰ ἐν αὐτοῖς ὁρώμενα. ἔστιν οὖν κατ' ἐνέργειαν, ὥσπερ εἶπον, διαφανῆ τὰ πεφωτισμένα. ὅτε γὰρ δύναται διαφαίνεσθαί τι κατ' ἐνέργειαν δι' αὐτῶν, τότε ἐστὶ κυρίως τε καὶ κατ' ἐνέργειαν διαφανῆ τὴν τελειότητα καὶ τὸ οἰκεῖον εἶδος καθό ἐστι διαφανῆ παρὰ τοῦ φωτὸς λαμβάνοντα. ἔστι γὰρ φῶς ἐνέργεια καὶ τελειότης τοῦ διαφανοῦς καθὸ τοιοῦτον. γίνεται δὲ τόδε τὸ φῶς ἐν τῷ διαφανεῖ παρουσίᾳ πυρὸς ἢ τοῦ θείου σώματος. κατὰ σχέσιν γὰρ τοῦ φωτίζειν δυναμένου πρὸς τὰ φωτίζεσθαι πεφυκότα τὸ φῶς. οὐ γὰρ σῶμα τὸ φῶς. διὸ καὶ ἀχρόνως γίνεται. εἰ δὲ τὸ χρῶμα ἐν φωτὶ ὁρατόν, καὶ τούτου κινητικόν. τῷ γὰρ τὸ κατ' ἐνέργειαν διαφανές, τοῦτο δ' ἐστὶ τὸ πεφωτισμένον, πρῶτον πάσχειν ὑπὸ τοῦ χρώματος (τούτου γὰρ τὸ χρῶμα κινητικόν), τὴν δὲ ὄψιν ὑπὸ τούτου, οὖσαν καὶ αὐτὴν διαφανῆ, τούτῳ ἡ τῶν χρωμάτων αἴσθησίς τε καὶ κρίσις γίνεται, ὡς δέδεικται ἐν τοῖς περὶ τοῦ πῶς ὁρῶμεν ἐζητημένοις (ὥστε οὐκ ἂν εἴη χρώματα ὅσα ὁρᾶται σκότους· πῶς δὲ ταῦτα ὁρᾶται καὶ τίνος γινομένου, ἐν τοῖς περὶ τοῦ πῶς ὁρῶμεν καὶ αὐτὸ εἴρηται). ἀφ' ἑκάστου γὰρ τῶν ὁρατῶν ἀνακεχρωσμένον τὸ φῶς κατ' εὐθυωρίαν τεταγμένον ταῖς κατὰ τοῦτο οὔσαις ὄψεσιν διαδίδωσιν τὸ ἴδιον πάθος, ὡς ἀπ' ἐκείνων ἔπαθεν

1—3 ἀλλ'—σχέσιν] Vielmehr die Bewegung von beiden fürwahr entsteht in den (durch die) Dingen, welche dieselben aufnehmen durch das Gesehenwerden und durch eine Art von Beziehung 5 ὅτε—δι' αὐτῶν] wenn es nämlich möglich ist, dass irgend eines der Dinge sapphirisch in actu sei 6—7 τὸ—διαφανῆ] die Form und dasjenige, was ihnen, in sofern sie sapphirisch sind, angemessen ist 11 εἰ δὲ] wenn auch 12—16 τῷ γὰρ—ἐζητημένοις] denn die Wahrnehmung der Farben geschieht fürwahr, wenn das Sapphirische in actu ist, und dasjenige, welches schon beleuchtet ist, wird zuerst von der Farbe afficirt, nachdem die Farbe dasjenige ist, was es bewegt. Davon wird das Gesicht afficirt, nachdem das Gesicht ebenfalls beleuchtet worden, wie erläutert werden wird in unserer Forschung über das Gesicht, wie es sei 18 εἴρηται] Futur 18—20 ἀφ' ἑκάστου — ἴδιον πάθος] denn wenn das Licht von jedem einzelnen der sichtbaren Dinge dessen Farbe erhalten hat, und ein Jedes von diesen Beiden gegenübergestellt ist in grader Linie dem Anblicken [adspectus מבטים = v 21 (καὶ αὐταῖς). conf. p. 44,7 מביטים, die Betrachtenden = κόραι, St.], welches im Sehen, so bringt es ihnen den Umriss, welchen es insbesondere von ihnen erhalten hat

1 τις κίνησις ἡ γινομένη] cf. 152r31 καὶ εἴ τις τοιαύτη ἐστὶν ἐν διαφέρουσιν σώμασιν κοινὴ φύσις ἡ τοῦτο δυναμένη 2 ἡ om. a ἀμφωτέρων a 4 διαφανῆ] δι in lit. V 5 τότε (sic) V ἐνέργειαν αὐτῶν legerat Arabs 8 „πῶς γίνεται τὸ φῶς ἐν τῷ διαφανεῖ." γίνεται δὲ V: γίνεται δὲ a 9 παρουσία a 15 τούτῳ] cf. τῷ γὰρ εὔκρατον μάλιστα εἶναι τὸ σῶμα αὐτῷ (διὰ τοῦτο γὰρ κτλ.), τούτῳ καὶ τὴν ἁφὴν ἀκριβεστάτην ἔχει 132v19 τῷ δὲ ἄλλοτε ἄλλη ταῦτα εἶναι καὶ δύνασθαι πᾶν τὸ ὂν ἢ νοηθῆναι ἢ ὑπὸ αἴσθησιν πεσεῖν, τούτῳ πάντα γίνεται 140r in. 16 ἐν τοῖς περὶ τοῦ πῶς ὁρῶμεν ἐζητημένοις] hunc librum exstare in l. qui fertur de anima altero coniecit Fabricius B. G. V, 660, frustula ibi eius servata esse Val. Rose, Arist. Pseud. 274 sq. et hoc verum est de visu secundum Aristotelem agi 152r22—153v13 passim. locus 43,18 citatus ibi non legitur 18 τοῦ a: τὸ V 19 εὐθεωρίαν a 20 οὔσαις a: fortasse βλεπούσαις

αὐτό, λείαις τε οὔσαις καὶ διαφανέσιν καὶ αὐταῖς καὶ προσέτι δυναμέναις δέχεσθαι τὴν ἔμφασιν. ἐπεὶ δὲ τῷ δέξασθαι τὸ χρῶμα τὸ αἰσθητήριον καὶ ὁμοιωθῆναι αὐτῷ πως τὸ ὁρᾶν γίνεται, δεκτικὸν δὲ χρώματος τὸ ἢ μὴ ἔχον οἰκεῖον χρῶμα ἢ τοιοῦτον ὡς ὁρᾶσθαι μόγις (τοιοῦτον δὲ μάλιστα τὸ ὑγρόν τε καὶ ἀόριστον διαφανές, τοιαῦτα δὲ ὅ τε ἀὴρ καὶ τὸ ὕδωρ), τὸ αἰσθητήριον, δι' οὗ ἡ τῶν χρωμάτων ἀντίληψις, ἐκ τοιούτων. ἐξ ὕδατος γὰρ ἡ κόρη, ἐπεὶ τοῦτο τῶν ἀορίστων διαφανῶν ἤδη καὶ στέγειν οἷόν τε τὸ πάθος τὸ ὑπὸ τοῦ χρώματος γινόμενον ἐν αὐτῷ διὰ παχύτητά τε καὶ σύστασιν· ὁ γὰρ ἀὴρ οὐ τοιοῦτος. τὸ μὲν οὖν ὁρᾶν γίνεται διὰ τῆς περὶ τὰ ὁρατὰ ἐνεργείας διὰ τῶν ὀμμάτων τῆς ὁρατικῆς δυνάμεως κατὰ ὁμοίωσιν τὴν πρὸς αὐτά. ἡ δὲ ὁρατικὴ δύναμίς ἐστι, καθ' ἣν τὸ ἔχον αὐτὴν οἷόν τέ ἐστιν ἀλλοιούμενον ὑπὸ τῶν ὁρατῶν διὰ τῆς περὶ αὐτὰ ἐνεργείας ἀντιλαμβάνεσθαί τε αὐτῶν καὶ κρίνειν αὐτά. τὸ μὲν οὖν φῶς, ὃ μάλιστά τέ ἐστιν ὁρατὸν καὶ τοῖς ἄλλοις τοῖς ὁρατοῖς αἴτιον τοῦ ὁρᾶσθαι γίνεται, τί ποτέ ἐστιν εἴρηται, ὅτι γὰρ ἐνέργεια τοῦ ἀορίστου διαφανοῦς ἡ διαφανές. λέγεται δὲ καὶ χρῶμα τοῦ διαφανοῦς ἡ διαφανές· ὡς γὰρ ἐν τοῖς χρῶμα ἔχουσιν τὸ χρῶμα, οὕτως ἐν τοῖς διαφανέσιν τὸ φῶς γινόμενον ἐν αὐτοῖς καὶ αἴτιον ὃν προειρήκαμεν τρόπον. τὸ δὲ χρῶμα, ὃ κινητικόν ἐστι τοῦ οὕτως διαφανοῦς, ἔστι μὲν καὶ αὐτὸ ἐν διαφανεῖ, ἀλλὰ ἐν ὡρισμένῳ. πᾶν γὰρ σῶμα, ἐπεὶ χρώματός ἐστι δεκτικόν, ἢ μᾶλλον ἢ ἧττον κεκοινώνηκεν τῆς φύσεως ταύτης, ἣν διαφάνειαν καλοῦμεν. αὕτη γὰρ προσεχὴς ὕλη τῶν χρωμάτων· δεῖ γὰρ ὄντος χρώματος εἶναι καὶ τὴν φύσιν τὴν τούτου δεκτικήν. τὸ μὲν οὖν ἀόριστον διαφανές, ὃ καὶ μάλιστά ἐστί τε καὶ καλεῖται διαφανές, τῷ τε τὸ φάος, τουτέστι τὸ φῶς δέχεσθαι καὶ τῷ τοῖς ἄλλοις αἴτιον τοῦ φαίνεσθαι εἶναι ὑπό τινος ἐκτὸς ὄντος χρωματίζεται. τὸ

2 ἔμφασιν] das Sehen 7 ἡ κόρη] das Betrachtende 7 9 ἐπεὶ · σύστασιν] denn das Wasser ist aus dem sapphirischen Unbegrenzten, und wenn in ihm der Umriss entsteht, welcher von der Farbe entsteht, [so geschieht es] wegen seiner Dicke und Festigkeit 9 ὁ γὰρ—τοιοῦτος om. 9—10 τὸ μὲν οὖν—δυνάμεως] Das Sehen geschieht [var. l. P. in mg: mit zwei Gegenständen, indem die Sehkraft die Dinge aufnimmt] mit den Augen durch die Wirkung der Kraft, welche die sichtbaren Dinge sieht 11—13 καθ' ἣν —αὐτά] wodurch der, welcher sie besitzt, vermögend ist, aufzunehmen die Veränderung von den sichtbaren Dingen, indem er auf sie wirkt und sie erreicht und über sie urteilt 16—18 λέγεται—τρόπον om. 20 κεκοινώνηκεν] hat Teil und Gemeinschaft 21—22 προσεχὴς τῶν χρωμάτων] welche den Farben nahe ist 22—25 δεῖ γὰρ · χρωματίζεται] denn es ist notwendig, wenn die Farbe sich in dem unbegrenzten Sapphirischen findet, dass auch die Natur, welche die Farbe aufnimmt, sich finde, das ist das, was insbesondere sapphirisch genannt wird. Dies ist selbst so, weil es das Offenbarwerden, ich meine das Licht aufnimmt, und weil es Ursache für das Gesehenwerden der übrigen Dinge vom Auge ist, und von einem von aussen befindlichen Dinge gefärbt wird

1 ουσαις a προς' ἔτι V 2 δὲ τῷ V: δὲ τὸ a 3 αὐτῷ V: αὐτό a 6 τοιούτων m² τοιοῦτον m¹ V: τοιούτων a 8 ὑπὸ scripsi cf. int. hebr.: αὐτὸ Va 15 γὰρ] cf. 10,9 16 λέγεται—ἡ διαφανὲς om. a 17—18 τὸ φῶς—τρόπον] temptavi τὸ φῶς, γινόμενον ἐν αὐτοῖς ⟨ὥσπερ χρῶμα, οὐχ ἁπλῶς μέν, ἀλλὰ κατὰ συμβεβηκός [cf. Al. de sens. 90,2], ἀρχὴ δὲ τοῦ ὁρᾶσθαι τοῖς χρώμασιν αὐτοῖς⟩ καὶ αἴτιον ὃν προειρήκαμεν τρόπον. meliora invenienda sunt 24 τε τὸ om. a

γὰρ φῶς χρῶμά πως γίνεται τοῦ οὕτως διαφανοῦς, ὡς προείρηται, ὃ ἐν αὐτῷ γίνεται παρουσίᾳ τοῦ φωτίζειν αὐτὸ πεφυκότος, τοιοῦτον δὲ τό τε πῦρ καὶ τὸ θεῖον σῶμα. κατὰ γὰρ τὴν τούτων ποιὰν σχέσιν πρὸς αὐτὰ τὸ φῶς γίνεται. διὸ καὶ παρόντων μὲν αὐτῶν πεφώτισται, ἀπελθόντων δὲ συναπέρχεται καὶ τὸ φῶς. ἡ δὲ ἐν τοῖς στερεοῖς διαφάνεια ἐντὸς καὶ μεμιγμένον καὶ συνὸν ἔχει τὸ χρῶμα. διὸ οὐ ποτὲ μὲν πάρεστιν αὐτῇ, ποτὲ δ' οὔ, ὡς τοῖς ἀορίστοις διαφανέσιν τὸ φῶς. ἔστι δὲ τῶν οὕτως διαφανῶν τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον διαφανῆ, ὃ γίνεται ποσῇ μίξει τοῦ ἥκιστα διαφανοῦς σώματος. τοιοῦτον δὲ ἡ γῆ· αὕτη γὰρ ἐν οἷς ἂν μιχθῇ ἐμποδίζει τὴν διαφάνειαν αὐτῶν. παρ' ἣν αἰτίαν καὶ ἡ τῶν χρωμάτων γίνεται διαφορά. τὸ μὲν γὰρ χρῶμα ἐν παντὶ διαφανεῖ γίνεται λευκοῦ τινος παρουσίᾳ, τοιοῦτον γὰρ καὶ τὸ πῦρ, ἀλλὰ ἢ ἐκτὸς ὄντος, ἢ μεμιγμένου αὐτῷ. ἡ δὲ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον τοῦ διαφανοῦς διαφορὰ καὶ τοῦ φωτίζειν αὐτὸ πεφυκότος πλείονος ἢ ἐλάττονος μῖξις ποιεῖ τὰς τῶν χρωμάτων διαφοράς. λευκὸν μὲν γὰρ καὶ φωτοειδές, ἐν οἷς καθαρώτερόν τε τὸ διαφανὲς καὶ πλεῖον τὸ χρωννύον, ἔλαττον δὲ καὶ ὑφειμένον, ἧδη δὲ καὶ εἰς τὸ μέλαν ἀποκλῖνον, ἐν οἷς ἐπὶ τοσοῦτον καὶ τὸ διαφανές. ἐν οἷς μέντοι διαφανέσιν τὸ ἐνεργείᾳ αὐτὰ ποιοῦν τοιοῦτον μέμικται, ταῦτα συνὸν ἔχει καὶ οἰκεῖον τὸ χρῶμα, ὃ καὶ κυρίως | καλεῖται χρῶμα. τὸ γὰρ φῶς οὐ τοιοῦτον. 131v καὶ ἔστι τὸ πέρας τῶν ὡρισμένων διαφανῶν καθό ἐστι διαφανῆ τὸ χρῶμα. καθὸ μὲν γὰρ σῶμα, πέρας αὐτῶν ἐπιφάνεια, καθὸ δὲ διαφανῆ, τὸ χρῶμα. διὸ καὶ σύνεστιν τῇ ἐπιφανείᾳ τὸ χρῶμα. ἐν ταύτῃ γὰρ ἡ φαντασία τῶν χρωμάτων. μόνον τε γὰρ τῶν σωμάτων τὸ πέρας φανερόν, καὶ τὸ χρῶμα φανερόν τε καὶ φαινόμενον· καθὸ μὲν γὰρ ὁρατὰ τὰ σώματα, κατὰ τοῦτο καὶ κέχρωσται· κατὰ δὲ τὸ πέρας ὁρατά. διὸ εὐλόγως τὸ χρῶμα λέγεται

1 ὡς προείρηται om. 5 δὲ om. 5–6 ἐντὸς—ἔχει τὸ χρῶμα] die Farbe (das Färbende? מצבע) findet sich von inwendig (P: darin vermengt) 6 οὐ Arabem omisisse vidit int. Hebr. 8 ἥκιστα διαφανοῦς] addit: unter den Körpern 12 ἢ ἐκτὸς—αὐτῷ] von aussen oder von innen oder darin vermengt. alterum „oder" absurdum esse notat Hebr. δὲ om. 13—14 καὶ τοῦ φωτίζειν—μῖξις] und wenn (ob?) das Gemenge von einem Dinge, dessen Natur es ist, dass es dasselbe beleuchte, und dessen Art, dass es dasselbe beleuchte in grösserem oder geringerem Maasse 15—19 λευκὸν—οὐ τοιοῦτον] Es wird nämlich die Farbe des Dinges weiss [var. lect. des Weissen], leuchtend, wenn das Sapphirische in ihm lauter und rein ist und es mehr Färbendes (?) hat, aber geringer an Weisse und Licht ist, und schwächer von (in?) jenen beiden Gegenständen, zum Schwarzen neigend. Wie (?) das Sapphirische ebenfalls, wenn das, was dasselbe in actu in diesem Maasse macht (und) dieser Gegenstand, der vermengt ist in ihm, wird demselben eine besondere Farbe. Und das ist das Ding, welches in Wahrheit Farbe genannt wird, denn das Licht ist nicht so 20 διαφανῆ] begrenzte, sapphirische 23—24 μόνον τε γὰρ—φαινόμενον] die Fläche ist nämlich allein das Ende der Körper und ist auch das Offenbare, was von ihnen gesehen wird 24—25 καθὸ—ὁρατά] om.

3 fortasse αὐτὸ 5 στεράιοις (sic) V 6 αὐτῇ m², αὐτη m¹ V: αὐτῇ a δὲ a 8 ἥκιστα] ἡ supra lin. V 9 μιχθῇ a 15—17 λευκὸν—διαφανές] Arabs legisse videtur ἧττον ⟨κατὰ λευκότητά τε καὶ φῶς⟩ καὶ ὑφειμένον. sed ut int. hebr. ita verba graeca gravius corrupta videntur, velut postulatur v. 16 ⟨τὸ χρωννύον⟩ καὶ τὸ διαφανές 17 ἐν οἷς ἐπὶ] ν οἷ in lit. V 23 μόνον scripsi: μόνων Va 24 σώματα scripsi: χρώματα Va

εἶναι πέρας τοῦ ἐν ὡρισμένῳ διαφανοῦς ἢ διαφανές. ἥτις δὲ ἐν τῷ πυρὶ καὶ ἐν τοῖς ἄλλοις τοῖς φωτὸς ποιητικοῖς ἐνοῦσα δύναμις αὐτά τε μάλιστα ὁρατὰ ποιεῖ, καὶ τοῖς ἄλλοις χρώμασιν αἰτία τοῦ ὁρᾶσθαι, τῷ φωτὸς αὐτὰ εἶναι ποιητικά, δι' οὗ ὁρᾶται τὰ ὁρώμενα, ταύτην ἐγγητέον τὴν φύσιν καὶ ἐν τοῖς ὡρισμένοις διαφανέσιν μεμιγμένην ἢ μᾶλλον ἢ ἔλαττον τῆς τε τῶν χρωμάτων γενέσεως καὶ τῆς διαφορᾶς αὐτοῖς αἰτίαν εἶναι. τοῦ δὲ εἶναι τὸ χρῶμα πέρας τοῦ διαφανοῦς, ἢ διαφανές, σημεῖον τὸ καὶ τῶν διαφανῶν ὅσα μὲν οἰκεῖον πέρας οὐκ ἔχει, τοιαῦτα δὲ τὰ ἀόριστα, ταῦτα δὲ μηδὲ χρῶμα ἔχειν οἰκεῖον. τῷ γὰρ πέρατι τοῦ σώματος σύνεστι καὶ τὸ ὡς διαφανοῦς αὐτοῦ πέρας. ὡς γὰρ ὑπό τινος ἔξωθεν περατοῦταί τε καὶ σχηματίζεται, οὕτω δὲ καὶ χρώννυται. ὧν γὰρ ὡς σωμάτων τὸ πέρας ἀόριστον, τούτων καὶ ὡς διαφανῶν. ὧν δὲ ὥρισται τὸ πέρας διαφανῶν, ταῦτα καὶ χρῶμα οἰκεῖον ἔχει ὡς συνημμένου τοῦ τε πέρατος καὶ τοῦ χρώματος. συνῆπται μὲν οὖν, οὐ μὴν ταὐτόν ἐστιν. τοῦ μὲν γὰρ ἑνὸς κατ' ἀριθμὸν σώματος μία κατ' ἀριθμὸν καὶ ἐπιφάνεια, οὐ μήν, εἰ μία κατ' ἀριθμὸν ἐπιφάνεια, καὶ ἓν χρῶμα κατ' ἀριθμόν. ἐνδέχεται γὰρ τὴν αὐτὴν ἐπιφάνειαν καὶ τὰ ἐναντία ἔχειν ἐν αὐτῇ χρώματα. καὶ τὰ ὁριστὰ διαφανῆ πέρας μὲν ἔχει, ἄν τε ᾖ πεφωτισμένα ἄν τε μή, χρῶμα δὲ ἔχει τότε μόνον, ὅτε καὶ πεφώτισται.

Ἡ δέ γε ἀκοή ἐστι μὲν τῶν κατ' ἐνέργειαν ψόφων ἀντιληπτική τε καὶ κριτική, γίνεται δὲ ὁ κατ' ἐνέργειαν ψόφος ὑπὸ πληγῆς. ἡ δὲ πληγὴ ὑπό τέ τινος καὶ πρός τι καὶ διά τινος. ὑπὸ μέν τινος, τοῦ γὰρ πλήσσοντος· πρός τι δέ, πρὸς γὰρ τὸ πλησσόμενον· διά τινος δέ, δι' οὗ ἡ πληγή. ἡ γὰρ πληγὴ κίνησίς τίς ἐστι κατὰ τόπον· πᾶσα δὲ ἡ τοιαύτη κίνησις διά τινος· ὥστε καὶ ἡ πληγὴ μὲν διά τινος, οὐ μὴν τοῦ τυχόντος. οὔτε γὰρ διὰ στερεοῦ, ὅτι μὴ οἷόν τε διὰ τοιούτου κίνησιν γενέσθαι, οὔτε διὰ κενοῦ,

---

1—4 ἥτις—ὁρώμενα] die Kraft, die sich im Feuer findet und in den übrigen Körpern, welche das Licht bewirken, das sie insbesondere sichtbar macht, sie ist auch die Ursache für die anderen Farben, dass sie gesehen werden, weil sie selbst das Licht bewirkt und das ist dasjenige, wodurch die durch dasselbe gesehenen Dinge gesehen werden 9—11 τῷ γὰρ πέρατι—χρώννυται] weil nämlich ihr Zustand zur Zeit der Aufnahme der Farbe [so ist], wie ihr Zustand während der Aufnahme des Beendetwerdens und der Form von einem Dinge ausserhalb 11 ἀόριστον] unbegrenzt 14—15 τοῦ μὲν γὰρ—ἐπιφάνεια] denn das Sein, in dem es ist, ist Eines der Zahl nach und die Fläche, in welchem sie ist, auch Eines der Zahl nach 17 ὁριστὰ] die nicht begrenzten 20 δέ γε om. ἐστι ἀντιληπτική] ist dasjenige, was wahrnimmt 22—23 ὑπὸ—ἡ πληγή] Das Ding, von welchem das Klopfen kommt, ist das Klopfende. Das Ding, an welches geklopft wird, ist das Angeklopfte. Das Ding, durch welches das Klopfen entsteht, ist dasjenige, durch dessen Vermittlung das Klopfen wird

---

1 ἥ V 3 τῷ m² τὸ m¹ V: τῷ a 6 αἰτίαν scripsi: αἴτια litera post ια eras. V: αἴτια a 7 ἥ V: ἡ a 9—11 γὰρ] cf. 14,19 11 ἀόριστον scripsi cf. int. hebr.: ὁριστόν Va; apertum enim est v. 6—12 (τοῦ δὲ εἶναι—ὡς διαφανῶν) de rebus non terminatis dici, de terminatis 12 sq. (ὧν δὲ ὥρισται κτλ.) 20 „περὶ ἀκοῆς." ἡ δέ Va γε om. a. cf. ἡ δέ γε τῶν ἀγαθῶν ὄρεξις 136ᵛ28 26 στερέου (sic) V τ ὁ μὴ V: τῷ μὴ ex. Vict.: τὸ μὴ a

ὅτι μηδὲ τὴν ἀρχὴν τὸ κενόν ἐστί τι. ἀλλὰ μάλιστα μὲν ἐν ἀέρι καὶ δι' ἀέρος ὁ ψόφος, ἤδη δὲ καὶ δι' ὕδατος. οὔτε τὸ πλῆσσον δὲ οὔτε τὸ πλησσόμενον τὰ τυχόντα ὄντα ψόφον ποιεῖ, ἀλλὰ δεῖ στερεῶν γενέσθαι πληγὴν πρὸς ἄλληλα. οὐ γὰρ πάντα τὰ πλησσόμενα οἷά τε ψοφεῖν. ἡ γοῦν τῶν ἐρίων πρὸς ἄλληλα πληγὴ οὐ ποιεῖ ψόφον. οὐδὲ τὰ στερεὰ δὲ πάντα τὰ ψοφητικὰ ποιεῖ ψόφον. αἱ γοῦν βελόναι οὔτε πλήσσουσαι ἀλλήλας, οὔτε πλησσόμεναι ὑπ' ἀλλήλων ποιοῦσι ψόφον. ὁ γὰρ ἀὴρ ἀθρόος ἀπολαμβανόμενος πρὸς τῷ πλησσομένῳ λείῳ ἢ κοίλῳ ὄντι ὑπὸ τοῦ πλήσσοντος ὄντος καὶ αὐτοῦ τοιούτου ψοφεῖ. τὸ μὲν οὖν λεῖον τυπτόμενον ψόφον ποιεῖ διὰ τὸ ἀθρόον ὑπὸ τοῦ τύπτοντος πρὸς τῷ τοιούτῳ σώματι ἀπολαμβάνεσθαι τὸν ἀέρα. τὸ δὲ κοῖλον, ὅτι ὁ ἀὴρ ἐν τούτοις ἀδυνατῶν ἐξελθεῖν ὁ πρῶτος πληγεὶς διὰ τὴν κοιλότητα τοῦ περιέχοντος αὐτὸν ἄλλοτε πρὸς ἄλλα μέρη αὐτοῦ φερόμενος καὶ ἀνακλώμενός τε καὶ ἐνειλούμενος βιαίως ἐπὶ πολὺ ἦχεῖ, ἅτε διὰ τῶν ἀνακλάσεων πλείους πληγὰς ποιῶν. δεῖ δέ, εἰ μέλλοι ψόφος ἔσεσθαι, τὴν πληγὴν ταχυτέραν γίνεσθαι τῆς τοῦ ἀέρος θρύψεώς τε καὶ χύσεως τοῦ μεταξὺ ὄντος τοῦ τε πλήσσοντος καὶ πλησσομένου. οὕτως γὰρ ὑπομένων καὶ ἀθρόος προσπίπτων τῷ πλησσομένῳ ποιεῖ τὸν ψόφον. ἤδη δὲ καὶ μόνος ὁ ἀὴρ πληγείς πως ψόφον ποιεῖ διὰ τὴν τῆς πληγῆς ταχυτῆτα ὡς στερεὸς ἀντιτυπῶν τῷ πλήσσοντι φθάνοντι διὰ τὴν ταχυτῆτα τῆς πληγῆς τὴν οἰκείαν αὐτοῦ διαίρεσίν τε καὶ θρύψιν, ὡς ἐπὶ τῶν μαστίγων γίνεται. ὡς εἴ γε μὴ γίνοιτο θᾶττον ἡ ἀπὸ τῆς πληγῆς κίνησις τῆς θρύψεως τοῦ ἀέρος, οὐκ ἂν ψόφος γίνοιτο, ὥσπερ οὐδ' ἐὰν εἰς σωρὸν ἄμμου τύπτῃ τις φερόμενον ταχὺ μὴ φθάνων τὴν θρύψιν αὐτοῦ καὶ φθορὰν τῇ πληγῇ.

Καὶ ἡ ἠχὼ δὲ γίνεται κατ' ἀνάκλασιν ἀέρος. ὅταν γὰρ ὁ πληγεὶς

---

2 δέ] auch 4 γοῦν] denn 5 ἐρίων] der luftigen Körper 5—7 οὐδὲ—ψόφον] om. 7—9 ὁ γὰρ—ψοφεῖ] Denn der Ton wird, wenn die Luft gepresst wird, bei dem Angeklopften, wenn es glatt oder hohl ist, von Luft, [welche] daran klopft, von Seiten des Klopfenden, und [wenn?] das Klopfende ist von derselben Beschaffenheit 10 ἀπολαμβάνεσθαι] gepresst werden 11—14 ὅτι—ποιῶν] weil die Luft, welche in ihm ist, nicht aus der Höhlung des ihn umgebenden hinauskommen kann, und das Erste, wovon es geklopft wird, das Klopfen einem Andern bringt, dann wieder einem Andern, und es sich in ihm nach verschiedenen Seiten bewegt, sich umwendet und umkreist durch Zwang; dies erschafft den Ton bis zu einem längeren Maasse, weil die Klopfungen sich vermehren durch die Umkehrungen 19 ὡς στερεὸς] plötzlich 19—20 τῷ πλήσσοντι —θρύψιν] und das Klopfende geht voran durch die Schnelligkeit des Klopfens, teilt die Luft und bricht sie 21 ὡς εἴ γε] denn wenn 22—24 ὥσπερ—πληγῇ] so wie kein Ton erschaffen wird, wenn ein Mensch sich an Weizenkleie oder etwas anderes lehnt und sie [die Weizenkleie] sich schnell bewegt, denn das Klopfen derselben ist ein Klopfen, welches nicht voranging dem Brechen und Teilen derselben

---

1 ὅτι V: τῷ a εἶναί τι a 3 στερεῶν (sic) V 5 στερεὰ V 6 βελῶναι a 7 οὐ γὰρ a ἀπολαμβανόμενος ἀθρόος a 11 ὅτι V: ἄρα a 13 ἐνιλούμενος a 14 μέλλει a 16 τοῦ πλησσομένου a 17 τῷ πλησσομένῳ] de concavis dicit 19 στεραιος Va ἀντιτυπῶν a 23 ἄμμου a: ἄμμου V τύπτη a 25 „ὅπως ἠχὼ γίνεται." καὶ ἡ Va

ἀὴρ εἰς μείνας ἐνεχθεὶς ἐπί τι στερεὸν ἔχον τινὰ κοιλότητα ὑπὸ τοῦ ἀέρος τοῦ ὄντος ἐν τῷ κοίλῳ τούτῳ ἠνωμένου διὰ τὸ περιέχεσθαι καὶ μὴ θρυπτομένου ἀλλ' ἑνὸς μένοντος ἀπωσθῇ, διὰ τὴν βίαν ἐπὶ ταὐτὸν φέρεται ὅθεν ἠνέχθη. οὐ γὰρ κενῷ τῷ ἀγγείῳ προσπίπτει, ἀλλὰ ἀέρος πλήρει, ὑφ' οὗ διὰ τὸ συνέχεσθαι αὐτὸν ὑπὸ τοῦ ἀγγείου κωλυθεὶς εἰς τὸ πρόσω ἐνεχθῆναι ἢ θρυβῆναι, ἀπωσθεὶς εἰς τοὐπίσω πάλιν φέρεται ταχέως ἅτε εὐκίνητος ὢν τὸν αὐτὸν ἔτι φυλάσσων ψόφον. δύναται δὲ λέγεσθαι καὶ ὅτι οὐχ ὁ πρῶτος ἀὴρ πληγεὶς φέρεται | ἐπὶ τὸ κοῖλον σῶμα καὶ τὸν ἐν 132r
τούτῳ ἀπειλημμένον ἀέρα καὶ πάλιν ἀπὸ τούτων εἰς ταὐτὸν ἀνακάμπτει (οὕτως γὰρ ἀντιπερίστασις ἂν γίνοιτο διπλῆ τοῦ μετὰ τὸν πεπληγότα ἀέρα καὶ φερόμενον αὐτῷ ἐπὶ τὸν κοῖλον τόπον ὑποχωροῦντος καὶ πάλιν ἀναστρέφοντος), ἀλλ' ὁ μὲν πρῶτος ἀὴρ πληγεὶς διὰ τὸ τάχος τῆς πληγῆς συνεχὴς καὶ ἀδιαίρετος μείνας τὸν μετ' αὐτὸν σχηματίζοι ἂν τῇ ὁμοίᾳ πληγῇ, καὶ οὗτος τὸν μετ' αὐτόν, καὶ οὕτως κατὰ συνέχειαν μέχρι τοῦ ἀγγείου ἡ πρόσδος τοῦ ψόφου κατὰ διάδοσιν γίνοιτ' ἄν, ὁ δὲ τελευταῖος ὁ πρὸς τῷ ἀγγείῳ πληγεὶς τε καὶ σχηματισθεὶς κωλυθεὶς εἰς τὸ πρόσω διαδοῦναι τὴν πληγὴν ὑπὸ τοῦ ἀγγείου, ἀνάπαλιν ὑπὸ τῆς τοῦ στερεοῦ ἀντιτυπίας ἀπωσθείς, ὡς σφαῖρα ἀπὸ στερεοῦ τινος, τὸν ἐπὶ τάδε αὐτοῦ πλήσσοι τε ἂν καὶ σχηματίζοι πάλιν, καὶ οὗτος πάλιν τὸν πρὸ αὐτοῦ, καὶ οὕτως ἡ διάδοσις ἐπὶ ταὐτὰ γίνεσθαι τῆς τε πληγῆς καὶ τοῦ ψόφου ὅθεν ἤρξατο τὴν ἀρχήν, ὥσπερ καὶ ἐπὶ τῶν κατόπτρων τὸ ὁρᾶν αὐτοὺς γίνεται. ἐπεὶ δὲ ὁ ἀὴρ δοκεῖ κενὸς εἶναι, οὗτος δὲ τοῦ ἀκούειν αἴτιος (διὰ γὰρ ἀέρος τὸ

7 δύναται δὲ λέγεσθαι] man könnte aber auch sagen 9 εἰς ταὐτὸν] zu ein und demselben Orte, an welchem sie früher gewesen ist ἀνακάμπτει] sich wieder wendet und zurückkehrt 10—11 οὕτως—ἀναστρέφοντος] denn so würde die Luft insbesondere, welche nach der geklopften Luft kommt, eine Trennung von ihrem Orte zweimal erleiden, ich meine [1] in ihrer Bewegung nach der Seite des hohlen Ortes, während sie (er?) von jener Luft unterdrückt (gepresst?) wird, und [2] in ihrer Rückkehr und Umkehr zu dem Orte, an welchem sie gewesen ist 13 τῇ ὁμοίᾳ πληγῇ] nach der Form seines Klopfens 15—16 ὁ δὲ τελευταῖος—πληγείς] wenn zu der letzten Luft gelangt ist, was sich von jenem Klopfen zum Gefäss hinzieht und jene Form empfangen hat 19—21 καὶ οὕτως—γίνεται] und es hört dieser Zusammenhang und das Hervorbringen rückwärts, welches vorfällt im Klopfen und im Tone, nicht auf, bis es endet an ein und demselben Ort, von welchem es angefangen hat, damals vom Anfange, wie das geschieht in den Spiegeln, wenn wir sie ansehen

1 στερεὸν] ε post ρ in lit. V 3 ἑνὸς] fortasse ἑντὸς ἀπωσθῇ Va 4 ἠνέχθη a 5 αὐτὸν V ex. Vict.: αὐτῶν a 6 τουπίσω a 7 λέγεσθαι scripsi: γίνεσθαι Va 8 ὅτι V: ἄρα a 9 ἀπαλληγμένον a ταὐτὸν Usenerus, ut v. 3: αὐτὸν Va 10—12 de antiperistasi cf. quod de simili ἀντιπεριστάσεως genere dicitur 148v48sq. τοῦ ὑποχωροῦντος καὶ πάλιν ἀναστρέφοντος] scil. ἀέρος, quod aut legit aut supplevit Arabs. διπλῆ] bis enim, si echo fit, locum mutant ὁ ἀὴρ πεπληγὼς καὶ φερόμενος et ὁ ἀὴρ ὑποχωρῶν. αὐτῷ] αὐτὸν Usenerus, quod ego sic intellego ut prior explicatio, secundum quam aer ipse ad concava fertur, opponatur alteri, ex qua loco non movetur. hanc alteram qui sequitur, is ἀντιπερίστασιν non admittet 12 πάχος a 20 ταὐτὰ m² ταυτα m¹ V: ταὐτὰ a γίνεσθαι] fort. γίνοιτ' ἄν. cf. v. 14 καὶ οὕτως κατὰ συνέχειαν ἡ πρόσδος κατὰ διάδοσιν γίνοιτ' ἄν 21 fortasse αὐτοὺς

ἀκούειν, ὁ γὰρ ἐν τοῖς ὠσὶν ἀὴρ ἐγκατωκοδομημένος ὄργανον τοῦ ἀκούειν), διὰ ταύτην τὴν αἰτίαν εὐλόγως δοκεῖ λέγεσθαι εὖ ὑπό τινων τὸ ἀκούειν ἡμᾶς τῷ κενῷ. ἡ δὲ φωνὴ εἶδός ἐστι ψόφου. ὁ γὰρ ὑπὸ τοῦ ζῴου ὡς ζῴου γινόμενος ψόφος φωνή· ἔστι δὲ ὑπὸ ζῴου ὡς ὑπὸ ζῴου γινόμενα τὰ κατὰ φαντασίαν τινὰ καὶ καθ' ὁρμὴν γινόμενα. τῶν γὰρ ἀψύχων ὅσα φωνεῖν λέγεται, κατὰ μεταφορὰν λέγεται. ἐπεὶ γὰρ τὸ μέλος καὶ ἡ διάλεκτος ἐμψύχου ψόφοι, ὅσα δοκεῖ ταῦτα μιμεῖσθαι, ὡς αὐλοί τε καὶ κιθάραι καὶ σάλπιγγες καὶ λύραι, ταῦτα λέγεται διὰ τοῦτο φωνεῖν. φωνὴν δὲ προῖεται τῶν ζῴων τὰ ἀναπνέοντα. ἔστι γὰρ ἡ φωνὴ πληγὴ τοῦ ἀναπνεομένου ἀέρος ὑπὸ τῆς ἐν τοῖς φωνητικοῖς ὀργάνοις δυνάμεως ψυχικῆς διὰ τούτων γινομένη πρὸς τὴν καλουμένην ἀρτηρίαν κατὰ φαντασίαν τινά. τῷ γὰρ ἀναπνεομένῳ ἀέρι καταχρῆται ἡ φύσις ἐπὶ δύο ἔργα, πρός τε τὴν ἔμψυξιν τοῦ πλεονάζοντος θερμοῦ περί τε τὸν πλεύμονα καὶ τὴν καρδίαν καὶ πρὸς τὴν φωνήν, ὥσπερ γε καὶ τῇ γλώττῃ πρός τε τὴν χυμῶν διάκρισιν καὶ πρὸς τὴν διάλεκτον. αὕτη γὰρ τὸ φωνητικὸν ὄργανον, δι' οὗ ἡ ψυχὴ πρὸς τὴν ἀρτηρίαν καὶ τὸν ἐν ταύτῃ ἀέρα τὸν ἀναπνεόμενον ἀέρα πλήσσει. καὶ ὥσπερ ἐπὶ τῆς γλώττης τὸ μὲν κατὰ τὴν γεῦσίν τε καὶ τὴν τῶν χυμῶν διάκρισιν ἔργον αὐτῆς ἀναγκαῖον τῷ ἔχοντι αὐτήν, ἐπεὶ μή ἐστι ζῆν μὴ τρεφομένοις, τὸ δὲ κατὰ τὴν ἑρμηνείαν τοῦ βελτίονός τε καὶ τοῦ εὖ ἕνεκεν, οὕτως καὶ ἐπὶ τοῦ ἀναπνεομένου πνεύματος τὸ μὲν πρὸς τὴν τοῦ ἐντὸς θερμοῦ κατάψυξιν γινόμενον ἔργον δι' αὐτοῦ ἀναγκαῖον (ἡ γὰρ ἔμψυξις ἡ ἀπ' αὐτοῦ γινομένη τοῖς περὶ τὸν θώρακα μέρεσιν εἰς τὸ εἶναι συντελεῖ τοῖς ἀναπνέουσιν), τὸ δὲ πρὸς τὴν φωνὴν τοῦ εὖ χάριν. ὁ γὰρ λόγος καὶ ἡ μήνυσις τῶν τῆς ψυχῆς νοημάτων, γινόμενα διὰ τούτων, εἰς τὴν ἀρίστην συντελεῖ τῷ ἀνθρώπῳ κοινωνίαν. ὅτι δὲ τῷ ἀναπνεομένῳ ἀέρι χρῆται τὰ

---

1 ὁ—ἀὴρ] die Luft, welche in den Ohren ist ἐγκατωκοδομημένος om. 7 ταῦτα] diese Töne 8 λέγεται] wird gesagt werden 9—11 ἔστι γὰρ—φαντασίαν τινά] denn die Stimme ist fürwahr das Klopfen der gehauchten Luft durch die seelische Kraft, welche in dem Organ des Tones entsteht durch die Organe, welche genannt werden die Röhren der Lunge durch eine Art von Vorstellung 13 τὸν πλεύμονα] die Seiten der Lunge 14 καὶ om. 15—16 πρὸς—ἀέρα] an die gewehte Luft in den Röhren der Lunge und der Luft, welche in ihr ist (sic) 17—18 κατὰ—διάκρισιν] im Bereich der Geschmäcke und der Erkennung der Speisen 19 τοῦ βελτίονός—ἕνεκεν] das Vorzüglichste und am meisten Lobenswerte 20 τοῦ ἐντὸς θερμοῦ] elementare Wärme 21—23 ἡ γὰρ—ἀναπνέουσιν] das Wehen des Windes nämlich aus den Gliedern, welche in der Brust sind, und die Abkühlung, welche ihnen daraus zukömmt, beider bedarf das, was im Leibe atmet [für?] sein Leben 23 τὸ—χάριν] jedoch die Wirkung, welche von ihm im Bereich des Tones und der Stimme ausgeht, geschieht für das Vorzüglichere 24 τούτων] dieselbe [scil. Zunge] 24—25 εἰς τὴν—κοινωνίαν] davon erhält der Mensch einen Nutzen im Bereich seiner Genossenschaft mit Andern, so dass sie von der besten Beschaffenheit sei

---

1 ὠσὶν γρ. ex. Vict.: σώμασιν Va ἐγκατωκιδομημένος a 8 λῦραι a δὲ om. 13 πλεύμονα scripsi: πνεύμονα α. hoc loco et 145ᵃ19 utrum πλεύμων an πνεύμων V dubium, πλεύμων certe 141ᵃ35

φωνοῦντα δῆλον ἐκ τοῦ μήτ' ἀναπνέοντας αὐτὸν μήτε ἐκπνέοντας φωνεῖν δύνασθαι, ἀλλὰ μόνον κατέχοντας. οὐ γὰρ ἐκπνεόμενος πλήσσεται, ἀλλὰ πλησσόμενος κατὰ μόρια ἐκπνέεται. διὸ καὶ μετὰ τὴν φωνὴν ἀναπνέομεν ἀλλ' οὐκ ἐκπνέομεν. οὐχ ἡγητέον δὲ πάντα ψόφον ὑπὸ ζῴου γινόμενον φωνὴν εἶναι, ἀλλὰ μόνον τὸν οὕτως γινόμενον ὡς προείρηται. διὰ τοῦτο γὰρ οὐδὲ ὁ τοῦ βήττοντος ψόφος φωνή· καίτοι πληγὴ καὶ αὐτός ἐστιν ὑπὸ τῶν φωνητικῶν ὀργάνων γινομένη· ἀλλ' ὅτι μὴ κατὰ φαντασίαν μηδὲ καθ' ὁρμὴν γίνεται, οὐκ ἔστι φωνή. τὸ μὲν οὖν ἀκουστὸν τοιοῦτον, τὸ δὲ ἀκούειν ἐν τῇ περὶ τοῦτο ἐνεργείᾳ τῆς ἀκουστικῆς ψυχῆς. ἡ δὲ ἀκουστικὴ ψυχὴ δύναμις, καθ' ἣν τὸ ἔχον αὐτὴν ἀντιληπτικόν τε καὶ κριτικόν ἐστι τῶν ἀκουστῶν διά τινος ἀλλοιώσεως γινομένης ἐν αὐτῷ. γίνεται δὲ τὸ ἀκούειν τόνδε τὸν τρόπον· ὁ ἐναπειλημμένος τε καὶ ὥς φησιν Ἀριστοτέλης ἐγκατῳκοδομημένος τοῖς ὠσὶν ἀὴρ κινούμενος ὑπὸ τοῦ ἐπεισιόντος ἔξωθεν καὶ ὑπὸ τῆς πληγῆς ἐσχηματισμένου πως ἀέρος, ἄθρυπτος μένων διὰ τὸ πάντοθεν περιέχεσθαι, καὶ διὰ τοῦτο ἀκριβῶς δεχόμενος τὰ τοῦ κινοῦντος αὐτὸν σχήματα, παραπέμπων ταῦτα μέχρι τοῦ πρώτου αἰσθητικοῦ διὰ τῶν ἀπ' αὐτοῦ μέχρι τῶν ὤτων διατεινόντων πόρων, αἴτιος γίνεται τῇ ἐν ἐκείνῳ αἰσθητικῇ ψυχῇ τῆς ἀντιλήψεώς τε καὶ κρίσεως τῶν ψόφων. συναισθάνεται δὲ τὸ πρῶτον αἰσθητικὸν καὶ τοῦ διαστήματος μετροῦν αὐτὸ τῇ σφοδρότητί τε καὶ τῇ ἀνέσει τῆς πληγῆς. εἰ μὲν γὰρ σφοδρὰ ἡ ἐν τῷ ἀέρι τῷ ἐν τοῖς ὠσὶν ἡ πληγὴ ὑπὸ τοῦ ἐκτὸς γίνοιτο, ὡς ἐγγύς που τῆς πληγῆς γεγονυίας συνήσθετο, εἰ δὲ ἠρεμαία, ὡς πόρρω. καὶ ἔστιν ἡ τοῦ διαστήματος ἀντίληψις τῇ ἀκοῇ γινομένη διὰ τῆς σφοδρᾶς ἢ ἠρεμαίας τοῦ ἐν τοῖς ὠσὶν ἀπειλημμένου ἀέρος πληγῆς. ὁμοίως δὲ τῇ ἀκοῇ καὶ τὴν ὄψιν ὑπολητπτέον τοῦ διαστήματος ἀντιλαμβάνεσθαι. τὰ μὲν γὰρ ἐναργέστερον ὁρώμενα ἐγγυτέρω αὐτῆς εἶναι φαίνεται, τὰ δὲ ἀμαυρότερον πορρωτέρω. ὃ πάθος τῆς ὄψεως τηρήσαντες οἱ γραφεῖς τῶν ἐν τῷ αὐτῷ ἐπιπέδῳ σχημάτων τὰ μὲν ὡς ἐγγυτέρω ὄντα φαίνεσθαι παρασκευάζουσιν αὐτῇ, τὰ δ' ὡς πορρωτέρω τῇ τῶν χρωμάτων παρ' ἄλληλα θέσει τῶν τε μᾶλλον κι-

2—4 οὐ γὰρ—ἐκπνέομεν om. 8—9 τὸ δὲ ἀκούειν—ἀκουστικῆς ψυχῆς] Das Hören ist eine Wirkung des Hörenden in dem (durch das) Gehörten 9—11 ἡ δὲ—ἀκουστῶν] Das Gehör ist eine Kraft der Seele, durch welche in demjenigen, der sie besitzt, eine Wahrnehmung [entsteht], welche das Hörbare erkennt 11—12 γίνεται—τρόπον] das Gehör ist demnach 14 ἄθρυπτος μένων] fest geworden (?) und nicht gebrochen 22 καὶ] also 27 πάθος τῆς ὄψεως] Ursache, [durch] welche das Gesicht wahrnimmt 27—28 οἱ γραφεῖς—παρασκευάζουσιν] die Maler stützen sich auf die Formen, welche in einer und derselben Fläche sind, und trafen eine Bereitung in einer Weise 29 τῶν χρωμάτων] ihre Farben 29—51,1 τῶν—ἧττον] was von ihnen stärker an Bewegung ist für das Sehen und was weniger an Bewegung ist für dasselbe

3 πλησσόμενοι a 10 ψυχῆς legit Arabs 12 ἐν ἀπειλημμένος V 13 ἐπισιόντος a 20 τῆς supra lin. V ἡ ἐν τῷ κτλ. ἡ πληγὴ] cf. τὸ τῆς ψυχῆς τῆς ἐν τοῖς ζῴοις τὸ ἡγεμονικόν 141 r 7 ἡ ἐν τῷ μήλῳ ἡ κατὰ τὴν ὀσμὴν ποιότης 147 r 15 22 συνήσθετο a ἠρεμαία ut solet V 23 γινομένη a 24 ὁμοίως κτλ.] hunc locum de visu disputans omisit, at cf. 153 r 46 sq. 27 σχημάτων scripsi et legit Arabs: χρωμάτων Va 29 παράλληλα V

νούντων καὶ τῶν ἧττον τὴν τοιαύτην ἀπάτην παρασκευάζοντες αὐτῇ· ἐπεὶ γὰρ τὰ ἐγγυτέρω ὄντα μᾶλλον ὁρᾷ τῶν ἀπὸ πλείονος διαστήματος, καὶ ἃ μᾶλλον ὁρᾷ ταῦτα ἐγγυτέρω εἶναι φαντάζεται πρὸς τὴν ἀντιστροφὴν οὐ προσηκόντως γινομένην ἀπατωμένη. |

Ὁμοίως δὲ ταύταις καὶ ἡ ὄσφρησις ἀντιλαμβάνοιτ' ἂν τοῦ διαστήμα- 132v
τος. ἔστι δὲ ἡ ὄσφρησις ἀντίληψίς τε καὶ κρίσις τῶν ὀσφραντῶν. ὀσφραντὰ δὲ αἱ ὀσμαί. οὐχ ὁμοίως δὲ γνώριμα ἡμῖν τὰ ὀσφραντὰ τοῖς τε ἀκουστοῖς καὶ τοῖς ὁρατοῖς, καὶ πολὺ πλέον ἔτι τοῖς ἁπτοῖς τε καὶ γευστοῖς. τὸ δ' αἴτιον, ὅτι μηδὲ τὴν αἴσθησιν ταύτην ἔχομεν ἀκριβῆ. φαυλότερον γὰρ πολλῶν ζώων ἄνθρωπος ὀσμᾶται. μόνων γοῦν αἰσθάνεται τῶν λυπηρῶν τε καὶ ἡδέων ὀσμῶν οὐχ οὕτως ὁρῶν οὐδὲ ἀκούων. ἐπὶ γὰρ ἐκείνων οὐ τῶν ἡδέων τε καὶ λυπηρῶν μόνων ἡ ἀντίληψις. ἀκούομεν γὰρ καὶ ὁρῶμεν καὶ τὰ μήτε λυπηρὰ μήτε ἡδέα. ἔοικε μὲν γὰρ τὰ ὀσφραντὰ ὁμοίως ἔχειν τοῖς γευστοῖς, ὡς εἶναι τὰ εἴδη τῶν ὀσφραντῶν ἀνάλογον τοῖς τῶν χυμῶν εἴδεσιν. ἀπ' ἐκείνων γάρ πως καὶ ἡ γένεσις αὐτοῖς, εἴ γέ ἐστιν ὁ μὲν χυμός, ὥς φησιν ἐν τῷ περὶ αἰσθήσεών τε καὶ αἰσθητῶν Ἀριστοτέλης, τὸ ἐν τῷ ὕδατι γινόμενον πάθος ὑπὸ τοῦ γεώδους ξηροῦ διά τινος θερμότητός τε καὶ πέψεως τῆς κατὰ δύναμιν γεύσεως μεταβλητικὸν εἰς ἐνέργειαν, ὀσφραντὸν δὲ τὸ ἐν τῷ ὑγρῷ γινόμενον πάθος ὑπὸ τῆς ἐγχύμου ξηρότητος. τὸ γὰρ δίοσμον πλυντικὸν ὂν καὶ ῥυπτικὸν ἐγχύμου ξηρότητος, ὅταν τοῦτο δέξηται τὸ πάθος, ὀσφραντὸν κατ' ἐνέργειαν γίνεται. ἀνάλογον μὲν οὖν διὰ τοῦτο τῷ χυμῷ τὸ ὀσφραντόν. διὸ καὶ ὡς τῶν χυμῶν οἱ μέν εἰσι γλυκεῖς, οἱ δὲ πικροί, καὶ οἱ μὲν λιπαροί, οἱ δὲ ἁλμυροί, καὶ πρὸς τούτοις οἱ μὲν αὐστηροί, οἱ δὲ ὀξεῖς, οἱ δὲ στρυφνοί, οἱ δὲ δριμεῖς, οὕτως δὲ καὶ αἱ τῶν ὀσφραντῶν ἔχουσι διαφοραί. ἀλλ' ἐπεὶ τὴν μὲν γεῦσιν ἀκριβεστάτην αἴσθησιν ἔχομεν, ὅτι καὶ τὴν ἁφήν (ἁφὴ γάρ τις καὶ ἡ γεῦσις· κατὰ γὰρ

1 τὴν τοιαύτην ἀπάτην] eine Vorstellung, wie jene Täuschungen 2 μᾶλλον ὁρᾷ] für wahrer hält 2—3 ἃ μᾶλλον ὁρᾷ] dessen Sehen ihm wahrhafter ist 3—4 πρὸς τὴν —ἀπατωμένη] Dieser Irrtum entsteht in ihm, weil er das Umkehren an dem nicht Notwendigen (in ungebührlicher Weise) vornimmt 8 τε καὶ γευστοῖς om. 9 ὅτι—ἀκριβῆ] dass dieser Sinn nicht [ist] wahrhaft in uns 10 λυπηρῶν] die schädlichen 12 γὰρ om. 16 ἐν τῷ—αἰσθητῶν] im Buche von den Sinnen 19 ἐγχύμου] geschmacklos 19—20 τὸ γὰρ δίοσμον--ξηρότητος om. 20—21 τοῦτο .. τὸ πάθος] die Spuren des Geruches 22 καὶ om. 24 αὐστηροί] zusammenziehend (herb) ὀξεῖς] sauer στρυφνοί] gallig δριμεῖς] scharf (herb) 25 διαφοραί] Arten 25—26 ἀλλ' ἐπεὶ—ἔχομεν] Jedoch im Bereich des Geschmackes ist unser Sinn im höchsten Grade der Gesundheit [cf. 52,7 κατὰ—ἀκριβείας was den Geruch anbetrifft, so sind wir verkürzt]

3 ἐγγυτέρῳ V 5 „περὶ ὀσφρήσεως.“ ὁμοίως δὲ Va 7 γνώρημα V 9 ὅτι V: ἄρα a 10 ὁ ἄνθρωπος a 16 αἰσθήσεώς a ἐν τῷ κτλ.] Ar. de sens. 4,441b19 20 πλυτικὸν a (et 53,5) 24 δριμεῖς m² in lit. πικροί ut videtur m¹ V: πικροὶ a cf. 52,10 25 ἐπεὶ μὲν τὴν γεῦσιν m¹ m² corr. τὴν μὲν V: ἐπεὶ τὴν μὲν γεῦσιν a ἐπεὶ non legit int. hebr. fortasse ἀλλ' ἐκείνην μὲν [τὴν γεῦσιν] sive ἀλλ' ἐκείνην μέν, τὴν γεῦσιν 26 ὅτι V: ἄρα a ἁφὴ γάρ τις κτλ.] parenthesis parenthesim continet 52,2—4 διὰ τοῦτο—τελειοτέρα

τὴν ἁφὴν διαφερόντως ὁ ἄνθρωπος αἰσθητικός· τῷ γὰρ εὖκρατον μάλιστα εἶναι τὸ σῶμα αὐτῷ, διὰ τοῦτο γὰρ καὶ ἡ ἐντελέχειά τε καὶ ἡ τελειότης αὐτοῦ, ὅπερ ἐστὶν ἡ ψυχή, τῶν ἄλλων ἁπάντων ζῴων ἀμείνων τε καὶ τελειοτέρα, τούτῳ καὶ τὴν ἁφὴν ἀκριβεστάτην ἔχει γινομένην σχεδὸν διὰ παντὸς τοῦ σώματος τοῦ τὴν προειρημένην εὐκρασίαν ἔχοντος· διὸ καὶ σημεῖον τοῖς ἀνθρώποις εὐφυΐας εἶναι δοκεῖ ἡ ἐκ φύσεως κατὰ τὴν ἁφὴν εὐαισθησία), κατὰ δὲ τὴν ὄσφρησιν ἀπολειπόμεθα τῆς ἀκριβείας. οὔτε γὰρ πάσας τῶν ὀσφρητῶν τὰς διαφορὰς γνωρίζομεν οὔτε ἀπὸ τῆς οἰκείας αὐτὰ διαφορᾶς ὀνομάζομεν, ἀλλὰ συναπτοντες αὐτὰς τοῖς χυμοῖς τὰς μὲν τῶν γλυκέων χυμῶν ὀσμὰς καὶ αὐτὰς γλυκείας λέγομεν, τὰς δὲ τῶν δριμέων δριμείας. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὥσπερ δὲ ἥ τε ἀκοὴ καὶ ἡ ὄψις οὐ μόνον ἡ μὲν τῶν ἀκουστῶν ἡ δὲ τῶν ὁρατῶν κριτικαί, ἀλλὰ καὶ τῶν ἀντικειμένων αὐταῖς στερήσεων (ἀκοῆς γὰρ τὸ ἀνήκουστον οὕτως κρῖναι καὶ ὄψεως τὸ ἀόρατον· τοῦ γὰρ σκότους οὐκ ἄλλη τις ἢ ὄψις ἐστὶ κριτική), οὕτως δὲ καὶ ἡ ὄσφρησις τοῦ τε ὀσφρητοῦ καὶ ἀνοσφρήτου τοῦ κατὰ στέρησιν. πᾶσα γὰρ αἴσθησις κριτικὴ καὶ τῆς ἀντικειμένης τῷ αἰσθητῷ αὐτῷ στερήσεως· ἔχει δὲ καὶ τοῦτο ἡ ὄσφρησις παραπλήσιον τῇ τε ὄψει καὶ τῇ ἀκοῇ τὸ διὰ μέσου τε καὶ ἐκτὸς ὄντος γίνεσθαι ἀέρος ἢ ὕδατος, ἅ ἐστιν, ὥσπερ διαφανῆ καὶ δίηχα, οὕτως δὲ καὶ ὀσμὰ κατὰ δύναμίν τινα οἰκείαν οὖσαν ἐν αὐτοῖς ἑκάστῳ αὐτῶν διακονούμενα. καὶ γὰρ τὰ ἔνυδρα ὀσμῆς αἰσθάνεται· πόρρωθεν γοῦν ἐπὶ τὴν τροφὴν ἁπαντᾷ ὕποσμα γινόμενα. γίνεται δὲ τοῖς μὲν ἀνθρώποις τε καὶ ὅλως τοῖς ἀναπνέουσιν διὰ τοῦ ἀναπνεῖν ἡ ὄσφρησις, διὰ τῆς ἀναπνοῆς ἀποκαλυπτομένου καὶ ἀνευρυνομένου τοῦ τῆς ὀσφρήσεως ὀργάνου, τέως ἐπικεκαλυμμένου τε καὶ μυκότος, ὥσπερ ἐπὶ τῶν ὀφθαλμῶν γίνεται τοῖς ἔχουσι βλέφαρα. τοῖς δὲ μὴ ἀναπνέουσιν οὐχ οὕτω γίνεται τῷ τοὺς ὀσφρητικοὺς πόρους ἔχειν αὐτὰ

---

2 εἶναι] addit: unter den Leibern 2—3 ἡ ἐντελέχεια — αὐτοῦ] seine Vollkommenheit d. i. das, was Entelechie genannt wird 4—5 σχεδὸν—ἔχοντος] weil dieser Sinn den grössten Teil der Haut seines Leibes, welcher von der früher bezeichneten Gleichmässigkeit ist, umfasst 5—6 διὸ—εὐαισθησία] daher glauben wir, dass es ein Zeichen ist (?) desjenigen unter den Menschen, der mit einer vorzüglichen Natur begabt ist, dass er von Natur einen feinen Tastsinn habe 7 ἀπολειπόμεθα] wir die Genossenschaft der Menschen sind im höchsten Grade verkürzt ἀκριβείας] Gesundheit 12—13 καὶ—στερήσεων] und die Negation, die ihnen entgegengesetzt ist 13 οὕτως om. 15 τοῦ κατὰ στέρησιν om. 17 ὄσφρησις] Geschmack 18 διὰ—ὄντος] vermittelst eines Dinges von aussen 19—20 οὕτως—διακονούμενα] so tragen sie auch den Geruch; sie dienen je einem von diesen Sinnen durch eine Kraft in ihnen, angemessen je einem derselben 20 αὐτῶν] von diesen Sinnen 20—21 καὶ γὰρ—ὕποσμα γινόμενα] Denn das Thier, dessen Aufenthalt im Wasser, wenn es auch von der Entfernung nicht wahrnimmt, so riecht es auf alle Fälle, denn wir finden, dass es sich wendet nach der Seite der Speise, bis es sie findet

---

6 εὐεσθησία a 10 δρυμέων δρυμείας a 13 κρῖναι a: κρίναι V ut solet (κρίνον) 14 σκότους V: σκόπους a 25 ἔχουσι] ει supra lin. V 26 ὀσφραντικοὺς a

ἀσκεπεῖς, ὡς ἐπὶ τῶν ὀφθαλμῶν ἔχει ἐν τοῖς σκληροφθάλμοις τῶν ζῴων. ὥσπερ δὲ χυμὸς ὑγροῦ ἐστι καὶ ἐν ὑγρῷ (οὐ γὰρ οἷόν τε ἀντιλῆψιν χυμοῦ γενέσθαι μὴ πρῶτον διυγρανθέντος τοῦ ἐν ᾧ ἐστιν εἰ ξηρὸν εἴη), οὕτως καὶ ἡ ὀσμὴ τοῦ ξηροῦ τε καὶ ἐν ξηρῷ. ἡ γὰρ φύσις ἡ τῶν ὀσμῶν δεκτική, ἣν δίοσμον καλοῦμεν, οὖσα ἐν ἀέρι τε καὶ ὕδατι, πλυντική τε καὶ ῥυπτική ἐστιν ἐγχύμου ξηρότητος, ἣν ἔγχυμον ξηρότητα δεξαμένη γίνεται κατ' ἐνέργειαν ὀσφραντή, ὡς προείρηται. οὐδὲν γὰρ τῶν μὴ ἐγχύμων ὀσφραντόν. οὔτε γὰρ πῦρ οὔτε ἀὴρ οὔτε ὕδωρ οὔτε γῆ καθ' αὑτὰ ὀσφραντά, ὅτι ἄχυμα. ἡ δὲ θάλαττα ὀσμὴν ἔχει. ἤδη γὰρ προσείληφεν χυμόν τινα καὶ ξηρότητα. καὶ οἱ μὲν λίθοι ἄοσμοι διότι ἄχυμοι. τὰ δὲ ξύλα ὀσμώδη, ὅτι καὶ ἔγχυμα. ὡς γὰρ ὁ χυμὸς γίνεται τῆς γεώδους ξηρότητος ἐναποπλυνομένης ἐν τῷ ὕδατι καὶ πεσσομένης διά τινος θερμότητος (αὕτη γὰρ γένεσις καὶ τῶν ἐν τοῖς καρποῖς χυμῶν ὡς ῥηθήσεται), οὕτως καὶ αἱ ὀσμαὶ γίνονται ἐν τῷ ἀέρι τε καὶ ὕδατι ἐναποπλυνομένης ἐν αὐτοῖς τῆς ἐγχύμου ξηρότητος καθό ἐστι δίοσμα. τὸ μὲν γὰρ γεῶδες ξηρὸν μηδέπω χυμὸν ἔχον ἐν αὐτῷ, μιγνύμενον καὶ ἐναποπλυνόμενόν πως τῷ ὕδατι διά τινος πέψεως τοὺς χυμοὺς ποιεῖ, τὰς δὲ ὀσμὰς οὐκέτι τὸ ἄχυμον ξηρὸν ποιεῖ, ἀλλὰ τὸ μεμιγμένον ἤδη τῷ ὕδατι καὶ χυμὸν ἔχον. ὅτι γὰρ αἱ ὀσμαὶ ὑπὸ τῆς ἐγχύμου ὑγρότητός τε καὶ ξηρότητος (ἄμφω γὰρ ἐν τῷ χυμῷ), δῆλον ἐκ τοῦ πάντα τὰ ὀσφραντὰ καὶ χυμὸν ἔχειν τινά. διὰ γοῦν τῆς ὀσφρήσεως πολλάκις καὶ τῶν σηπομένων καὶ τῶν προσκαιομένων χυμῶν καὶ τῶν εἰς ὀξύτητα μεταβαλλόντων τινὰς γνωρίζομεν, ὡς ἐκ τῶν χυμῶν τὴν γένεσιν τῶν ὀσφρητῶν ἐχόν|των καὶ διὰ τοῦτο ἐπο- 125r
μένων τῇ ἐκείνων μεταβολῇ. διὸ εἴη ἂν ὀσφραντὸν τὸ ἐγγινόμενον ὑπὸ τοῦ ἐγχύμου ξηροῦ καθὸ τοιοῦτόν ἐστι πάθος ἐν τῷ ὑγρῷ. ἐπὶ πλέον δὲ εἴρηται περὶ τούτων ἐν τῷ περὶ αἰσθητῶν τε καὶ αἰσθήσεων. τὸ μὲν οὖν ὀσφραντὸν τοιοῦτον, ὀσφραντικὸν δέ ἐστιν τὸ δύναμιν ἔχον ψυχῆς, καθ' ἣν δι' ἀλλοιώσεώς τε καὶ ὁμοιώσεως τῷ ὀσφραντῷ ἀντιληπτικόν τε αὐτοῦ καὶ κριτικόν ἐστιν.

Ἡ δὲ γευστικὴ αἴσθησίς τε καὶ δύναμίς ἐστι μὲν ἀντιληπτική τε καὶ

---

4 ἐν] durch 4—6 ἡ γὰρ φύσις—ἐγχύμου ξηρότητος] indem die Natur, welche die Gerüche aufnimmt, das ist diejenige, die wir bezeichnen, als den Träger der in der Luft oder im Wasser vorhandenen Gerüche, die Trockenheit des Geschmacksgegenstandes aufnimmt 9—10 ἤδη γὰρ—ξηρότητα] weil es einen bitteren und trockenen Geschmack erworben hat 11 ξύλα] die Arten des Baumes 13 αὕτη—ῥηθήσεται] denn so ist die Erzeugung der übeln Geschmäcke ebenfalls und der ekligen, fremdartigen, die einen schlechten Geschmack haben, wie wir später in einer Rede auseinandersetzen werden 15 καθὸ—δίοσμα] weil diese die Gerüche tragen 19—20 ἄμφω—χυμῷ] und dass beide Dinge zusammen sich zusammenfinden im Geschmack 21 γοῦν] daher 26 ἐν—αἰσθήσεων] in dem Buche der Sinne und Sinnesobjecte 28 τῷ ὀσφραντῷ] in dem Gerochenen 29 ἐστιν] wird

5 οὖσαν a 8 ὀσφαντόν a 17 τινος] τι supra lin. V 22 ὀξύτητος a τινὰ a 26 ἐν τῷ κτλ.] cf. Praef. 29 ἐστιν om. 30 „περὶ γευστικῆς αἰσθήσεως.“ ἡ δὲ Va

κριτικὴ τῶν γευστῶν, ἅπερ εἰσὶν οἱ χυμοί, τὸ δὲ γευστὸν ἁπτόν τι, διὰ γὰρ ἁφῆς ἡ ἀντίληψις αὐτοῦ. διὸ οὐκ ἔστι διά τινος μεταξύ, ὄντος σώματος ἄλλου παρὰ τὸ γευστικὸν καὶ τὸ γευστόν, ἡ γεῦσις γινομένη, διότι μηδὲ ἡ ἁφή. τὸ μὲν γὰρ γευστὸν χυμός, ὁ δὲ χυμὸς ὑγρόν, τὸ δὲ ὑγρὸν ἁπτόν (ἁφὴ γὰρ αἴσθησις ὑγροῦ), ὥστε τὸ γευστὸν ἁπτόν. ὑγρὸν δὲ ὁ χυμός, ὅτι ὕλη τῇ ποιότητι ταύτῃ τὸ ὑγρὸν ὕδωρ γίνεται. οὐδὲν γὰρ γευστὸν ἄνευ ὑγρότητος. τὸ γὰρ ὕδωρ ἄχυμον ὂν καθ' αὑτό, πάσχον καθ' ὃ ὑγρόν ἐστιν ὑπὸ τῆς ἐν τῇ γῇ ξηρότητος οὔσης ἐναντίας αὐτῷ, ὅταν ἐν αὐτῇ ᾖ καὶ δι' αὐτῆς ῥέῃ, προσγινομένης τινὸς αὐτῷ διὰ θερμότητος πέψεως ἔγχυμον γίνεται. γένεσις γὰρ χυμοῦ ἡ τοῦ ὑγροῦ διὰ τοῦ γεώδους ξηροῦ διήθησις προσλαβοῦσα πέψιν τινὰ καὶ σύστασιν διά τινος θερμότητος. κατ' ἰδίαν μὲν γὰρ ἑκάτερον αὐτῶν ἄχυμον, ὅτι καὶ πᾶν ἁπλοῦν σῶμα. ἡ δὲ κατὰ τὸν προειρημένον τρόπον μῖξις αὐτῶν γινομένη χυμῶν γεννητική. καὶ γὰρ οἱ ἐν τῇ γῇ δοκοῦντες εἶναι χυμοὶ κατὰ μῖξιν ὑγροῦ καὶ σύστασιν ὑπὸ θερμότητος γινομένην τὴν γένεσιν ἔχουσιν. εἰσὶ γὰρ ἐν τῇ γῇ ἐγκαταμεμιγμέναι καὶ ὑγρότητες καὶ θερμότητες. διὸ καὶ ὡρίσατο τὸν χυμὸν Ἀριστοτέλης πάθος τὸ ὑπὸ τοῦ ἐν τῇ γῇ ξηροῦ γινόμενον ἐν τῷ ὑγρῷ τῆς γεύσεως τῆς κατὰ δύναμιν ἀλλοιωτικὸν εἰς ἐνέργειαν. ἐπεὶ δὲ τὸ γευστὸν ὑγρόν, ἀνάγκη τὸ τῶν χυμῶν ἀντιληπτικὸν ὄργανον μήτε ἐντελεχείᾳ ὑγρὸν εἶναι μήτε ἀδύνατον ὑγραίνεσθαι, εἴ γε δι' ὁμοιώσεως μὲν ἡ αἰσθητικὴ ἀντίληψις, ἡ δὲ ὁμοίωσις δι' ἀλλοιώσεως, ἡ δὲ ἀλλοίωσις μεταβολή· τὸ γὰρ εἰς τὸ ὅμοιόν τινι μεταβάλλον ἐξ ἀνομοίου ποιεῖται τὴν μεταβολήν. τοιοῦτον δὲ ἡ γλῶττα· οὔτε γὰρ αὐτὴ καθ' αὑτὴν ὑγρά (οὐ γὰρ ἂν ἔτι τῆς ἀλλοτρίας ὑγρότητος ᾐσθάνετο μὴ πάσχουσα ὑπ' αὐτῆς δι' ὁμοιότητα, μὴ αἰσθανομένη δὲ τοῦ ὑγροῦ οὐδ' ἂν τοῦ ἐν αὐτῷ χυμοῦ

---

1 τὸ δὲ—τι] der Geschmack ist eine Art des Getasteten 2 ἁφῆς] addit: desselben 5 ὥστε τὸ γευστὸν ἁπτόν] also ergiebt sich, dass das Geschmacksobjekt Tastobjekt feucht sei 5—6 ὑγρὸν δὲ—ὕδωρ γίνεται] der Geschmack ist die Qualität, welche in der Hyle des Geschmacksobjectes (Schmeckbaren) ist. Die Hyle des Geschmacksobjektes ist das Feuchte, da es Wasser ist 7 καθ' αὑτὸ om. 8—9 ὅταν—ῥέῃ] indem sie (die Erde) in ihm (dem Wasser) ist und es in ihrem Durchgang (Canal?) bewegt 11 διήθησις] Mengung mit σύστασιν] Geteiltwerden 12 ἑκάτερον] addit: Wasser und Erde 12 ὅτι καὶ πᾶν] addit: weil jedes eine von beiden in seiner Gesammtheit 13—14 ἡ δὲ κατὰ—γεννητική] wenn aber in dem, was zwischen beiden ist, die Mengung entsteht in der Weise, die wir geschildert haben, so werden daraus die Geschmäcke erzeugt 15 σύστασιν] Geteiltwerden 18 γεύσεως] Geschmacksobjekt 19 τῶν χυμῶν] die Feuchtigkeiten 20 ἐντελεχείᾳ] addit: das heisst in seiner Vollendung 25 οὐδ' ἂν—χυμοῦ] selbst das nicht, was darin [i. e. in dem Feuchten] ist

---

2 σώματι a 5 ἁφὴ a: ἁφη V fortasse ἁφῇ 6 graeca sana videntur, gustus autem definitio, quae corruptis hebraicae interpretationis verbis subest [„*gustus qualitas est, quae in gustabilium materia inest*“] unde fluxerit, non video 9 ῥέῃ a 10 γαιώδους sic V 15 γινομένην a: γινομένης V 16 prius καὶ om. a διὸ καὶ κτλ.]. Ar. de sens. 4, 441 b 19 sq. 17 τὸ om. a 24 ᾐσθάνετο a 25 δὲ supra lin. V

ἠσθάνετο, εἴ γε διὰ τῆς τοῦ ὑγροῦ ἀντιλήψεως ἡ τῶν ἐν αὐτῷ χυμῶν αἴσθησις γίνεται), οὔτ' αὖ πάλιν ἐστὶ τοιαύτη, ὡς μὴ ῥᾳδίως ὑγραίνεσθαι. καὶ ἔστιν ὡς ἐπὶ τῶν κατὰ τὰς ἄλλας αἰσθήσεις αἰσθητηρίων τὸ αἰσθητήριον δυνάμει μὲν ὅμοιον τῷ αἰσθητῷ, ἐνεργείᾳ δὲ ἀνόμοιον, οὕτω δὲ καὶ τὸ τῆς γεύσεως ὄργανον ἡ γλῶττα. τὰ δὲ εἴδη τῶν χυμῶν, ἀφ' ὧν κατὰ μεταφορὰν καὶ τὰ ἐπὶ τῶν ὀσφραντῶν ἐλέγετο, ὡς ἐπὶ τῶν χρωμάτων ἔχει. ὡς γὰρ ἐπ' ἐκείνων ἁπλᾶ μὲν τὸ λευκὸν καὶ μέλαν, τὰ δ' ἄλλα ἐκ τούτων μικτά, οὕτω δὲ καὶ ἐπὶ τῶν χυμῶν ἁπλοῦς μὲν ὁ γλυκὺς καὶ ὁ πικρός, ἐκ δὲ τῆς μίξεως τούτων ἐγγυτέρω μὲν τοῦ γλυκέος ὁ λιπαρός, τοῦ δὲ πικροῦ ὁ ἁλμυρός, μεταξὺ δὲ τούτων ἐκ τῆς τούτων πάλιν μίξεως ὅ τε δριμὺς καὶ αὐστηρὸς καὶ στρυφνὸς καὶ ὀξύς. τὸ μὲν οὖν γευστόν ἐστι τὸ ποιοῦν ἐντελεχείᾳ ὅμοιον αὐτῷ τὸ γευόμενον αὐτοῦ, γευστικὸν δὲ τὸ ἔχον δύναμιν ἀντιληπτικήν τε καὶ κριτικὴν τοῦ τοιούτου διὰ τῆς πρὸς αὐτὸ κατ' ἀλλοίωσιν ὁμοιότητος.

Λοιπὸς δὲ τοῦ περὶ αἰσθήσεων ὁ περὶ ἁφῆς λόγος. ἔστι δὲ καὶ ἡ ἁφὴ ἀντίληψίς τε καὶ κρίσις τῶν ἁπτῶν, ἢ γίνεται τοῦ τὴν ἁπτικὴν δύναμιν ἔχοντος ὁμοιουμένου τῷ ἁπτῷ. ἀμφισβήτησιν δὲ ἔχει, μήποτε οὐ μία αἴσθησίς ἐστιν ἡ ἁφή, ἀλλὰ πλείους καὶ τοσαῦται, ὅσαι καὶ αἱ ἁπταὶ ἐναντιώσεις. ὀκεῖ γὰρ ἑκάστη αἴσθησις μιᾶς ἐναντιώσεως εἶναι κριτική, ὄψις μὲν λευκοῦ καὶ μέλανος καὶ τῶν τούτων μεταξύ, ἀκοὴ δὲ βαρέος καὶ ὀξέος καὶ γεῦσις πικροῦ καὶ γλυκέος. ἐν δὲ τοῖς ἁπτοῖς πλείους εἰσὶν ἐναντιώσεις· θερμότης γὰρ καὶ ψυχρότης καὶ ὑγρότης καὶ ξηρότης καὶ σκληρότης καὶ μαλακότης καὶ λειότης καὶ τραχύτης καὶ βαρύτης καὶ κουφότης, ἐναντιώσεις ἕτεραί τε ἀλλήλων καὶ διαφέρουσαι, ὥστ', εἰ καθ' ἑκάστην ἐναντίωσίν ἐστί τις ἁφὴ ἰδίως ἐκείνης τῆς ἐναντιώσεως κριτική, εἶεν ἂν πλείους ἁφαί. ἢ ἔστι καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων εὑρεῖν πλειόνων ἐναντιώσεων τὴν αὐτὴν αἴσθησιν κριτικήν. ἐν γοῦν φωνῇ οὔσῃ ἀκουστῇ οὐ μόνον ἐστὶν ἐναντίωσις ὀξύτης καὶ βαρύτης, ἀλλὰ καὶ μέγεθος καὶ μικρότης καὶ λειότης καὶ τραχύτης καί τινες ἄλλαι τοιαῦται, ὁμοίως δὲ καὶ

---

3 καὶ] sondern 6 μεταφορὰν] Entlehnung und Aehnlichkeit καὶ τὰ ἐπὶ τῶν ὀσφραντῶν] die Gerochenen 9 λιπαρός] fade (fett) 12 ἐντελεχείᾳ] vollständig 13 τοῦ τοιούτου] das Geschmacksobjekt 19 ὀκεῖ γὰρ] denn man könnte meinen κριτική] erkennt und kennt 21 πλείους] addit: als einer 24 ἐναντιώσεις—διαφέρουσαι] sind einander entgegengesetzt und sie sind verschieden 24—25 ὥστ' εἰ —κριτική] und wenn jeder Gegensatz unter diesen Entgegengesetzten denselben Gegensatz nicht kennt 26—27 ἢ ἔστι—ἐν γοῦν φωνῇ] und vielleicht findet sich (p: ist Etwas, was sich findet) nach dieser Analogie auch bei den anderen Sinnen in jedem Sinn derselben mehr als einer [scil. Sinn], da wir finden, dass ein und derselbe Sinn unter ihnen mehr als einen Gegensatz kenne. Dahin [gehört], dass im Tone

---

1 ἠσθάνετο a 2 τοιαύτη] ια in lit. V 4 μὲν om. 6 fortasse τὰ τῶν 8 ἁπλᾶ a 15 „περὶ ἁφῆς." λοιπὸς δὲ Va καὶ ἡ om. a 22 ἐναντιώσεις] ι et ει in lit. V ψηχρότης a 26 ἢ] cf. ἢ οὐκ εἰσὶν 56,1 et 58,2 63,6 Ind. 27 ἀκουστῇ Va

περὶ χρῶμα ἔστιν εὑρεῖν διαφορὰς τοιαύτας. ἢ οὐκ εἰσὶν αὗται αἱ ἐναντιώσεις, τὸ μέγεθος καὶ ἡ μικρότης καὶ ἡ λειότης καὶ ἡ τραχύτης, ἴδια αἰσθητὰ φωνῆς. κοινὰ γὰρ ταῦτα αἰσθητά. εἰ δὲ τοῦτο, μένοι ἂν τὸ ἠπορημένον, καὶ ἐκεῖνο δὲ διαφέρον ἔχει τὰ ἁπτὰ πρὸς τὰ ταῖς ἄλλαις αἰσθήσεσιν αἰσθητά, ὅτι ἐκείνων μὲν ἑκάστῃ ἕν τί ἐστι τὸ ὑποκείμενον οἰκεῖον | ἔχον ὄνομα (τῇ μὲν γὰρ ἀκοῇ ψόφος τὸ ὑποκείμενον, τῇ δὲ ὄψει 135v χρῶμα, χυμὸς δὲ γεύσει, ὀσφρήσει δὲ ὀσμή), τῇ δὲ ἁφῇ, ὅτι ἓν τὸ ὑποκείμενον, περὶ δ αἱ ἁπταί εἰσιν ἐναντιώσεις, οὐκ ἔστι δῆλον. οὐ γάρ ἐστι τὸ ἁπτὸν ὄνομα τοῦ ὑποκειμένου, ἀλλὰ τῆς σχέσεως, ὡς τὸ ὁρατόν, ὡς τὸ ἀκουστόν, ὀνόματα δὲ ἐκείνων μὲν τὸ χρῶμα καὶ ὁ ψόφος, τοῦ δὲ ἁπτοῦ οὐδέν ἐστιν ἓν ὄνομα οἰκεῖον. ἢ οὐδὲ ἐπὶ τῶν ὁρατῶν ἑνί οἷόν τε ὀνόματι περιλαβεῖν αὐτά, εἴ γέ ἐστιν ὁρατὰ χρώματα καὶ ὃ λόγῳ μέν ἐστιν εἰπεῖν, ἀνώνυμον δὲ τυγχάνει ὄν, ὡς εἴρηκεν Ἀριστοτέλης· τοιαῦτα γὰρ τὰ σκότους στίλβοντά τε καὶ ὁρώμενα. ἀπορήσαι δ' ἄν τις καὶ τοῦτο περὶ τῆς ἁφῆς, πότερον ἡ σάρξ ἐστιν ἡ τῶν ἁπτῶν ἀντιλαμβανομένη καὶ τὴν ἁπτικὴν δύναμιν ἔχουσα ἐν αὐτῇ, ἢ ἐντός τί ἐστιν ἄλλο τὸ τῶν ἁπτῶν ἀντιληπτικόν; οὐ γὰρ ἱκανὸν σημεῖον τοῦ ἐν τῇ σαρκὶ εἶναι τὴν ἁπτικὴν δύναμιν τὸ εὐθὺ τῷ ἅψασθαι τὸ ἁπτὸν τῆς σαρκὸς τὴν αἴσθησιν γίνεσθαι. καὶ γὰρ εἰ ὑμένα τις ἔξωθεν περιτείνειεν τῇ σαρκί, εὐθὺς ἂν ἁψαμένῳ ἡ αἴσθησις γίνοιτο, καίτοι οὐκ ὄντος τοῦ ὑμένος μέρους τῆς σαρκὸς οὐδὲ ἔχοντος δύναμιν ἀντιληπτικήν. ἔτι δ' ἂν μᾶλλον εὐθὺς αἰσθανοίμεθα διὰ τοῦ ὑμένος, εἰ συμφυὴς ἡμῖν οὗτος ὁ ὑμὴν γένοιτο, ὥσπερ ἐστὶ καὶ ἡ σὰρξ συμφυής. ὥστ' οὐ δόξει ἱκανὸν σημεῖον εἶναι τοῦ εἶναι τὴν σάρκα τὴν

---

1 διαφορὰς] Arten 1—3 ἢ οὐκ—φωνῆς] vielleicht sind diese Gegensätze, ich meine die Grösse und die Kleinheit und die Glätte und die Rauheit, nicht Sinnesobjekte (Wahrnehmungen?), welche dem Gehör, sondern dem Ton (Schall) eigentümlich sind; denn darüber scheint er zu zweifeln (dies scheint zweifelhaft) 3 κοινὰ γὰρ ταῦτα αἰσθητά om. 3—4 εἰ δὲ τοῦτο—πρὸς τὰ] Es giebt auch einen Unterschied zwischen den Tastobjecten und 7 ἡ ὀσμὴ] die Gerüche ὅτι ἕν] was sein Träger sei 9 ἀλλὰ τῆς σχέσεως ὡς τὸ] sondern nur ein auf dasselbe bezüglicher Name, wie es der Fall ist bei dem 11 οὐδέν—οἰκεῖον] hat nicht einen Namen, welcher dasselbe umfasst 11—12 ἑνὶ .. ὀνόματι] in einen Namen, der sie umfasse 18 τὸ—γίνεσθαι] dass, wenn der Betaster das Fleisch betastet, man sofort es wahrnimmt 19 εἴ τις .. περιτείνειεν] wenn du bekleidest und dann es betastest 21—23 ἔτι—σὰρξ συμφυής] Wenn du diese Haut vom Leibe gefasst, ihm anhaftend vorstellst, wie das Fleisch gefasst ist, und ihm anhaftet, so wäre es viel angemessener, dass das Tasten des Tastenden sofort wahrnehme 23—57,1 ὥστ'—αἰσθάνεσθαι] Aus dieser Ursache scheint es nicht, dass, wenn wir finden, dass das Fleisch, wenn es betastet, empfinde, genügend beweise, dass das Fleisch es sei, welches wahrnimmt

---

1 αἱ om. a 2 in verbis ἴδια αἰσθητὰ φωνῆς merito haesit Arabs. sed coniecit nisi fallor, non legit: ἴδια αἰσθητὰ ἀκοῆς, ἀλλὰ φωνῆς. hoc enim dicit philosophus *contraria illa*, de quibus disputat, *non tantum in voce, sed etiam in coloribus aliis sensibilibus percipi:* ἐστὶ γὰρ κοινά, ὅσα τὸ μὲν γνωρίζεσθαι δι' αἰσθήσεως ἔχει, πλείους μέντοι εἰσὶν αὐτῶν αἰσθήσεις διάκονοι (41,1). quare lenissime fortasse mutabis ἴδια αἰσθητὰ ἐπὶ φωνῆς.
5 ἑκάστη a 13 ὡς εἴρηκεν Ἀριστοτέλης] Ar. de an. 2,7. 419a2

αἰσθανομένην τὸ εὐθὺς αὐτῇ ἁψαμένου τινὸς αἰσθάνεσθαι. μήποτ' οὖν ἀληθέστερον μήτε ἐν τῇ σαρκὶ λέγειν τὴν αἴσθησιν εἶναι τὴν ἁπτικήν, μήτ' αὖ μέσην οὕτως εἶναι τὴν σάρκα ὡς τὸν ἀέρα ἢ τὸ ὕδωρ, ἀλλ' εἶναι τὴν μὲν σάρκα τὸ αἰσθητήριον ἀνάλογον οὖσαν τοῖς τε ὠσὶ καὶ τοῖς ὀφθαλμοῖς καὶ τῇ ῥινί, ἔνδον δὲ εἶναι τὸ τὴν αἰσθητικὴν δύναμιν ἔχον σῶμα τῶν ἁπτῶν, τὸ αὐτὸ κατὰ τὸ ὑποκείμενον ἐν πάσαις ὂν ταῖς αἰσθήσεσιν. ὥσπερ γὰρ ἐπ' ἐκείνων ἡ αἴσθησις ἐγίνετο πάσχοντός τι ὑπὸ τοῦ αἰσθητηρίου ⟨τοῦ⟩ ἐν ᾧ πρώτῳ τὸ αἰσθητικόν, οὕτως δὲ καὶ ὑπὸ τῆς σαρκὸς πάσχον τι τῶν ἐν ἡμῖν αἴτιον τῆς αἰσθήσεως γίνεται. ἀλλ' ἡ μὲν σὰρξ ὑπὸ τοῦ αἰσθητοῦ πάσχει ἁπτομένου αὐτῆς, ὁ δὲ ὀφθαλμὸς οὐχ ἁπτόμενος αὐτὸς τοῦ αἰσθητοῦ πάσχει, ἀλλὰ διὰ τοῦ μεταξὺ διαφανοῦς. ὁμοίως δὲ καὶ τῶν ἄλλων αἰσθήσεων ἑκάστη. ἅμα δὲ τῷ τῆς σαρκὸς πάθει ἡ κατὰ τὴν ἁφὴν αἴσθησις, ὡς καὶ ἅμα τῷ τῶν ὀφθαλμῶν ὑπὸ τοῦ διαφανοῦς πάθει ἡ ὄψις. ἅμα γὰρ τῷ πάθει τῶν ὀργάνων ἡ αἴσθησις. οὐκ εἰ τῆς σαρκὸς δὲ παθούσης ὑπ' αὐτοῦ τοῦ αἰσθητοῦ ἡ κατὰ τὴν ἁφὴν αἴσθησις, ἤδη γίνεται αὐτῷ τῷ αἰσθητικῷ ἐπιτιθέμενα τὰ ἁπτὰ ἐν τῇ αἰσθήσει. κεῖται γὰρ τὸ μὴ εἶναι ἐν τῇ σαρκὶ τὴν αἰσθητικὴν δύναμιν, ἀλλ' εἶναι ταύτην ὄργανον, διαφέροι δ' ἂν ὅτι ἐπὶ μὲν τῶν ἄλλων αἰσθήσεων οὐδὲ τοῖς αἰσθητικοῖς ὀργάνοις ἐπιτιθεμένων τῶν αἰσθητῶν ἡ αἴσθησις ἐγίνετο (ἐδεῖτο γάρ τινος ἄλλου μεταξύ), ἐπὶ δὲ τῆς ἁφῆς αὐτῷ μὲν τῷ αἰσθητικῷ οὐχ

3 ὡς] addit: wie die Vermittlung des 5—8 ἔνδον—αἰσθητικόν] und dass der Besitzer der Kraft, durch die er die Tastobjekte wahrnimmt, von innen ist und ein und dasselbe in dem Träger in allen Sinnen. Wie also die Sinnestätigkeit in jenen wird, wenn in irgend einer Weise afficirt wird von dem Organ des Sinnes das Ding, in welchem zuerst die Existenz des Wahrnehmenden ist, weil das Organ des Sinnes in der Mitte ist zwischen dem Wahrnehmenden und dem Wahrgenommenen 8—9 οὕτως δὲ—γίνεται] Ebenso wird dieser Sinn (Sinneswahrnehmung), wenn in irgend einer Weise vom Fleische afficirt wird das Ding, welches in uns die Ursache für die Sinnestätigkeit ist 10 ἁπτομένου αὐτῆς] wenn es (ut videtur das Fleisch) dasselbe berührt und betastet ἁπτόμενος] berührt und betastet 14 ἅμα τῷ] durch 14—16 οὐκ εἰ—ἐν τῇ αἰσθήσει] und nicht daraus, dass das Fleisch vom Sinnesobjekt selbst afficirt wird, ergiebt sich, dass der Sinn des Tastens stattfindet, wenn zur Zeit des Sinnes (der Sinnesvorstellung) die Tastobjekte vor den Wahrnehmenden selbst gestellt werden 17 ταύτην] Fleisch 18 διαφέροι δ' ἄν] der Unterschied zwischen diesem Sinn und den anderen Sinnen ist 18—19 οὐδὲ τοῖς—αἴσθησις ἐγίνετο] dass bei jenen Sinnen der Sinn (Sinnestätigkeit) nicht geschieht, wenn ihre Objekte nicht vor die Sinne und nicht vor die Sinnesorgane, geschweige denn von einem anderen als sie, gestellt werden

4 τὸ supra lin. V 8 τοῦ manus recentissima addidit V 8—9 tradita sensu non carent, sed notandum est Arabem vertere πάσχον τι τὸ ἐν ἡμῖν αἴτιον τῆς αἰσθήσεως (i. e. τὸ πρῶτον αἰσθητικόν) γίνεται (scil. ἡ αἴσθησις) = πάσχοντος τι τοῦ ἐν ἡμῖν αἰτίου τῆς αἰσθήσεως 10 ἅπτεσθαι de tangibili dictum ut 56,18 58,14 12 ἡ in lit. V 15 ἤδη γίνεται] incipit apodosim creberrima in priore enuntiato ellipsi. cf. οὐ γὰρ ἐπεὶ ἡ ὄρεξις ἐκείνων τινὸς προηγησαμένου, ἤδη καὶ τὸ κινοῦν ἐκείνων τι 137ᵛ25 et Ind. s. v. ἤδη et Ellipsis 16 ἐπιτιθέμενα τὰ ἁπτὰ m¹ ἐπιτιθεμένων τῶν ἁπτῶν m² V: ἐπιτιθέμενα τὰ ἁπτὰ a 18 ὄγανον a

οἷόν τε ἐπιτίθεσθαι τὰ ἁπτά, τῷ μέντοι ὀργάνῳ τῇ σαρκὶ ἐπιτιθεμένων ἡ αἴσθησις γίνεται, ὅτι μηδενὸς ἧδε ἡ αἴσθησις ἐδεῖτο ἄλλου μεταξύ. ἢ ἐστί τι καὶ ἐπὶ τῆς ἁφῆς ἄλλο παρὰ τὴν σάρκα τὸ αἰσθητήριον, ἀνάλογον ὂν τῷ ὀφθαλμῷ τῷ τῆς ὄψεως αἰσθητηρίῳ; δοκεῖ γάρ τι τοιοῦτον ὑπ' Ἀριστοτέλους λέγεσθαι. τοῦ δὲ τὸ μεταξύ, δι' οὗ μέσου ἡ τῶν ἁπτῶν ἀντίληψις γίνεται, ἐπὶ μὲν τῆς ἁφῆς προσπεφυκέναι τῷ αἰσθανομένῳ (τοιοῦτον γὰρ ἡ σάρξ), ἐπὶ δὲ τῶν ἄλλων αἰσθήσεων ἐκτὸς εἶναι κεχωρισμένον, αἴτιον ἂν εἴη, ὅτι ἐπὶ μὲν ἐκείνων τὰ ἐκείναις αἰσθητὰ ταῖς αἰσθήσεσιν κινητικά ἐστι μεταξύ τινος κεχωρισμένου σώματος (αὐτοῖς γοῦν τοῖς αἰσθητηρίοις ἐπιτιθέμενα οὐκ ἔστιν αὐτῶν κινητικά, καίτοι συγγενῶν ὄντων τῶν αἰσθητηρίων τοῖς ἐκτός, δι' ὧν ἡ ἀπὸ τῶν αἰσθητῶν κίνησις ἐν αὐτοῖς γίνεται), τὰ δὲ τῇ ἁφῇ αἰσθητὰ αὐτοῦ τοῦ αἰσθητηρίου τοῦ συμφυοῦς ἡμῖν ἐστι κινητικά. ταύτης δὲ τῆς διαφορᾶς πάλιν αἴτιον, ὅτι ἔδει μὲν τὰ τελειότερα τῶν ζῴων μὴ μόνων αἰσθάνεσθαι τῶν παρόντων τε καὶ ἁπτομένων αὐτῶν, ἀλλὰ καὶ τῶν ἀφεστώτων. τῶν μὲν οὖν παρόντων ἡ ἁφὴ ἀντιληπτική, τῶν δὲ ἀφεστώτων οὐκέτι δι' ἁφῆς ἡ ἀντίληψις. παρῆν γὰρ ἂν καὶ ταῦτα. τὸ γὰρ ἅπτεσθαι παρόντων. διά τινος οὖν μεταξὺ ἡ ἀπὸ τούτων κίνησις. οὕτως γὰρ μόνως οἷόν τε ἦν τῶν μὴ παρόντων αἰσθάνεσθαι. ἔτι δὲ δι' ὧν ἐκείνων αἱ αἰσθήσεις γίνονται ἀδύνατον ἐκ τούτων τὸ τοῦ ζῴου σῶμα συνεστάναι. δι' ἁπλῶν γὰρ αἱ ἐκείνων ἀντιλήψεις. ἢ γὰρ δι' ὕδατος ἢ δι' ἀέρος, καὶ οὐχ οἷόν τε ἄλλως, ὡς ἐν τῷ περὶ αἰσθήσεώς τε καὶ αἰσθητῶν δέδεικται. οὔτε δὲ ἐξ ἀέρος οὔτε ἐξ ὕδατος οἷόν τέ τι ζῷον εἶναι· στερεὸν γὰρ τὸ τοῦ ζῴου σῶμα καὶ μικτὸν καὶ τοιοῦτον ὁποῖόν ἐστιν ἡ σὰρξ ἢ τὸ ἀνάλογον τῇ σαρκί. ἡ δὲ τῶν ἁπτῶν ἀντίληψις διὰ τοιούτου σώματος γίνεται. ἅπτα μὲν οὖν εἰσιν αἱ τῶν σωμάτων ἢ σώματα διαφοραί. αὗται δέ εἰσι ξηρότητες καὶ ὑγρότητες, θερμότητες, ψυχρότητες. ταύταις γὰρ ὁρίζεται τὰ πρῶτα σώματα. καὶ αἱ ἄλλαι δὲ αἱ ἅπτα ἐναντιώσεις εἰς πρώτας ταύτας ἂν ἀνάγοιντο, ὡς ἐν τοῖς περὶ γενέσεως καὶ φθο-

5 ἁπτῶν] Sinnesobjekte 7 κεχωρισμένον] von aussen und getrennt 9 κεχωρισμένου] abgesondert abgeschnitten 10 ἔστιν] sie würden 10—11 καίτοι—ἐκτός] weil die Sinnesorgane der Gattung nach den Dingen von aussen ähnlich sind 11 δι' ὧν—γίνεται] durch welche durch die Vermittlung jener Organe die Bewegung entsteht in den Dingen von aussen wegen des Wahrnehmenden 12 τοῦ συμφυοῦς ἡμῖν] welches vom Leibe gefasst ist 13—14 ταύτης δὲ—ἁπτομένων] die Ursache für diese Verschiedenheit ist ebenfalls [die], dass dasjenige, was vom Thiere vollständiger und vollkommener ist, so sein muss, dass es nicht derart unvollkommen sei, dass es nur die ihm nahen Dinge, welche ihn treffen, wahrnehme 15 τῶν μὲν οὖν παρόντων] allein die nahen Dinge 16 παρῆν] addit: wenn sie betastet wären 17 παρόντων] addit: den Tastenden 21 ἐν τῷ—αἰσθητῶν] im Buch des Sinnes und der Sinnesobjekte 23 καὶ ante μικτὸν om. 24 δὲ om. 26 ξηρότητες κτλ.] Arten der Trockenheit et q. s. 27 ὁρίζεται] entstehen 28 εἰς πρώτας ταύτας ἂν ἀνάγοιντο] sammeln sich aus diesen und kehren zu diesen zurück, weil sie erste sind

4 δοκεῖ γὰρ κτλ.] Ar. de an. 2,11. 423b1 sq. 8 τὰ ἐν a 10 τοῖς αἰσθητηρίοις· τῶν a 12 fortasse διά του συμφυοῦς 14 μόνον a 16 δι' supra lin. V 21 cf. Praef. 25 εἰσιν V: εἶναι a 28 ἂν om. a ὡς ἐν τοῖς κτλ.] Ar. de gen. 2,2 330a24

ρᾶς Ἀριστοτέλης ἔδειξεν. τὸ δ' αἰσθητήριον αὐτῶν, ἐν ᾧ ἡ δύναμις αὕτη, τὸ μόριόν ἐστιν, ὃ τῷ τὴν τοιαύτην ἔχειν δύναμιν οἷόν τέ ἐστι διὰ τοῦ ὁμοιοῦσθαι αὐτοῖς τὴν ἀντίληψιν αὐτῶν ποιεῖσθαι. ἐπεὶ δὲ διὰ τοῦ πάσχειν καὶ ἡ ἁφή, ἀπαθὲς δὲ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου, δεῖ δέ τινας τῶν ἁπτῶν ἐναντιώσεων ἔχειν τὸ ἁπτικὸν σῶμα ὅν γε σῶμα, τῶν μὲν ὁμοίως ἐχόντων αὐτῷ τῶν ἁπτῶν τινας ἐναντιώσεων οὐκ αἰσθάνεται, τῶν δὲ ἐλλειπόντων ἢ ὑπερβαλλόντων. ἤδη γὰρ ὑπὸ τούτων ὡς ὑπὸ ἀνομοίων πείσεταί τε καὶ ἀλλοιωθήσεται. διὸ καὶ εὐλόγως ἄν τις μεσότητα τὴν αἴσθησιν λέγοι τῆς ἐν τοῖς αἰσθητοῖς ἐναντιώσεως· τὸ γὰρ μέσον | ἑκατέρου τῶν 124r
ἄκρων κριτικὸν γινόμενον πρὸς ἑκάτερον αὐτῶν τὸ ἕτερον τῶν ἄκρων καὶ ἐναντίον, καὶ διὰ τοῦτο μεταβάλλον εἰς αὐτό. εἰς γὰρ τὰ ἐναντία ἡ μεταβολή. ἐπὶ μὲν οὖν τῆς ἁφῆς τοῦτο ἀναγκαῖον, ἐπὶ δὲ τῶν ἄλλων οὐχ ὁμοίως τῷ μηκέτι τὰ ἐκείνων αἰσθητήρια ἐξ ἀνάγκης ἔχειν ἐν τῇ οὐσίᾳ τούτων τι, ὧν ἐστι διακονητικά τε καὶ μηνυτικά. οὔτε γὰρ τὴν κόρην ὕδατος οὖσαν ἀναγκαῖον ἔχειν οἰκεῖόν τι χρῶμα, οὔτε τὴν ἀκοὴν ἀέρος πάλιν οὖσαν ἀναγκαῖον εἶναι μετὰ ψόφου, ἀλλ' οὐδὲ τὴν ὄσφρησιν ἀνάγκη σύμφυτον ἔχειν ὀσμήν τινα. εἰ δὲ καὶ αὗται ἔχοιέν τινα ἐν αὑταῖς ὧν ἀντιλαμβάνονται, εἶεν ἂν μεσότητες καὶ αὗται ὁμοίως τῇ ἁφῇ. τῶν μὲν γὰρ ὁμοίων οἷς ἔχουσιν οὐκ ἀντιλήψονται, ἀντιλήψονται δὲ τῶν ὑπερβολῶν τε αὐτῶν καὶ ἐνδειῶν. τῶν δὲ αἰσθήσεων ἀναγκαιοτάτη ἡ ἁφή τε καὶ γεῦσις. οὐ γὰρ οἷόν τε ἄνευ τούτων ζῷον εἶναι. αἱ δ' ἄλλαι οὐχ οὕτως εἰς τὸ εἶναι ὡς εἰς τὸ πῶς εἶναι συντελοῦσι τοῖς ἔχουσιν αὐτάς. δῆλον δὲ ἐκ τε τοῦ πολλὰ τῶν ζῴων μὴ ἔχειν τούτων τινὰ τῶν αἰσθήσεων, καὶ ἐκ τοῦ καὶ τὰ ἔχοντα αὐτὰς στερηθέντα αὐτῶν ζῆν δύνασθαι.

---

2 τῷ—δύναμιν] dadurch dass es [Etwas] von dieser Kraft hat 5 τὸ ἁπτικὸν σῶμα] der wahrnehmende Körper 6 τινὰς τῶν ἐναντιώσεων] die tastbaren Gegensätze 6—7 τῶν δὲ—ὑπερβαλλόντων] er nimmt aber von ihnen wahr, was fehlt und was hinzugefügt ist von der Beschaffenheit, die er selbst hat 9—11 τὸ γὰρ—καὶ ἐναντίον] das Mittlere nämlich erkennt (unterscheidet) zwischen jedem der beiden Extreme, denn es wird in Bezug auf jedes von beiden das andere Extrem und ihm entgegengesetzt 13—14 τῷ μηκέτι—μηνυτικά] weil zur wesentlichen Existenz ihrer Organe es nicht nötig ist, dass sie auch die Dinge besitzen, welche jenen dienen und aus ihnen (von welchen sie?) entstehen 16 μετὰ ψόφου—ὄσφρησιν om. 17—18 εἰ δὲ—ἁφῇ] wenn darin auch Etwas von den Sinnesobjekten ist, welche er wahrnimmt [etiam in sqq. Sing.] 18—19 τῶν μὲν—ἀντιλήψονται] denn das, dessen Beschaffenheit wie seine Beschaffenheit ist, nimmt er nicht wahr 20 αὐτῶν om. 20—21 τῶν δὲ—γεῦσις] unter den Sinnen giebt es solche, ohne welche das Thier nicht sein kann, das ist das Tasten und der Geschmack 21 τούτων] Tasten und Geschmack. post εἶναι addit: weil es ohne diese beiden nicht sein kann. 21—22 αἱ δ' ἄλλαι—ἔχουσιν αὐτάς] die andern Sinne aber [i. e. was sie anbetrifft], so ist weder ihre Hilfe noch ihr Nutzen in [ihrem?] Vorhandensein für das, worin sie sich finden, in ihrer Hilfe in Bezug auf das Dasein [desselben] 24 δύνασθαι om.

---

5 ὃν sic V 8 τε supra lin. V 10 τὸ ἕτερον τῶν ἄκρων del. m² V. cf. int. hebr. 15—16 ἔχειν—ἀναγκαῖον om. a 16 εἶναι μετὰ χρώματος οὐδὲ τὴν ἀκοὴν μετὰ ψόφου a 17 ἐν αὐτῇ a 18 fortasse καὶ αὗται 23 τε om. a 24 καὶ om. a αὐτὰ a

Τίς μὲν οὖν ἐστιν ἑκάστη τῶν πέντε αἰσθήσεων, καὶ τίνος ἑκάστη, καὶ πῶς ἡ καθ' ἑκάστην αὐτῶν τοῦ οἰκείου αἰσθητοῦ ἀντιληψίς τε καὶ κρίσις γίνεται, εἴρηται τύπῳ· καθόλου δὲ συλλαβόντι περὶ αἰσθήσεως ἀληθές ἐστιν εἰπεῖν τὸ εἶναι αὐτὴν δύναμιν ψυχῆς δι' αἰσθητηρίων τινῶν δεκτικήν τε καὶ κριτικὴν τῶν αἰσθητῶν εἰδῶν χωρὶς τῆς ὑποκειμένης αὐτοῖς ὕλης. τὸ δὲ πρῶτον αἰσθητήριον, ἐν ᾧ ἡ τοιαύτη δύναμις τῆς ψυχῆς, σῶμα μέν ἐστιν, οὐ μὴν καθὸ σῶμα αἰσθητικόν, ἀλλὰ κατὰ τὴν δύναμιν ἣν ἔχει. ἡ γὰρ αἴσθησις οὐ τὸ μέγεθος, ἀλλὰ ὁ λόγος καὶ τὸ εἶδος τοῦ μεγέθους τοῦ τοιούτου. αἱ δὲ τῶν αἰσθητῶν ὑπερβολαὶ φθείρουσι τὰς αἰσθήσεις· διὸ φθείρουσι τὴν συμμετρίαν τοῦ σώματος, οὗ αἱ αἰσθητικαὶ δυνάμεις εἴδη. φθειρομένης δὲ τῆς ἐν ἐκείνῳ συμμετρίας, φθείρεται καὶ τὸ εἶδος τὸ ἐπ' αὐτῇ. φθείρεται δὲ καὶ ἡ συμμετρία αὐτῶν ὑπὸ τῆς σφοδροτέρας κινήσεως, ὥσπερ καὶ ἡ τῶν χορδῶν ἁρμονία ὑπὸ τῆς βιαιοτέρας πληγῆς τε καὶ κινήσεως. ἑκάστη μὲν οὖν αἴσθησις τοῦ ὑποκειμένου αὐτῇ αἰσθητοῦ ἐστιν αἴσθησις, οὖσα ἐν τῷ αἰσθητηρίῳ οὐχ ᾗ σῶμα ἐκεῖνο, ἀλλ' ᾗ ἔχει τὴν τοιάνδε δύναμιν, ὡς εἶπον, καὶ κρίνει τὰς τοῦ ὑποκειμένου αὐτῇ αἰσθητοῦ διαφοράς. οὐ γὰρ ἄλλη τις κριτικὴ τῶν ἐν χρώμασι διαφορῶν παρὰ τὴν ὄψιν, οὐδὲ ἄλλη τῶν ἐν ψόφοις παρὰ τὴν ἀκοήν, ὁ δ' αὐτὸς καὶ ἐπὶ τῶν ἄλλων λόγος. ἐπεὶ δὲ καὶ τὰ ταῖς διαφερούσαις αἰσθήσεσιν αἰσθητὰ κρίνομεν πρὸς ἄλληλα καὶ τῶν διαφορῶν αὐτῶν αἰσθανόμεθα (τίνι γὰρ γλυκὺ λευκοῦ διαφέρει, αἰσθήσεως κρῖναι, αἰσθητὰ γὰρ ἄμφω), ἐπιζητήσαι τις ἄν, τί ποτέ ἐστι τὸ τὰς τούτων κρῖνον διαφοράς. οὔτε γὰρ κεχωρισμένα ἔσται τὰ κρίνοντα τὰς τῶν ταῖς διαφερούσαις αἰσθήσεσιν αἰσθητῶν διαφοράς (ἀμφότερα γὰρ ἑνί τινι εἶναι δεῖ δῆλα· οὕτως γὰρ εἴσεταί τις ὅτι ἕτερον τὸ γλυκὺ τοῦ λευκοῦ, ὅμοιον γὰρ τὸ λέγειν κεχωρισμένα καὶ διαφέροντα εἶναι τὰ αἰσθανόμενα αὐτῶν ἑκάστου καὶ τὰς οἰκείας ἑκάστου αὐτῶν γνωρίζοντα διαφορὰς τῷ λέγειν· εἰ δύο ὄντων τῶν

1 τίς—τίνος ἑκάστη] dass jeder der fünf Sinne eine Kraft ist und wofür er eine Kraft ist 5 τε καὶ κριτικὴν om. 6 δὲ om. 8 λόγος] Inhalt 9 δὲ om. 10—11 διὸ—δυνάμεις εἴδη] weil sie die Gleichmässigkeit des Körpers, welchem die sinnliche Kraft gehört, dessen Form die fünf Kräfte sind, zu Grunde richten 11 ἐν ἐκείνῳ] jenes Körpers καὶ om. 12 αὐτῶν] seine [Gleichmässigkeit] 14 post κινήσεως addit: zu Grunde geht 15—16 οὖσα—δύναμιν] durch seine Organe, nicht insofern seine Organe Körper sind, sondern insofern er diese Kraft besitzt [der Körper?] 16 ὡς εἶπον καὶ κρίνει] wie wir davon gesagt haben, dass er wahrnehme und erkenne 19—20 ἐπεὶ—ἄλληλα] da wir aber auch die Sinnesobjekte der von einander verschiedenen Sinne erkennen 22 ἐπιζητήσαι τις ἄν] so ist es nötig, dass wir nachforschen, bis erkannt werde, was es ist 24 ἀμφότερα—δῆλα] denn es müssen die beiden verschiedenen Dinge zusammen in einem Dinge unterschieden werden

2 γε a 3 τύπω a 10 διὸ] constans scriptoris usus διότι postulat. vid. Ind. αἱ om. 11 εἴδη m¹ eadem manus αἴδε supra lineam V: εἴδη a: εἴδη quod non intellexit Arabs interpretando circumscripsisse videtur. fortasse δυνάμεις. ᾗ δὲ ἡ φθειρομένης δὲ cf. Ind. s. v. ᾗ δὲ 15 ἐκεῖνο V ex. Vict: ἐκεῖνος a 24 δεῖ εἶναι a

αἰσθητῶν τοῦ μὲν σὺ αἴσθοιο, τοῦ δὲ ἐγώ, γνωρίζειν ἑκάτερον ἡμῶν τὴν διαφορὰν οὐ αὐτὸς ἤσθετο πρὸς τὴν τοῦ οὐ οὐκ αὐτός, ἀλλ' ἕτερος ἤσθετο· δεῖ γὰρ ἕν τι εἶναι τὸ λέγον τόδε τοῦδε ἕτερον εἶναι. καὶ γὰρ τὴν τῶν αἰσθητῶν πρὸς τὰ νοητὰ διαφορὰν τὸ κρῖνον ἕν· ὁ γὰρ νοῦς· πάντα γὰρ οὗτος νοεῖ καὶ κρίνει, ἐν τίνι ἑκάστῳ τῶν ὄντων τὸ εἶναι. ὡς μὲν γὰρ αἰσθητῶν τῶν αἰσθητῶν τὰς διαφορὰς αἰσθήσεως κρῖναι, τὴν δὲ κατὰ τὴν οὐσίαν αὐτῶν διαφορὰν πρὸς ἄλληλά τε καὶ τὰ τῇ αὐτῶν φύσει νοητὰ ὁ νοῶν αὐτὰ νοῦς κρίνει), οὔτε οὖν ὑπὸ κεχωρισμένων καὶ διαφερουσῶν αἰσθήσεων οἷόν τε τὰς τῶν ἀνομοειδῶν αἰσθητῶν κρίνεσθαι διαφοράς. ἀλλ' οὐδὲ ἐν διαφέροντι χρόνῳ οἷόν τε τὰς διαφορὰς αὐτῶν γνωρίζεσθαι, ὡς νῦν μὲν γνωρίζειν ὅτι ἕτερον τὸ γλυκὺ τοῦ λευκοῦ, αἰσθανόμενον νῦν τοῦ γλυκέος, μετὰ ταῦτα δὲ ὅτι τὸ λευκὸν τοῦ γλυκέος, πάλιν αἰσθανόμενον τότε τοῦ λευκοῦ, ὡς εἶναι τὸ αὐτὸ μὲν τῶν διαφερόντων αἰσθητῶν ἀντιληπτικόν, τοῦ τε γλυκέος καὶ τοῦ λευκοῦ, οὐχ ἅμα δέ, ἀλλ' ἐν μέρει. ὡς γὰρ ἕν τι δεῖ εἶναι τὸ λέγον ἕτερα εἶναι τὸ γλυκὺ καὶ λευκόν, οὕτως καὶ ὅτε τὸ ἕτερον τοῦ ἑτέρου διαφέρειν λέγει, τότε καὶ τὸ ἕτερον τοῦ ἑτέρου, καὶ οὐ λέγειν μόνον ὅτι διαφέρει ταῦτα ἀλλήλων, ἀλλὰ καὶ ὅτι νῦν διαφέρει· νῦν γὰρ λέγει, ὅτι νῦν διαφέρει. τὸ γὰρ λέγειν ἐστὶν αὐτῷ τὸ αἰσθάνεσθαι. ἀλλ' εἰ τοῦτο, καὶ ἅμα αὐτῶν αἰσθήσεται καὶ ἐν τῷ αὐτῷ χρόνῳ. ἀλλὰ μὴν ἀδύνατον δοκεῖ τὸ αὐτό τι ὂν κατ' ἀριθμὸν ἐν τῷ αὐτῷ καὶ ἀδιαιρέτῳ χρόνῳ πλείους τε καὶ διαφερούσας, ἔτι τε ἐναντίας κινήσεις κινεῖσθαι καὶ ἅμα πλείοσιν ὁμοιοῦσθαι. τοῦτο δ' ἂν γίνοιτο, εἰ οὕτως μὲν ἡ αἴσθησις ὡς προείρηται γίνεται, αἱ δ' ἀπὸ τῶν ἐναντίων αἰσθητῶν γινόμεναι κινήσεις ἐναντίαι· γίνεται τε οὕτως οὐ μόνον ἄπορον τὸ τῶν διαφερόντων κατ' εἶδος αἰσθητῶν μίαν εἶναι κριτικὴν αἴσθησιν, ἀλλὰ καὶ πολὺ πρότερον ἐπὶ τῶν μιᾷ αἰσθήσει ὑποκειμένων, οἷον ἐν χρώμασιν, ὧν ἡ ὄψις ἀντιληπτική. πῶς ἡ ὄψις δυνήσεται τὰς τοῦ λευκοῦ τε καὶ | μέλανος γνωρίζειν 134v διαφοράς, εἴ γε δεῖ μὲν αὐτὴν ἅμα αὐτῶν ποιεῖσθαι τὴν ἀντίληψιν, ἡ δὲ ἀντίληψις διὰ τῆς πρὸς τὰ αἰσθητὰ ὁμοιώσεως, ἀδύνατον δὲ ἅμα τὸ αὐτὸ τοῖς ἐναντίοις ὁμοιοῦσθαι; ἢ εἰ μὲν οὕτως κινοῖτο, ὡς πάσχειν τε καὶ δέχεσθαι τὸ λευκὸν καὶ τὸ μέλαν, ἅμα ἂν ἀναλαμβάνοι τὰ ἐναντία, ὅ ἐστιν

3—8 καὶ γὰρ—νοῦς κρίνει om. 12—13 πάλιν—τοῦ λευκοῦ] wenn er auch zur selben Zeit das Weisse wahrnimmt 13 ὡς] und 15 ἕτερα] unidentische verschiedene 17—18 νῦν—διαφέρει om. 22 τοῦτο—γίνοιτο] dies sei notwendig 25 πολὺ πρότερον (ἄπορον)] es wird ein ähnlicher Zweifel viel die Dinge treffen 31 ἀναλαμβάνοι] addit: bei meinem Leben

---

2 fortasse διαφορὰν (τοῦ) οὐ αὐτός πρὸς τὴν τοῦ οὐ οὐκ—ἤσθετο om. a 5—6 ὡς μὲν γὰρ—κρῖναι om. a 10 hoc dicit: *differentia non ita cognosci potest, ut primum dulce ab albo diversum esse cognoscas (hoc priore tempore dulce tantummodo animadvertens), tum album a dulci (hoc altero temporis momento album animadvertens)* 7 αὐτῶν scripsi: αὐτῶν Va 8 αἰσθήσεων om. a 11 ὅτι V: ἄρα a 12 ὅτι V: ἄρα a τότε V: τοῦδε a 15 ἕτερα λέγον a 16 λέγει a 16—17 οὐ λέγει a 17 ὅτι V: ἄρα a

ἀδύνατον. εἰ δ' ἄλλος ὁ τρόπος τῆς ὑπὸ τῶν αἰσθητῶν κινήσεως τῇ αἰσθήσει καὶ οὐχ ὡς ὕλη τῶν αἰσθητῶν τὰ πάθη δέχεται τὰ αἰσθητήρια, οὐκέτ' ἂν ὁμοίως ἄπορον εἴη. ὅτι γὰρ οὐχ ὡς ὕλη δέχεται τὰ πάθη ἡ ὄψις ἐναργές. ὁρῶμεν γὰρ ὅτι οὐ γίνεται ἡ ὄψις μέλαινα καὶ λευκή, ὅταν ἐκείνων αἰσθάνηται. ἀλλ' οὐδὲ ὁ πεφωτισμένος ἀήρ, καίτοι διακονούμενος τῇ ὄψει πρὸς τὴν ἀντίληψιν τῶν χρωμάτων διὰ τοῦ αὐτὸς ὑπ' αὐτῶν πρῶτος κινεῖσθαι καὶ μέλας αὐτὸς ἢ λευκὸς γίνεσθαι τοῦτο ποιεῖ. οὐδὲν γοῦν κωλύει διὰ τοῦ αὐτοῦ τὸν μὲν μέλανος ἀντιλαμβάνεσθαι τὸν δὲ λευκοῦ, ὅταν κειμένων τοῦ τε λευκοῦ καὶ τοῦ μέλανος ἐπ' εὐθείας τῶν ὁρώντων αὐτὰ μὴ τὸ κατ' αὐτὸν ἑκάτερος αὐτῶν κείμενον χρῶμα βλέπῃ, ἀλλὰ τὸ κατὰ τὸν ἕτερον. ἀλλ' οὐδ' εἰ μέλας καὶ λευκὸς ἀλλήλους ὁρᾷεν, κεκώλυται ὁ μεταξὺ ἀὴρ ἀμφοτέροις αὐτοῖς ἅμα διακονεῖσθαι τῷ μὴ παθητικῶς μηδὲ ὡς ὕλη γινόμενος αὐτῶν ὑπ' αὐτῶν κινεῖσθαι. οὐδὲ τὰ ἐν τοῖς κατόπτροις δὲ ἢ ἐν τοῖς ὕδασιν ἐμφαινόμενα χρώματα τοιαῦτα αὐτὰ ποιεῖ ὁποῖά ἐστιν αὐτά. συμπαύεται γοῦν ἑκάστου τούτων ἡ ἀπὸ τοῦ αἰσθητοῦ κίνησις ἐν αὐτοῖς γινομένη, ὅταν μηκέτι ᾖ παρὸν τὸ αἰσθητόν. εἰ δὴ καὶ ἐπὶ τῶν αἰσθητηρίων οὕτως γίνοιτο τὰ πάθη ἐν τῷ τὴν αἴσθησιν ἔχοντι σώματι, δυνήσεται κατὰ τὴν πάροδον αὐτῶν ἡ δύναμις ἡ αἰσθητικὴ πάντων μὲν τῶν αἰσθητῶν ἀντιλαμβανομένη, οὐ μὴν πάντων διὰ τῶν αὐτῶν ὀργάνων, ἣν καὶ κοινὴν αἴσθησιν καλοῦσιν, κρίνειν τε ἕκαστον αὐτῶν καὶ γνωρίζειν αὐτῶν τὰς πρὸς ἄλληλα διαφορὰς μὴ ἐν διῃρημένῳ χρόνῳ, ἀλλὰ ἐν ἑνί τε καὶ συνεχεῖ. ἔτι δοκεῖ τὸ μετὰ ψυχικῆς δυνάμεως οὕτως

5 καίτοι] weil 5—7 ἀλλ' οὐδὲ—τοῦτο ποιεῖ] auch nicht die Luft, die das Licht aufnimmt, weil (damit) es dem Gesicht zur Wahrnehmung der Farben dient, indem sie zuerst von ihnen bewegt wird, dies bewirkt, indem sie schwarz oder weiss wird 8 διὰ τοῦ αὐτοῦ] durch ein und dieselbe Luft 10—11 μὴ τὸ κατ' αὐτὸν κείμενον—ἕτερον] nicht die Farbe, die in demselben selbst ist, sondern die Farbe, die in dem andern ist 11 μέλας καὶ λευκὸς] ein weisser und ein schwarzer 12 ὁ μεταξὺ ἀήρ] die Luft, die zwischen beiden ist 13 ὑπ' αὐτῶν] von beiden 15—16 συμπαύεται—αἰσθητόν] Der Beweis dafür ist, dass sie von jeder jener Bewegungen, welche in ihnen von dem Sinnesobjekte [aus] entstehen, gestört werden beim Weichen des Sinnesobjektes und dessen Trennung von ihnen 18—19 δυνήσεται—ἀντιλαμβανομένη] so ist es möglich, dass die wahrnehmende Kraft, welche alle Sinnesobjekte wahrnimmt, [eine?] sei 19 πάντων om. διὰ τῶν αὐτῶν] durch ein Organ 20 ἣν—κρίνειν] und diese Kraft, welche der gemeinschaftliche Sinn heisst, erkennt ἕκαστον αὐτῶν] jede jener Spuren, wenn sie auf ihn übergehen 22 μετὰ] wegen

1 ὁ supra lin. V 4 ὅτι V: ἄρα a 7 καὶ corruptum est. lege τῷ. tantum negatur aera colorari. Cf. int. hebr. 9 cf. Alex. de sens. comm. 63,10 τὸ δ' αὐτὸ τοῦτο ἀνάγκη γίνεσθαι, καὶ εἰ δύο τινὲς εἶεν οἱ ὁρῶντες ἀντικρυς ἑστῶτες ἀλλήλων, εἴη δὲ ἐπ' εὐθείας ἑκατέρῳ τῶν ὁρώντων ὁρατόν τι κείμενον, οἱ δὲ ὁρῷεν μὴ καθ' ἑαυτούς, ἀλλ' ἑκάτερος αὐτῶν τὸ τῷ ἑτέρῳ ἐπ' εὐθείας κείμενον et [de an.] 153ν9 10 βλέπῃ a 11 τὸ ἕτερον a 11 ὁρῷεν ι subscripsit vetus corr. V: ὁρῶμεν a 15 ἕκαστον a 16 παρὸν V: παρὰ a εἰ δὲ a 18 exspectaveris παρουσίαν 22—63,5 ἔτι δοκεῖ—τοῖς ἐμψύχοις σώμασιν] opp. τὰ κάτοπτρα καὶ ὕδατα (13), sed haec verba num re vera huic loco destinata sint a scriptore dubium

κινούμενον σώζειν τι καὶ ἀπελθόντος τοῦ αἰσθητοῦ ἴχνος τῆς ἀπ' αὐτοῦ κινήσεως διὰ τῆς φαντασίας καίτοι μηκέτι τοῦ αἰσθητοῦ παρόντος. οἱ γοῦν τῶν σφόδρα λευκῶν αἰσθανόμενοι ἔχουσί τινα ἐγκαταλείμματα ἐν τῇ ὄψει τῆς ἀπ' αὐτῶν κινήσεως καίτοι μηκέτ' ἐκείνων παρόντων· οὐ γὰρ ἡ αὐτὴ κίνησις ἀπὸ τῶν αἰσθητῶν τοῖς τε ἀψύχοις καὶ τοῖς ἐμψύχοις σώμασιν. ἢ δυνήσεται οὕτως ἡ κοινὴ αἴσθησις ἅμα τὰς διαφορὰς γνωρίζειν τῶν διαφόρων αἰσθητῶν, εἰ πῇ μὲν ἓν εἴη τὸ αἰσθητικόν, πῇ δὲ πλείω τε καὶ διαιρούμενον. ὡς γὰρ ἐπὶ κύκλου αἱ ἀπὸ τῆς περιφερείας αὐτοῦ ἐπὶ τὸ κέντρον ἐπιζευγνύμεναι οὖσαι πολλαὶ πᾶσαι κατὰ τὸ πέρας εἰσὶν αἱ αὐταὶ τῷ τά τε πέρατα αὐτῶν ἐφαρμόζειν τῷ τοῦ κύκλου κέντρῳ καὶ ἔστι τὸ πέρας τοῦτο ἕν τε καὶ πολλά, καθόσον μὲν πολλῶν ἐστι καὶ διαφερόντων πέρας, πολλά, καθόσον δὲ πάντα ἀλλήλοις ἐφήρμοσεν, ἕν, οὕτως ἔχειν ὑπολητέον καὶ τὴν κοινὴν αἴσθησιν τὸ ἕν τε καὶ πολλά. τῷ μὲν γὰρ ἑκάστης τῶν διὰ τῶν αἰσθητηρίων γινομένων κινήσεων ἀπὸ τῶν αἰσθητῶν ἐν τῷ ἐσχάτῳ αἰσθητηρίῳ πέρας εἶναι τὴν αἰσθητικὴν δύναμιν (μέχρι γὰρ ἐκείνου καὶ ἐπ' ἐκεῖνο ἡ ἀπὸ τῶν αἰσθητῶν διὰ τῶν αἰσθητηρίων διάδοσις) πολλὰ ἔσται, πολλῶν καὶ διαφόρων κινήσεων γινομένη πέρας. τῷ δὲ δύναμις ἀσώματος εἶναι ὁμοίως ἡ αὐτὴ παντός τε οὖσα τοῦ ἐσχάτου αἰσθητηρίου καὶ ἑκάστου μέρους αὐτοῦ, ἀδιαίρετός τε ἔσται καὶ μία. ἓν δὴ καὶ οὐχ ἓν ἡ δύναμις ἡ αἰσθητική. ᾗ μὲν οὖν οὐχ ἕν, ἀλλὰ πλείω, ταύτῃ καὶ πλειόνων ἅμα αἰσθήσεται καὶ διαφερόντων τῷ καθ' ἕκαστον μέρος τοῦ αἰσθητηρίου πάσχοντος αἰσθάνεσθαι τοῦ πάθους διὰ τὸ εἶναι δύναμίς τε καὶ πέρας ἑκάστου, ᾗ δὲ πάντα τὰ πέρατα ἕν τί ἐστιν καὶ ταὐτόν (ᾧ γὰρ τὸ τῆς ἀφ' ἑνὸς αἰσθητηρίου γινομένης κινήσεως ἐφαρμόζει πέρατι, τούτῳ καὶ τὰ τῶν ἄλλων ὁμοίως), ταύτῃ δὲ ὡς ἑνὶ τὰς πάντων αὐτῶν κρίνει διαφοράς, ὅταν ἅμα αἱ ἀπ' αὐτῶν κινήσεις γένωνται, οὕτως τε δυνήσεται ἕν τι ὂν καὶ ἀδιαίρετον ἐν ἀδιαιρέτῳ τε καὶ συνεχεῖ χρόνῳ γνωρίζειν τὰς τῶν ἀνομογενῶν αἰσθητῶν διαφοράς. ὡς δὲ ἐπὶ τῶν ἀνομογενῶν αἰσθητῶν οὗ-

2 διὰ] in γοῦν] denn 4 τῆς—κινήσεως] von der Bewegung, welche von jenen im Gesichte war 5 σώμασιν om. 8 γὰρ] und 8—9 αἱ ἀπὸ—οὖσαι πολλαὶ] die geraden Linien, welche hineinkommen zwischen ihrem Mittelpunkt und ihrem Umfang, wenn sie auch viele sind 10 ἐφαρμόζειν] verbunden sind mit dem Mittelpunkt 12 πολλά] ein Vieles 13 τὸ—πολλά] [man muss sich vorstellen], dass sie eine und dass sie viele sei 17 διαφόρων om. 18 ὁμοίως ἡ αὐτή] in einer Weise und ein und dasselbe 19 καὶ ante μία om. 21—23 τῷ καθ'—ἑκάστου] wenn jeder einzelne von den Teilen des wahrnehmenden, nachdem er die Spur aufgenommen hat, diese Spur wahrnimmt, weil sie Kraft und Ende ist für jeden einzelnen derselben 23—25 ᾧ γὰρ—ὁμοίως] indem dasselbe Ding, womit das Ende der Bewegung, welches durch eines der Sinnesorgane stattfindet, auch mit den Enden der übrigen Bewegungen in einer Weise übereinstimmt 25 ὡς ἑνὶ κρίνει] sie erkennt, weil sie ein Ding ist 26 τε om. 26—27 ἓν—ἀδιαίρετον] das eine unteilbare Ding 27 τε καὶ om.

7 πῇ a 18 παντός τε V: πάντα τὲ a 24 τὸ (scil. πέρας) V: τῷ a 25 fortasse κρινεῖ ut αἰσθήσεται (21 cf. 26)

των ἅμα τὰ διαφέροντα κρίνει τῷ ἅμα αὐτὴν ἔχειν τὰ πάντων εἴδη πέρας οὖσαν τῶν αἰσθητηρίων τῶν τὰ ἀπὸ τῶν αἰσθητῶν πάθη διαγγελλόντων αὐτῇ, οὕτως κρίνει καὶ τὰς τῶν ἐναντίων διαφοράς, ὧν ἡ αἴσθησις γίνεται δι' ἑνὸς αἰσθητηρίου. καὶ γὰρ ἐπὶ τούτων τὸ αἰσθητήριον ἔσται κατ' ἄλλο καὶ ἄλλο μέρος αὐτοῦ ἅμα τὰ πάθη τῶν ἐναντίων αἰσθητῶν δεχόμενον, ἐπεὶ μὴ οἷόν τε ἅμα τὰ ἐναντία ἐν τῷ αὐτῷ γενέσθαι πάθη. πάσχοντος δὲ τούτου κατὰ διαφέροντα μόρια ὑπὸ τῶν ἐναντίων αἰσθητῶν καὶ ὡς πάσχει οὕτως διαδιδόντος ἐπὶ τὸ ἔσχατον αἰσθητήριον τὰ πάθη κἀκείνου παραπλησίως κατὰ μόρια παθόντος, ἡ δύναμις ἡ αὐτὴ καὶ μία οὖσα ἐκ παντός τε τοῦ αἰσθητηρίου καὶ ἑκάστου τῶν μερῶν αὐτοῦ ἅμα αἰσθάνεταί τε καὶ κρίνει τὰ ἐναντία. οὐ γὰρ ὥσπερ ἐπὶ τοῦ πάσχειν ἀδύνατον συνυπάρξαι τῷ αὐτῷ τὰ ἐναντία, οὕτως δὲ ἔχει καὶ ἐπὶ τῆς κρίσεως αὐτῶν. οὐ γὰρ ἐναντία κρίσις ἡ περὶ τῶν ἐναντίων κρίνουσα τὰ ἐναντία, ἦν δὲ ἀδύνατον τὰ ἐναντία ἅμα περὶ τῷ αὐτῷ γενέσθαι. ἐν κρίσει γὰρ ἐναντία οὐ τὸ τὰ ἐναντία ἐναντία λέγειν, ἀλλὰ τὸ τὸ αὐτὸ ἅμα εἶναι τἀναντία. διὸ τοῦτο μὲν ἀδύνατον συνυπάρξαι τῷ κρίνοντι ὡς ἅμα ταὐτὸν εἰπεῖν λευκόν τε καὶ μέλαν, τὸ δὲ τὰ ἐναντία κρῖναι ὅτι ἐναντία οὐκ ἀδύνατον. κρίνει δὴ ἡ δύναμις ἡ αἰσθητικὴ ἅμα τὰ ἐναντία ὅτι ἐναντία, τοῦ ἐσχάτου αἰσθητηρίου οὗ δύναμίς ἐστιν αὐτὴ κατὰ διαφέροντα μό|ρια πάσχοντός τε καὶ τὰ εἴδη 135r
τῶν ἐναντίων αἰσθητῶν διαγγέλλοντος αὐτῇ. ἡ γὰρ αὐτὴ δύναμις ἂν μὲν κατὰ ἓν τι αἰσθητὸν καὶ ἀφ' ἑνὸς τὸ αἰσθητήριον πάθῃ, τοῦτο κρίνει, ἂν δὲ κατὰ πλείω, ταῦτα. ὧν γὰρ ἅμα τὸ αἰσθητήριον τὰ εἴδη λαμβάνει,

---

1 αὐτὴν] es [scil. τὸ ἓν καὶ ἀδιαίρετον] 1—3 πέρας οὖσαν—διαγγελλόντων αὐτῇ] weil es das Ende ist für das Organ (sic) des Sinnes, welcher sie (sic) unterscheidet von den Spuren, welche in ihnen durch die Sinnesobjekte entstehen 4—5 καὶ γὰρ—δεχόμενον] Denn dabei nimmt auch das Sinnesorgan in jedem besonderen Teile davon zugleich zwei Spuren zweier entgegengesetzter Sinnesobjekte auf 6 ἐναντία] zwei entgegengesetzte 7 ἐναντίων] zwei entgegengesetzte 9 κατὰ μόρια] in jedem besonderen Teile 11 πάσχειν] Aufnahme der Spur und Affection 12 κρίσεως] Erkenntniss und Urteil 14—15 τὸ—λέγειν] dass man die zwei Entgegengesetzten unterscheidet 15—17 διὸ—μέλαν] Daher ist die Existenz desselben zugleich im Beurteiler unmöglich, so dass er von einem und demselben Dinge sage, dass es weiss und dass es schwarz sei 17 κρῖναι] Erkenntniss und Urteil δὴ] vielmehr 18 ὅτι ἐναντία om. 20 διαγγέλλοντος] unterscheidet über [cf. v. 1—3] 20—65,1 ἡ γὰρ—ποιεῖται] denn wenn die Wahrnehmung ein und derselben Kraft den zwei Gegensätzen wird, und die Affection des Wahrnehmenden von einem der Organe des Sinnes [herrührt], so fällt die Erkenntniss zwischen den beiden Gegensätzen, und wenn seine Wahrnehmung das, was mehr als dieses ist, [betrifft], so fällt die Erkenntniss zwischen die Gesammtheit. Das Ding nämlich, mit welchem der Wahrnehmende die Formen derselben annimmt, dasselbe erkennt, was zwischen ihnen ist, zugleich

---

1 διφέροντα a τέρας a 2 αἰσθηρίων a διαγγελόντων a 4 αἰσθτηριον a 8 διαδιδόντως a 10 αἰσθητη|τηρίου V 11—12 οὐ γὰρ ὥσπερ—τὰ ἐναντία om. a 13 ἐναντίᾳ a 14 γὰρ ἐναντίᾳ a 15 ἐναντία ἐναντία] τιο εναν m¹ in mg. V: ἐναντία a 18 ὅτι V: ἄρα a 21 πάθῃ] sub θ paululum erasum V: πάθη a 22 πλείῳ a

τούτων ἅμα τὰς κρίσεις ἐκείνη ποιεῖται· πῶς δὲ οἷόν τε ἅμα τὸ αἰσθητήριον τά τε διαφέροντα εἴδη λαμβάνειν καὶ τὰ ἐναντία, προείρηται. τῇ κοινῇ δὲ αἰσθήσει ταύτῃ καὶ ὁρώντων αὐτῶν αἰσθανόμεθα καὶ ἀκουόντων καὶ καθ' ἑκάστην αἴσθησιν αἰσθανομένων. ὁ γὰρ ὁρῶν αἰσθάνεται αὐτοῦ ὁρῶντος καὶ ἀκούων ἀκούοντος. οὐ γὰρ δὴ ἄλλῃ τινὶ δυνάμει παρὰ τὴν ⟨κοινὴν⟩ αἴσθησιν αὐτῶν αἰσθανομένων αἰσθανόμεθα. οὐ γὰρ ὁρῶμεν ὅτι ὁρῶμεν οὐδὲ ἀκούομεν ὅτι ἀκούομεν. οὔτε γὰρ τὸ ὁρᾶν ὁρατὸν οὔτε τὸ ἀκούειν ἀκουστόν, ἀλλ' ἔστιν αὕτη ἡ ἐνέργεια τῆς πρώτης τε καὶ κυρίας αἰσθήσεως καὶ κοινῆς λεγομένης, καθ' ἣν γίνεται συναίσθησις τοῖς αἰσθανομένοις τοῦ αἰσθάνεσθαι. καὶ τῶν κοινῶν δὲ καλουμένων αἰσθητῶν διὰ ταύτης ἡ ἀντίληψις. συναναφέρεται μὲν γὰρ ἕκαστον αὐτῶν τοῖς ἰδίοις ἑκάστης αἰσθήσεως αἰσθητοῖς διὰ τῶν οἰκείων αὐτοῖς ὀργάνων. κινεῖται γὰρ ἡ ὄψις ὑπὸ χρώματος ὄντος μετὰ μεγέθους, μετὰ σχήματος, μετὰ ἡρεμίας ἢ κινήσεως, μετὰ ἀριθμοῦ, μετὰ ἀποστήματος· μεθ' ὧν οὖν ὂν τὸ χρῶμα ἐκίνησεν αὐτήν, καὶ τὰς ἀπὸ τούτων κινήσεις συναναφέρει τοῖς χρώμασιν. οὐ μὴν ἡ τῶν χρωμάτων κριτικὴ δύναμις καὶ περὶ τῶνδε κρίνει, ἀλλ' ἔστι καὶ ἡ τούτων κρίσις τῆς κοινῆς ἔργον αἰσθήσεως· ὅτι γὰρ οὐχ ἡ ὄψις, δῆλον ἐκ τοῦ μὴ μόνον αὐτὰ τοῖς χρώμασιν παρυφίστασθαι, ἀλλὰ καὶ τοῖς ψόφοις καὶ τοῖς ταῖς ἄλλαις αἰσθήσεσιν αἰσθητοῖς. διὸ ἐλέγχεται οὔτε ὁρατὰ ὄντα οὔτε ἀκουστὰ οὔτε τινὸς τῶν ἄλλων αἰσθήσεων τῶν ταύταις ἀντιδιῃρημένων ἴδια αἰσθητά. τὸ δὲ εἶναι μόνας τὰς πέντε αἰσθήσεις,

---

1 πῶς οἷόν τε] was die Art betrifft, in welcher man erkennt, dass τὸ αἰσθητήριον] der Wahrnehmende 3 δὲ om. 3—4 ὁρώντων—αἰσθανομένων] wenn wir diese Dinge sehen, nehmen wir wahr, dass wir sie gesehen haben, und wenn wir sie gehört haben, nehmen wir wahr, dass wir sie hören, ebenso wenn wir durch jeden einzelnen der Sinne wahrgenommen haben 5—6 οὐ γὰρ δὴ—ὁρῶμεν] Das Ding nämlich, durch welches wahrgenommen wird, wenn wir wahrgenommen haben, dass wir wahrnehmen, ist durch keine andere Kraft, als diejenige, in welcher der Sinn gesammelt (zusammengefasst) wird. Denn wir nehmen nicht wahr, dass (wenn) wir wahrnehmen durch die Kraft, durch welche wir wahrnehmen. Wir sehen nämlich nicht 11—12 συναναφέρεται—αἰσθητοῖς διὰ] wir steigen nämlich zu jedem einzelnen von diesen Sinnesobjekten mit den je einem der Sinne specifischen Sinnesobjekten durch 13 μεγέθους] Maass 14—15 μεθ' ὧν—χρώμασιν] also sieht das Ding, welches die Farbe im Sehen bewegt — und diese vereinigt jene — mit den Farben auch die Bewegungen, welche von jenen entstehen 18 post ὄψις addit: dieser Sinn sei αὐτὰ] seine [i. e. dieses Sinnes] Existenz 19—21 διὸ—αἰσθητά] daher wird aus ihrem Zustande offenbar, dass sie nicht sichtbare und nicht hörbare und nicht sinnlich wahrnehmbare sind, welche einem von den anderen diesen beiden ähnlichen Sinnen in der Teilung eigentümlich sind

---

3 αὐτῶν scripsi: αὐτῶν Va 4 αὐτοῦ scripsi: αὐτοῦ Va 5 ἄλλῃ a 6 κοινὴν addidi, cf. int. hebraicam; ex eadem potuerit concludi Arabem legisse αἰσθανόμεθα. ⟨οὐ γὰρ αἰσθανόμεθα, ὅτι αἰσθανόμεθα αὐτῇ τῇ δυνάμει ᾗ αἰσθανόμεθα·⟩ οὐ γὰρ ὁρῶμεν αὐτῶν scripsi: αὐτων (η supra ω vet corr. sive m¹) V: αὐτῶν a 7 ὁρᾶν a 9 συναίσθησις] ν supra lin. V 12 αὐτῆς a 14 ὂν om. a 18 αὐτὰ] scil. μέγεθος, ἀριθμός, τὰ κοινὰ αἰσθητά 20 τῶν ante ἄλλων supra lin. V 21 αντιδιῃρημένων a

περὶ ὧν προειρήκαμεν, καὶ μηδεμίαν παρὰ ταύτας ἄλλην, δεικνύοιτο μὲν ἂν καὶ ἐκ τοῦ μηδὲν αἰσθητήριον οἷόν τε εἶναι παρὰ τὰ ὄντα ἐν τοῖς τελείοις ζῴοις. ἔδει δέ, εἰ αἴσθησίς τις ἔλειπεν, καὶ αἰσθητήριόν τι λείπειν, ὡς ἔδειξεν Ἀριστοτέλης ἐν τῷ τρίτῳ Περὶ ψυχῆς. δεικνύοιτο δ' ἂν καὶ διὰ τοῦ πᾶσαν μὲν αἴσθησιν ἐν ζῴῳ εἶναι, μηδὲν δὲ ζῷον ἔχειν ἄλλην τινὰ παρὰ τὰς προειρημένας. ἀλλὰ καὶ διὰ τοῦ τελειοτάτην μὲν τῶν ψυχικῶν δυνάμεων εἶναι τὴν λογικήν, ἐπὶ δὲ ταῖς πρώταις τετελεσμέναις αἱ τελειότεραι, ὥστε ἐν οἷς ἡ λογική, ἐν τούτοις πρῶτον πᾶσα ἡ αἰσθητική.

Ἡ δὲ φανταστικὴ δύναμις τῆς ψυχῆς ἐστι μὲν κριτικὴ καὶ αὐτή, ἡ τούτων μία οἷς ἀληθεύειν ἢ ψεύδεσθαι λεγόμεθα. ἔστι γὰρ καὶ ἀληθὴς καὶ ψευδὴς φαντασία, ὥσπερ καὶ αἴσθησις, καὶ πολλὰ κατὰ φαντασίαν καὶ ποιεῖ καὶ πάσχει τὰ ζῷα. λεγόμεθα δὲ ἀληθεύειν αἰσθήσει, δόξῃ, ἐπιστήμῃ, νῷ. ὧν αἴσθησις μέν ἐστιν, ὡς εἴρηται, δύναμις δεκτικὴ τε καὶ κριτικὴ τῶν ἐν τοῖς αἰσθητοῖς εἰδῶν χωρὶς τῆς ὑποκειμένης αὐτοῖς ὕλης, ἐν τοῖς ἰδίοις ἀληθεύουσα ὡς ἐπὶ τὸ πλεῖστον. δόξα δὲ ὑπόληψις περὶ τὰ ἐνδεχόμενα καὶ ἄλλως ἔχειν, ἐπιστήμη δὲ συλλογισμὸς ἀποδεικτικὸς ἢ γνῶσις τῆς τοῦ ἐπιστητοῦ αἰτίας, ὅτι ἐκείνου ἐστὶ καὶ ἀδύνατον αὐτὸ ἄλλως ἔχειν. νοῦς δὲ δύναμις τῶν ἀΰλων εἰδῶν ληπτική, ἢ δύναμις ᾗ ἀληθεύομεν περὶ τὰς ἀναποδείκτους ἀρχάς. οὐ μὴν τούτων ἐστί τινι ἡ φαντασία ἡ αὐτή, εἰ τὴν ἰδίως τις καὶ κυρίως λεγομένην φαντασίαν λέγοι. αὕτη δέ ἐστι κίνησίς τις, καθ' ἣν λέγομεν φάντασμά τι ἡμῖν ἐν τῇ ψυχῇ γίνεσθαι. ἐπεὶ κατὰ μεταφορά γε κατὰ πάντων τῶν προειρημένων τῇ φαντασίᾳ χρώμεθα πολλάκις. καὶ γὰρ κατὰ αἰσθήσεως καὶ κατὰ δόξης καὶ κατὰ ἐπιστήμης καὶ νοῦ τὴν φαντασίαν κατηγοροῦμεν. τῆς μὲν οὖν αἰσθήσεως χωρίζεται ἡ τοιαύτη φαντασία τῷ τὴν μὲν αἴσθησιν παρόντων εἶναι τῶν αἰσθητῶν, φαντασίαν δὲ γίνεσθαι καὶ μὴ παρόντων, καὶ αἴσθησιν μὲν ἐγρηγορότων γίνεσθαι, φαντασίαν δὲ καὶ κοιμωμένων. ἔτι αἴσθησις μὲν οὐκ ἐφ' ἡμῖν (οὐ γὰρ ἐφ' ἡμῖν μὴ παρόντων τῶν αἰσθητῶν αἰσθάνεσθαι),

2 μηδὲν αἰσθητήριον] Kein anderes Organ (B: Organ für einen anderen Sinn) 3 ἔδει] es ist [so] dass, wenn ἔλειπεν] addit: diesen (dat.) 7 ἐπὶ δὲ ταῖς — τελειότεραι] er [der Intellect] ist aber der vollkommenste dadurch, dass die ersten Kräfte in ihm vollendet sind 9—10 ἡ δὲ — λεγόμεθα] Die Kraft der Phantasie gehört zu den Kräften der Seele, auch sie ist eine erkennende, eine der Kräfte, durch welche von uns gesagt wird, ob wir die Wahrheit reden oder lügen 11 καὶ ante πολλὰ om. 12 δόξῃ] Glaube, Meinung 15 ἰδίοις] die Sinnesobjekte, die sie wahrnimmt 17 τοῦ ἐπιστητοῦ] des durch das Lernen Erkannten 17—18 ὅτι ἐκείνου — ἔχειν] und es ist nicht möglich, dass es (?) anders als das durch Lernen Erkannte sei 21 φάντασμά τι γίνεσθαι] dass eines der Dinge vorgestellt werde 23 πολλάκις om. 24 τῆς αἰσθήσεως χωρίζεται] was den Sinn betrifft, so wird [die Phantasie] von uns (ihm?) unterschieden 26 καὶ om. 27—28 ἔτι αἴσθησις — αἰσθάνεσθαι] Das Verhältniss des Sinnes zu uns ist nicht dieses; er ist uns nämlich nicht, dass wir Sinnesobjekte wahrnehmen, wenn sie für uns nicht vorhanden sind

3 ὡς ἔδειξεν κτλ.] Ar. de an. 3,1. 424b22 4 ἀριστοτέλους a 9 „περὶ φαντασίας καὶ φανταστικῆς δυνάμεως." ἡ δὲ Va 10 fortasse αἷς 17 fortasse ἐκεῖνο cf. Ar. an. post. 71b15

φαντασία δὲ καὶ ἐφ' ἡμῖν· ἐφ' ἡμῖν γὰρ φαντασίαν τινὸς καὶ μὴ παρόντος λαβεῖν. καὶ αἰσθήσεως μὲν πάντα μετέχει τὰ ζῷα, φαντασίας δὲ οὐ δοκεῖ, ὡς τά τε ὀστρεώδη τῶν θαλασσίων καὶ οἱ σκώληκες. καὶ ἡ μὲν αἴσθησις ἀεὶ τῶν ἰδίων ἀληθής ἐστι, τῶν δὲ φαντασιῶν αἱ πλεῖσται ψευδεῖς. ὅτι δὲ μὴ ταὐτὸν αἴσθησις καὶ φαντασία, δῆλον καὶ ἐκ τοῦ ὅταν μὲν ἀκριβῶς αἰσθανώμεθά τινος μὴ λέγεσθαι ἡμᾶς φαντασίαν ἔχειν αὐτοῦ, ἀμαυρῶς δέ τινος αἰσθανόμενοι φαίνεσθαι ἡμῖν ἐκεῖνο λέγομεν. καίτοι, εἰ ἦν ταὐτά, ἔδει τὴν μᾶλλον αἴσθησιν μᾶλλον φαντασίαν εἶναι, καὶ τὴν ἀκριβεστέραν αἴσθησιν καὶ φαντασίαν ἀκριβεστέραν. ἀλλὰ μὴν οὐδὲ ἐπιστήμῃ οὐδὲ νῷ ταὐτὸν ἡ φαντασία, ὅτι ἐπιστήμη μὲν καὶ νοῦς ἀεὶ ἀληθῆ, τῶν δὲ φαντασιῶν αἱ πλεῖσται ψευδεῖς. ἔτι ἐπιστήμη μὲν καὶ νοῦς, ὥσπερ οὖν καὶ φρόνησις, ἐν μόνοις τοῖς λόγον ἔχουσιν, φαντασία δὲ καὶ ἐν ἀλόγοις. δόξαι δ' ἂν κατὰ τὸ ἀληθὴς καὶ ψευδὴς γίνεσθαι φαντασία ἡ αὐτὴ εἶναι τῇ δόξῃ. καὶ γὰρ τῶν δοξῶν αἱ μὲν ἀληθεῖς εἰσιν, αἱ δὲ ψευδεῖς. οὐ μὴν οὐδὲ οὕτως ἔχει. τῇ μὲν γὰρ πάντως πίστις ἕπεται (ὁ γὰρ δοξάζων περί τινος πάντως καὶ συγκατατίθεται ὡς οὕτως ἔχοντι· ἡ γὰρ περί τινος δόξα συγκατάθεσις ἐκείνῳ ὡς οὕτως ἔχοντι· ἡ δὲ συγκατάθεσις μετὰ πίστεως, λογικὴ γὰρ συγκατάθεσις ἡ δόξα καὶ μετὰ κρίσεως), οὐ πᾶσα δὲ φαντασία μετὰ πίστεως. τῶν γοῦν ἀλόγων ζῴων φαντασίαν μὲν ἔχει πολλά, πίστιν δὲ οὐδέν. εἰ δὲ μὴ πίστιν, οὐδὲ τὴν μετὰ κρίσεως συγκατάθεσιν. ἔτι πᾶσα μὲν δόξα ἐν συνθέσει (ἢ γὰρ καταφατικὴ ἢ ἀποφατική), οὐ πᾶσα δὲ φαντασία τοιαύτη. διὸ οὐδὲ τὸ ἀληθές τε καὶ ψεῦδος ἐν ἀμφοτέραις ὁμοίως, ὥσπερ οὐδὲ τὸ ἐν αἰσθήσει τε καὶ δόξῃ. εἰ δὲ μηδὲν τούτων ἐστὶν ἡ φαντασία τῷ μήτε τὰ τῇ αἰσθήσει ἑπόμενα μήτε τὰ τῇ δόξῃ μήτε τὰ τῇ ἐπιστήμῃ μήτε τὰ τῷ νῷ ἕπεσθαι αὐτῇ, δῆλον ὡς οὐδὲ ἐκ συνθέσεως εἴη ἂν αἰσθήσεώς τε καὶ δόξης, ὡς δοκεῖ τισιν. ἦν γὰρ ἂν τὰ ἑκατέρῳ τούτων ἑπόμενα καὶ τῇ φαντασίᾳ τῷ τὸ συγκείμενον ἔκ τινων σωζομένων ἐν

1—2 φαντασία—λαβεῖν] das Verhältniss der Phantasie ist ebenfalls für uns, dass wir nämlich Etwas vorstellen können, auch wenn es nicht da ist 2 καὶ om. 4 τῶν ἰδίων] über die Sinnesobjekte, die ihn specificiren 7 καίτοι] nun 8 ἀκριβεστέραν] wahrere und wahrhaftigere 11 φρόνησις] Erkenntniss. post μόνοις addit: „nicht anderen" 14 οὐ μὴν οὐδὲ οὕτως ἔχει] was bei Intellect und Syllogismus nicht der Fall ist 15 τῇ μὲν γὰρ] denn der Meinung 17 δὲ om. 17 ἡ δὲ συγκατάθεσις—πίστεως] die Ansicht ist mit dem Glauben an die Sache verbunden, von welcher man eine Ansicht hat 17—18 λογικὴ—μετὰ κρίσεως] denn die Meinung ist eine redende, folgernde 19 πίστιν δὲ οὐδέν] [viele Thiere besitzen Phantasie], wovon nichts Bewährung hat 20 συγκατάθεσιν] Meinung 21 δόξα] Meinung 22 ὁμοίως] zusammen auf dieselbe Weise 23 ὥσπερ—δόξῃ] wie auch nicht Wahrheit und Falschheit im Sinn und der Meinung auf dieselbe Weise ist 26 ante ἦν γὰρ addit: Bestände sie in einer Zusammensetzung beider 27 σωζομένων ἐν αὐτῷ] Unter Beibehaltung

5 δὲ μὴ V: μηδὲ a 6 αἰσθανόμεθα a 11 ἔτι] inter ε et τ paululum erasum V
ὥσπερ οὖν] cf. Ind. 12 μόνης a 13 ἀληθὲς a 20 μετὰ] τα in lit. V
22 ψεῦδος] cf. 70,7 23 τούτων] ω in lit. V

αὐτῷ τῶν ἐξ ὧν σύγκειται οὕτως εἶναι ἐξ αὐτῶν. οὐ γὰρ ταὐτὸν ἡ σύνθεσις τῇ κράσει. τὸ μὲν γὰρ κεκραμένον ἔκ τινων ἐστὶ μὲν ἐξ ἐκείνων, οὐ μὴν ἐκεῖνα, τὸ δὲ συγκείμενον ἐκεῖνά ἐστι μετά τινος θέσεώς τε καὶ τάξεως. τί τοίνυν ἐστὶν ἡ φαντασία, ὧδε ἂν γνωρίσαιμεν· δεῖ νοεῖν γίνεσθαι ἐν ἡμῖν ἀπὸ τῶν ἐνεργειῶν τῶν περὶ τὰ αἰσθητὰ οἷον τύπον τινὰ καὶ ἀναζωγράφημα ἐν τῷ πρώτῳ αἰσθητηρίῳ (τοῦτο δ' ἐστὶ τὸ σῶμα, ἐν ᾧ ἡ αἰσθητικὴ τῆς ψυχῆς δύναμίς ἐστι), ἐγκατάλειμμά τι ὂν τῆς ὑπὸ τοῦ αἰσθητοῦ γινομένης κινήσεως, ὃ καὶ μηκέτι τοῦ αἰσθητοῦ παρόντος ὑπομένει τε καὶ σώζεται, ὂν ὥσπερ εἰκών τις αὐτοῦ, ὃ καὶ τῆς μνήμης ἡμῖν σωζόμενον αἴτιον γίνεται. τὸ τοιοῦτον ἐγκατάλειμμα καὶ τὸν τοιοῦτον ὥσπερ τύπον φαντασίαν καλοῦσιν. διὸ καὶ ὁρίζονται τὴν φαντασίαν τύπωσιν ἐν ψυχῇ καὶ τύπωσιν ἐν ἡγεμονικῷ. μήποτε δὲ οὐχ ὁ τύπος αὐτὸς ἡ φαντασία, ἀλλὰ ἡ περὶ τὸν τύπον τοῦτον τῆς φανταστικῆς δυνάμεως ἐνέργεια. εἰ γὰρ ἦν αὐτὸς ὁ τύπος ἡ φαντασία, ἦμεν ἂν ἐν φαντασίᾳ καὶ μὴ ἐνεργοῦντες περὶ αὐτόν, ἔχοντες δὲ αὐτόν, καὶ ἅμα ἂν ἐν πλείοσιν ἦμεν φαντασίαις καὶ τοσαύταις ὅσων τὸν τύπον σώζομεν. ἔτι ἤτοι τὴν γινομένην τύπωσιν φαντασίαν λέγουσιν ἢ τὴν γεγονυῖαν ἤδη καὶ οὖσαν. ἀλλ' εἰ μὲν τὴν γινομένην, τὴν αἴσθησιν ἂν λέγοιεν τὴν κατ' ἐνέργειαν φαντασίαν. αὕτη γὰρ ἡ γένεσις τοῦ τύπου, ἀλλὰ γίνονται φαντασίαι καὶ χωρὶς τῆς κατὰ τὰς αἰσθήσεις ἐνεργείας. εἰ δὲ τὴν γεγονυῖαν καὶ σωζομένην, τὴν μνήμην ἂν λέγοιεν φαντασίαν. ἀλλὰ εἴη ἂν ὡς ἐπὶ τῆς αἰσθήσεως. ὡς γὰρ ἐπ' ἐκείνης ἐστὶ μέν τι αἰσθητόν, ἐστὶ δέ τις καὶ δύναμις αἰσθητική, ἐστὶ καὶ ἐνέργεια τῆς δυνάμεως περὶ τὸ αἰσθητόν, ἣν αἴσθησιν καλοῦμεν (ὁμοίως δὲ καὶ ἐπὶ τῆς νοήσεως· νοητὸν μὲν τὸ πρᾶγμα, νοῦς δὲ ἡ δύναμις, νόησις δὲ ἡ τοῦ νοῦ περὶ τὸ νοητὸν ἐνέργεια), οὕτως δὲ ὑπολῃπτέον ἔχειν καὶ ἐπὶ τῆς φαντασίας τὸ μέν τι εἶναι φανταστόν (τοῦτο δ' ἂν εἴη τὸ ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως γινόμενον ἐγκατάλειμμα, ἀνάλογον ὂν τῷ αἰσθητῷ τε καὶ νοητῷ), τὸ δὲ φανταστικόν, ἀνάλογον ὂν καὶ αὐτὸ τῷ αἰσθητικῷ τε καὶ τῷ νῷ, τὸ δὲ φαντασίαν, οὖσαν καὶ αὐτὴν ἀνάλογον τῇ αἰσθήσει καὶ τῇ νοήσει, ἐνέργειαν οὖσαν τῆς φανταστικῆς δυνάμεως περὶ τὰ φανταστά. ὑπόκειται γὰρ τῇ φανταστικῇ δυνάμει τὰ ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθή-

---

1 οὕτως om. 1—2 οὐ—κράσει] eine Zusammensetzung dieser Art wird nicht durch Mischung 3 post ἐκεῖνά ἐστι addit: aus denen es zusammengesetzt ist 4 ὧδε ἂν γνωρίσαιμεν] wer gäbe, dass ich es wüsste! (= möchte ich wol wissen) 5—6 οἷον—ἀναζωγράφημα] [Etwas] einer Spur und einem Eingeprägten Aehnliches 9 ὂν—εἰκών τις] auf der Stufe einer Aehnlichkeit 11 τύπωσιν ἐν ψυχῇ καὶ om. 13 περὶ τὸν τύπον τοῦτον om. post ἐνέργεια addit: wodurch es ist (entsteht) 16—17 ἔτι ἤτοι—φαντασίαν om. 21 εἴη ἂν ὡς] es ist mit der Phantasie, wie 23—25 ὁμοίως—ἐνέργεια] so auch bei der intellectuellen Vorstellung ein intelligibles Ding, und dies ist das, was intellectuell vorgestellt wird, und der Intellect, d. i. die Kraft, durch welche jenes wird (?) und die intellectuelle Vorstellung, d. i. die Wirkung des Intellects im Vorgestellten 29 καὶ αὐτὴν om.

---

4 ὧδε a 5 τύπτον a 7 ἐγκατάλλημα V ὂν om. a 22 fortasse ἐστὶ ⟨δὲ⟩ καὶ

σεως γινόμενα ἐγκαταλείμματα ὡς ὄντα τινὰ αἰσθητὰ ἐντός, ὡς τῇ αἰσθητικῇ τὰ αἰσθητὰ ὄντα ἐκτός. καλεῖται δὲ τὰ τοιαῦτα ἐγκαταλείμματα κατ' ἐνέργειαν αἴσθησις, ὅτι τῆς ἐνεργείας τῆς αἰσθητικῆς ταῦτ' ἐστιν ἔργα. καὶ τὸ κατ' ἐνέργειαν αἰσθέσθαι ἐστὶ τὸν τύπον τοῦτον σχεῖν ἐν αὑτῷ ἀπὸ τῶν αἰσθητῶν ἐκτὸς ὄντων· ἡ δὲ φανταστικὴ δύναμίς ἐστιν ἡ αὐτὴ μὲν κατὰ τὸ ὑποκείμενον τῇ αἰσθητικῇ, τῷ λόγῳ μέντοι διαφέρουσα. αἰσθητικὴ μὲν γάρ ἐστι, καθόσον τῶν αἰσθητῶν κεχωρισμένων τε τοῦ ἔχοντος αὐτὴν καὶ παρόντων ἐστὶν ἀντιληπτικὴ μόνων, φανταστικὴ δέ, καθόσον ὡς ἐκείνη περὶ τὰ αἰσθητὰ ἐκτὸς ὄντα ἐνεργεῖ, οὕτως αὕτη περὶ τὰ φανταστὰ ὄντα ἐν τῷ ἔχοντι αὐτὴν σώματι ὥσπερ αἰσθητὰ αὐτῇ, εἰ καὶ μὴ παρείη ἔτι τὰ αἰσθητά. ὅταν μὲν γὰρ παρόντων τῶν αἰσθητῶν ἡ ἐνέργεια αὐτῇ γίνηται, αἴσθησις γίνεται. ἡ γὰρ περὶ τὴν διὰ τοῦ αἰσθητηρίου ⟨κίνησιν⟩ παρόντος τοῦ αἰσθητοῦ ἐν τῷ αἰσθητικῷ γινομένη ἐνέργεια τῆς αἰσθητικῆς ψυχῆς αἴσθησίς ἐστι. διὸ καὶ ταὐτὸν εἶναι δοκεῖ ἥ τε αἴσθησις καὶ ἡ φαντασία. ὅταν δὲ μηκέτι τοῦ αἰσθητοῦ παρόντος ἡ ἐνέργεια τῇ αἰσθητικῇ ψυχῇ περὶ τὸ γενόμενον ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως ἐγκατάλειμμα γίνηται ὡς αἰσθητόν τι, φαντασία τότε. ἡ γὰρ περὶ τὸ αὐτὸ τοῦτο ἐνέργεια, ὅταν μὴ ἁπλῶς ὡς περὶ τοιοῦτον γίνηται, ἀλλὰ καὶ ὡς ἀπ' ἄλλου τινὸς ἐγγενόμενον, τὸ μὲν μνήμη, τὸ δὲ ἀνάμνησίς ἐστιν. ὧν περὶ τῆς διαφορᾶς ἐν ἄλλοις εἴρηται, νῦν δὲ περὶ τῆς φαντασίας λέγωμεν. ἐπεὶ γὰρ ἐνδέχεταί τι ὑπ' ἄλλου κεκινημένον αὐτὸ πάλιν ἄλλο κινῆσαι (ἡ γοῦν βακτηρία κινεῖ τὸν λίθον ὑπ' ἄλλου κεκινημένη), καὶ τὸ πρῶτον αἰσθητήριον κινηθὲν ὑπὸ τῶν αἰσθητῶν διὰ τῆς περὶ αὐτὰ ἐνεργείας αὐτὸ πάλιν διὰ τῆς ὑπ' ἐκείνων γενομένης ἐν αὐτῷ κινήσεως κινεῖ τὴν φανταστικὴν ψυχὴν ὡς τὰ αἰσθητὰ τὴν αἰσθητικήν, παραπλησίως δὲ τούτοις καὶ τὰ κατὰ ἀναζωγράφησιν ἐν ἡμῖν γινόμενα καὶ τὰ ἀπὸ μὴ παρόντων κινεῖ. καὶ γὰρ

---

1 post αἰσθητὰ addit desselben 4 τὸν τύπον—ἐν αὐτῷ] dass in uns zurückbleibt die Spur 6 τῷ λόγῳ] im Inhalt 10 ὥσπερ αἰσθητὰ αὐτῇ] weil dieselben ihr sinnlich wahrnehmbar sind 11 ὅταν .. αὐτῇ γίνηται] wenn sie ihre Tätigkeit so ausübt 12—14 ἡ γὰρ—αἴσθησίς ἐστι] denn die Tätigkeit der sensuellen Seele, welche besteht in Bewegung, welche im Sinnesorgan am Wahrnehmenden während des Wahrgenommenen vorhanden und bleibend ist, ist Sinn 17 ὡς—τι] weil es irgend ein Wahrgenommenes ist 17—19 ἡ γὰρ—ἐγγενόμενον] Ist die Tätigkeit in diesem Reste selbst nicht schlechtweg, [nämlich] wie wir sie geschildert haben, sondern aus einer anderen Sache entstanden, 21 γοῦν] wie βακτηρία] Schleuder 22—24 καὶ τὸ—κινεῖ τὴν φανταστικὴν ψυχὴν] haec verba corrupta legit interpres 25 παραπλησίως—τούτοις] in derselben Weise 25—26 τὰ—γινόμενα] die Dinge, welche in ihr [der phantastischen Seele?] entstehen auf dem Wege der Abbildung und Vorstellung

---

3 αἴσθησις] alterum ι in lit. V ὅτι V: ἄρα a 4 αὐτῷ Va 9 τὰ ante αἰσθητὰ] α supra lin. V 11 αὐτῇ scripsi, scil. τῇ δυνάμει, quae secundum res, de quibus agit, aut αἰσθητική aut φανταστική fit: αυτη V: αὐτὴ a 12 γίνεται a κίνησιν addidi secutus interpretationem hebraicam 17 τοῦτο] το supra lin. V 23 αὐτὸ V: αὐτὰ a 26 ὑμῖν a

ταῦτα γίνεται τῷ γεγονέναι τινὰ αὐτῶν αἴσθησιν. ὥστε καὶ ταῦτα ὡς ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως γινόμενα κινεῖ. διὸ καὶ εἴη ἂν τῆς φαντασίας | λόγος κίνησις ὑπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως. τὸ γὰρ λέγειν 136r
τύπωσιν ἐν ἡγεμονικῷ, ἐν τῷ ἐγκαταλείμματι, οὐκ ἐν τῇ περὶ αὐτὸ ἐνεργείᾳ τὴν φαντασίαν τιθεμένων ἐστίν. ἡ μὲν οὖν περὶ τὸ ἐγκατάλειμμα τὸ ἀπὸ τοῦ καθ' αὑτὸ αἰσθητοῦ σωζόμενον γινομένη ἐνέργειά τε καὶ φαντασία ὁμοίως τὸ ἀληθές τε καὶ τὸ ψεῦδος ἕξει τῇ αἰσθήσει ἐφ' ἣ γίνεται. διὸ αἱ πλεῖσται τῶν τοιούτων καὶ περὶ τὰ τοιαῦτα φαντασιῶν ἀληθεῖς, αἱ δὲ περὶ τὰ ἐγκαταλείμματα ἀπὸ τῶν κοινῶν τε αἰσθητῶν καὶ κατὰ συμβεβηκὸς πολὺ τὸ ψεῦδος ἔχουσιν τῷ καὶ τὰς αἰσθήσεις διαψεύδεσθαι περὶ τὰ τοιαῦτα, ἐφ' αἷς αἱ γινόμεναι φαντασίαι εἰκότως καὶ αὐταὶ τὸ ψεῦδος ἔχουσι πολύ. αἱ δὲ γινόμεναι μὲν ἀπὸ τῶν ἐγκαταλειμμάτων, μὴ πάντῃ δὲ σωζομένων, ἀλλὰ τῆς φαντασίας προσανατυπούσης αὐτά, πολὺ τὸ ψεῦδος ἔχουσιν. καὶ γὰρ ἐν τοῖς καθ' αὑτὰ αἰσθητοῖς γίνονται ψευδεῖς αἱ γινόμεναι τοῦτον τὸν τρόπον τῷ τὴν φανταστικὴν δύναμιν κινεῖσθαι ὑπὸ τῶν ἐγκαταλειμμάτων καὶ ὡς ἀπὸ παρόντων τῶν οὐ παρόντων καὶ οὐχ ὡς ἀπὸ τοιούτων ὁποῖά ἐστιν, οἷαί εἰσιν αἵ τε τῶν κοιμωμένων καὶ ὅσαι γίνονται, ὡς εἶπον, κατὰ ἀναζωγράφησίν τινα ἐν αὐτοῖς. τοιαῦται καὶ αἱ τῶν παρακοπτόντων. ἀρχὴ μὲν γὰρ καὶ ταύταις ἀπό τινος ἐγκαταλείμματος ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως γενομένου· τῆς δὲ περὶ τὴν ἐνέργειαν τὴν περὶ αὐτὸ γινομένης διαμαρτίας αἰτία ἢ παρὰ τὸ σχῆμα ἢ παρὰ τὸ μέγεθος ἢ παρὰ τὸ χρῶμα ἤ τινα ἄλλην ποιότητα, ἢ τὴν κίνησιν ἢ τὸν τόπον, ἢ τὸ πλῆθος, ἢ τὴν σύνθεσιν. ἀληθὴς μὲν οὖν φαντασία ἡ περὶ τοιοῦτον ἐγκατάλειμμα ἐνεργοῦσα, ὃ ἀπὸ ὄντος τε γέγονεν καὶ ὁποῖον ἐκεῖνο καὶ ὡς ἔχει γινομένη περὶ αὐτό, ψευδὴς δὲ ἥ τε περὶ τὰ ἀπὸ μὴ ὄντος, ὁποῖαι

1 ὥστε καὶ ταῦτα .. κινεῖ] dadurch werden diese Dinge ebenfalls bewegt 3—5 τὸ γὰρ—ἐστίν] denn der Ausspruch, dass sie eine Spur im Leiter ist, welche am Ueberrest [stattfindet], ist der Ausspruch desjenigen, der die Phantasie nicht in die Wirkung (in actu) am Ueberreste setzt 6 ἀπὸ—αἰσθητοῦ] von dem Wahrgenommenen selbst 7—8 διὸ—φαντασιῶν] daher ist der grösste Teil dieser Vorstellung, welche diesen Verlauf nimmt 8—9 αἱ δὲ—συμβεβηκός] Die Vorstellung hingegen, welche in den Resten ist, welche von den gemeinschaftlichen Sinnesobjekten übrig bleiben, und welche durch Zufall [entstehen] . 12—13 αἱ δὲ—ἔχουσιν] Was die Vorstellung anbetrifft, welche aus den Resten entsteht, so sind (sic) diese nicht von allen Seiten gerettet, sondern die Vorstellung, [welche?] eine hinzugefügte Einwirkung in ihren Spuren hat, ist lügenhaft 17—18 καὶ ὅσαι—ἐν αὐτοῖς] und die Phantasie, welche auf dem Wege der Abbildung (?) [stattfindet], wie ich in Bezug auf diese Reste gesagt habe 18 τοιαῦται—παρακοπτόντων] Diesen Verlauf nimmt die Vorstellung der Dinge, von denen aus man zur Verirrung (Sophismus) abweicht 23—25 ἡ περὶ—περὶ αὐτό] ist die, welche am Reste vorgeht, welcher von einem vorhandenen Dinge übrig geblieben und in ihr ist, indem er in seinem selbigen Zustande geblieben ist 25—71,1 ὁποῖαι—γινόμεναι] wie das, was davon im Schlafe [vorkommt], was entsteht

2 φανσίας a 4 τύπτωσιν ἐν ὑγεμονικῷ a 6 ἀπὸ scripsi: ὑπὸ Va καθ' αὐτοῦ a 11 αυται V 12 μὴ πάντῃ δὲ V: μηδὲ αὐτὴ δὲ a 16 ὡς supra lin. V 21 αἴτια Va

κατὰ τοὺς ὕπνους αἱ γινόμεναι ὡς ἀπὸ παρόντων τῶν αἰσθητῶν τῶν οὐ παρόντων, ἀλλὰ καὶ αἱ ἀπὸ παρόντων μέν, μὴ οἷα δέ ἐστι. ψευδὴς γὰρ φαντασία, ἥ οὐ συμφωνεῖ τὸ φαινόμενον, ὡς καὶ δόξα, ἥ ἀντιμαρτυρεῖ τὸ οὗ ἡ δόξα. καὶ ἔστιν ἥ τε ἀληθὴς καὶ ἡ ψευδὴς φαντασία κατὰ τὴν πρὸς τὸ οὗ εἰσι σχέσιν. τῶν δὲ φαντασιῶν αἱ μέν εἰσιν ἀμυδραί, αἱ δὲ σφοδραί, ὥσπερ ἔχει καὶ ἐπὶ τῶν αἰσθήσεων. ἀμυδραὶ μὲν αἱ ἐπιπόλαιοι καὶ μηδὲν ἔχουσαι καταληπτικόν, μηδὲ τρανῶς τὰς διαφορὰς τοῦ φανταστοῦ μηνύουσαι, σφοδραὶ δὲ αἱ ἐναντίως ἔχουσαι. γίνονται δὲ τοιαῦται ὁμοίως καὶ ἀληθεῖς καὶ ψευδεῖς, οὔτε γὰρ τῆς ἀληθοῦς ἴδιον τὸ σφοδρόν, οὔτε τῆς ψευδοῦς τὸ ἀμυδρόν, ἀλλὰ ἐναλλάττουσιν αὐτῶν αἱ διαφοραί. τὰς δὴ ἀληθεῖς τῶν φαντασιῶν καὶ σφοδρὰς εἰώθαμεν λέγειν καὶ καταληπτικάς τῷ κατάληψιν εἶναι τὴν ταῖς τοιαύταις φαντασίαις συγκατάθεσιν, ἀκατάληπτον δὲ φαντασίαν καλοῦμεν τήν τε ψευδῆ καὶ τῶν ἀληθῶν τὰς ἀμυδράς. ἐναργὴς δὲ φαντασία λέγεται ποτὲ μὲν ἥ τε ἀληθὴς καὶ σφοδρά (τουτέστιν ἡ καταληπτική), ποτὲ δὲ ἡ σφοδρὰ μόνον ἡ τῇ ἀμυδρᾷ ἀντιτιθεμένη. ἕπεται δὲ τῇ σφοδρᾷ φαντασίᾳ συγκατάθεσις, εἰ μὴ εἴη δι' ἄλλων τινῶν πεφωραμένη ψευδὴς οὖσα, ὡς ἐπὶ τῆς φαντασίας τῆς τοῦ μὴ κινεῖσθαι τοὺς ἀστέρας πάσχομεν, καὶ ἐπὶ τῶν γραφῶν κατὰ τὰς εἰσοχάς τε καὶ ἐξοχάς, καὶ ἐπὶ τῶν ἐμφαινομένων τοῖς κατόπτροις. οὐ γὰρ διότι μή εἰσι σφοδραὶ ἀπιστοῦμεν αὐταῖς, ἀλλ' ὅτι διαβέβληται δι' ἄλλων· καὶ γὰρ ἀληθέσι τισὶ καὶ σφοδραῖς πολλάκις ἀπιστοῦμεν, ἂν ὦμεν προδιαβεβλημένοι. τῇ δὲ τῆς φαντασίας συγκαταθέσει ἕπεται ἐνέργεια πρακτική. διὸ τά τε ἄλογα ζῷα κατὰ τὰς φαντασίας, ἃ ποιεῖ, ποιεῖ καὶ ταῖς ἐπὶ ταύταις συγκαταθέσεσιν τῷ μὴ ἔχειν λόγον. καὶ οἱ ἄνθρωποι δὲ ταῖς φαντασίαις ἕπονται πολλάκις διὰ τὸ ἐπικεκαλύφθαι τὸν νοῦν αὐτῶν ἢ ὑπὸ πάθους τινὸς ἢ ὑπὸ νόσου ἢ ὑπὸ ὕπνου· ἔχει γὰρ τὸ ζῷον παρὰ τῆς φύσεως τὴν ψυχὴν τὴν φανταστικήν, ὥσπερ οὖν καὶ τὴν αἰσθητικήν, ὑποβάθραν καὶ ἀρχὴν πρὸς τὴν ἐπί-

---

3 ὡς καὶ δόξα] wie die lügenhafte Meinung die ist 4—5 κατὰ—σχέσιν] im Verhältniss zu dem phantastisch vorgestellten Ding 6—7 ἀμυδραὶ—μηνύουσαι] die schwache ist die, welche in oberflächlicher Betrachtung vorfällt, ohne dass in ihm (!) Etwas sei, was verhindert, dass das Phantasieobjekt zur Deutlichkeit gelange 11 καταληπτικὰς] anlangende, erreichende 14—15 καὶ σφοδρά—καταληπτική] ich meine die starke anlangende 18 καὶ ἐπὶ—ἐξοχάς] und in Vorstellungen in der Kategorie der Vertiefung und Erhabenheit 20 ἀπιστοῦμεν] beseitigen sie und halten sie nicht für wahr ἀλλ'—ἄλλων] sondern weil sie nach unserer Ansicht etwas Anderes fälscht 21 ἂν—προδιαβεβλημένοι] weil wir schon früher belehrt worden sind, dass sie schadhaft (lügenhaft) sind 22 ἐνέργεια πρακτική] die intellectuelle Wirkung (aus dem Intellect hervorgehend) 25 διὰ—νοῦν] weil Etwas die Erkenntniss derselben hindert 27 ὑποβάθραν] Basis ἐπίχρισιν] Anordnung

---

3 ἀντιμαρτυρεῖ] τυ supra lin. V 6 ἐπιπόλεοι Va 7 καταληπτικὸν (πκτ vet. corr. supra lin.) V: καταληπτικὸν a τρανῶν a 13 ἀληθῶν] ἀλη in lit. V ἀμηδρὰς a 15 ἀμυδρὰ a 16 σφοδρὰ a 19 διότι V: δι' ἄρα a 25 ἐπικεκαλῦφθαι a

κρισίν τε καὶ γνῶσιν τῶν πραγμάτων καὶ τῶν μὲν αἵρεσιν, τῶν δὲ φυγήν. ὡς γὰρ ἡ δόξα ἄλλου τινὸς χάριν ἐστίν (τοῦ γὰρ ὧδε ἢ ὧδε δοξάσαντος ἢ συνθέσθαι τῷ δοξαζομένῳ ἢ ἀποστραφῆναι αὐτό), οὕτως δὲ καὶ ἡ αἴσθησίς τε καὶ ἡ ἐπ' αὐτῇ φαντασία. κρίσεως γὰρ καὶ αἱρέσεως ἢ φυγῆς αὐτῶν ταῦτα ἀρχαί. χρὴ δὲ τοῦ τύπου κοινότερον ἐπὶ τῆς φαντασίας ἀκούειν. κυρίως μὲν γὰρ τύπος τὸ κατ' εἰσοχήν τε καὶ ἐξοχήν, ἢ τὸ τοῦ τυποῦντος ἐν τῷ τυπουμένῳ σχῆμα γινόμενον, ὡς ὁρῶμεν τὰ ἐπὶ τῶν σφραγίδων ἔχοντα. οὐχ οὕτως δὲ τὰ ἀπὸ τῶν αἰσθητῶν ἐγκαταλείμματα ἐν ἡμῖν γίνεται. οὐδὲ γὰρ τὴν ἀρχὴν κατὰ σχῆμά τι ἡ τῶν αἰσθητῶν ἀντίληψις. ποῖον γὰρ σχῆμα τὸ λευκὸν ἢ ὅλως τὸ χρῶμα; ἢ ποῖον σχῆμα ἡ ὀσμή; ἀλλὰ δι' ἀπορίαν κυρίου τινὸς ὀνόματος τὸ ἴχνος καὶ ἐγκατάλειμμα τὸ ὑπομένον ἀπὸ τῶν αἰσθητῶν ἐν ἡμῖν τύπον καλοῦμεν μεταφέροντες τοὔνομα. ἕπεται μὲν οὖν τῇ φαντασίᾳ συγκατάθεσις, οὐ μὴν πάσῃ, ὥσπερ οὖν καὶ τῇ συγκαταθέσει ὁρμή, οὐδὲ ταύτῃ δὲ πάσῃ. ἀλλ' οὐδὲ τῇ ὁρμῇ ἐξ ἀνάγκης πρᾶξις. καὶ ἔστιν ἐφεξῆς ταῦτα ἐν τῷ ζῴῳ τὴν τάξιν ἔχοντα· αἴσθησις φαντασία συγκατάθεσις ὁρμὴ πρᾶξις. ἀλλ' οὔτε πάσῃ αἰσθήσει δοκεῖ φαντασία ἕπεσθαι, εἰ δοθείη τὸ μὴ πάντα τὰ ζῷα φαντασίας μετέχειν, οὔτε πάσῃ φαντασίᾳ συγκατάθεσις (οὐ γὰρ τῷ τὸν ἥλιον ποδιαῖον εἶναι συγκατατιθέμεθα καίτοι ταύτην φαντασίαν περὶ αὐτοῦ λαμβάνοντες· ὁμοίως οὐδ' ἄλλῳ τινὶ τῶν ἀδήλων), οὔτε πάσῃ συγκαταθέσει ὁρμή· οὐ γὰρ ὁ συγκαταθέμενός τινι ὡς λευκῷ ἤδη καὶ ὁρμᾷ ἐπ' αὐτό, ἀλλ' οὐδ' ἐπὶ ταῖς τῶν μαθηματικῶν συγκαταθέσεσιν. ἡ γὰρ συγκατάθεσις τῷ τὴν διάμετρον ἀσύμμετρον εἶναι τῇ πλευρᾷ οὐκ ἔστιν ὁρμῆς κινητική. ἢ αἱ μὲν τοιαῦται συγκαταθέσεις οὐκ ἐπὶ φαντασίαις· οὐ γὰρ καὶ αἱ ἐπιστῆμαι φαντασίαι, ἀλλὰ τῷ Σωκράτῃ εἶναι | τὸν προσιόντα συγ- 136v
καταθέμενοι οὐ δήπου καὶ ὁρμῶμεν ἐπί τι πάντως. ἡ γὰρ ἐπί τισι συγ-

---

3 ἀποστραφῆναι αὐτό] abweichend meinen, dass sie so sei 4—5 κρίσεως—ἀρχαί] sie beide sind zwei Principien für die Wahl der Dinge, welche sie wahrnehmen, und deren Entfernung und das Fliehen vor ihnen 5—7 χρὴ δὲ—σχῆμα γινόμενον] wir müssen unter unserem Ausdruck in Bezug auf die Phantasie „die Spur" (p: von der afficirten Phantasie) verstehen den allgemeineren Begriff. Denn die Spur im wahren Sinne gebraucht ist die Figur, welche entsteht in der Tiefe oder in Erhabenheit durch die Spur in dem Spurobjekt 12 τύπον] Rest 14 ταύτῃ om. 15 τῇ ὁρμῇ] an jede Anregung καὶ] sondern 20 ἄλλῳ] addit: als die Sonne 21 ἤδη καὶ] ohne Zweifel 22—24 ἀλλ' οὐδ'—κινητική] Ebenso entsteht nicht aus der Ansicht im Bereich der mathematischen Wissenschaften, dass die Diagonale nicht gemeinschaftlich sei der Seite, ich meine von derselben verschieden sei, eine bewegende Anregung 24 ἡ—φαντασίαις] nur gehört diese Ansicht und was ihr ähnlich ist, nicht der Phantasie an

---

2 ὧδε a ἢ in lit. V 5 κοινότερον et ἀκούειν cf. Ind. 6 ἢ τὸ male distinguit cohaerentia. nam τὸ ἐν τῷ τυπουμένῳ σχῆμα γίνεται κατ' εἰσοχὴν καὶ ἐξοχήν. fortasse ὑπὸ cf. etiam int. hebr. 7 ὡς] ω in lit. V 9 γίνεται ἐν ἡμῖν a 11 ἐγκατάλημμα a 13 (et 18) πάσῃ a 19 τὴν φαντασίαν a 20 πάσῃ συγκαθέσει a 21 συγκαταθέμενός τινι a: συγκαθέμενός τι V 25 σωκράτῃ V: σωκράτῃ a 26 γὰρ ἐπί τι a

κατάθεσις οὐ παροῦσιν ὡς αἱρετοῖς ὁρμή, τὸ δ' αὐτὸ καὶ ὄρεξις. ἔστι δὲ ἐφ' ὧν καὶ ὁρμήσαντες οὐκ ἐπράξαμεν, μηκέτι τῆς βουλήσεως συνδραμούσης. τὸ δὲ ὄνομα τῇ φαντασίᾳ ἀπὸ τῆς αἰσθήσεως, ἀφ' ἧς καὶ τὸ εἶναι. ἐπεὶ γὰρ κυριωτάτη τῶν αἰσθήσεων ἡ ὄψις εἶναι δοκεῖ, ταύτης δὲ ἡ ἐνέργεια διὰ φωτός (ἄνευ γὰρ φωτὸς ἀδύνατον τὴν κατ' ἐνέργειαν ὄψιν γενέσθαι), ἀπὸ τοῦ τῇ κυριωτάτῃ τῶν αἰσθήσεων αἰτίου τῆς ἐνεργείας, ὅπερ ἐστὶ τὸ φῶς, ἀπὸ τούτου τῇ φαντασίᾳ τοὔνομα. ἔστι δὲ ἡ συγκατάθεσις ἡ μὲν ἐπὶ τοῖς ἁπλοῖς καὶ ἐν τῷ εἶναί τι ἢ μὴ εἶναι γινομένη οὐκ ἐφ' ἡμῖν (ἕπεται γὰρ τῇ τε αἰσθήσει καὶ τῇ φαντασίᾳ ἡ τοιάδε συγκατάθεσις), ἡ δὲ ἐπὶ τοῖς πρακτέοις ἢ μὴ πρακτέοις γινομένη, ὧν συγκαταθέσεων ὁ λόγος αἴτιος, ἐφ' ἡμῖν. τὸ γὰρ διὰ τοῦ βουλεύσασθαι προκρῖναί τι καὶ τούτῳ συγκαταθέσθαι ἐφ' ἡμῖν. ἧτις συγκατάθεσις οὐκέτ' ἂν ἐπὶ φαντασίᾳ γίνεσθαι λέγοιτο.

Αἱ μὲν οὖν κριτικαὶ δυνάμεις τῆς ἀλόγου ψυχῆς τίνες εἰσὶν εἴρηται (τοιαῦται γὰρ ἥ τε αἰσθητικὴ καὶ ἡ φανταστική· ἡ γὰρ λογική τε καὶ διανοητικὴ δύναμις, οὖσα καὶ αὐτὴ κριτική, ἴδιός ἐστιν ἀνθρώπου· διὸ περὶ μὲν ταύτης ὕστερον ἐροῦμεν), ἀκόλουθον δέ ἐστι τοῖς προειρημένοις περὶ τῆς ὁρμητικῆς εἰπεῖν. αὕτη γὰρ τοῖς ζῴοις ἀρχὴ καὶ αἰτία πράξεώς τε καὶ τῆς κατὰ τόπον κινήσεως, ὅσα γε αὐτῶν τοῦτον κινεῖται τὸν τρόπον, καὶ ἔχει τὴν τάξιν μετὰ τὴν φανταστικήν. δοκεῖ γὰρ ἕπεσθαι μετὰ τὴν ἐπὶ ταῖς φαντασίαις συγκατάθεσιν ὁρμὴ ὥσπερ οὖσα τέλος αὐτῆς, οὐκέτ' οὖσα κριτική, ἀλλὰ τοῦ ἑτέρου μέρους τῆς ψυχῆς, τοῦ πρακτικοῦ. κριτικῷ γὰρ καὶ πρακτικῷ ἡ τῶν ζῴων ψυχὴ διῄρηται, τοῦ οὕτως κριτικοῦ τε καὶ γνωστικοῦ τὴν ἀναφορὰν ὡς ἐπὶ τέλος τὴν πρᾶξιν ἔχοντος, καὶ ἔστιν ἑκάτερον αὐτῶν ἀρχὴ τοῦ ἑτέρου, ἀλλὰ τὸ μὲν αἰσθητικὸν τοῦ πρακτικοῦ ὡς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τὸ δὲ πρακτικὸν τοῦ αἰσθητικοῦ ὡς οὗ ἕνεκα καὶ τέλος. τὸ δ' ὁρμητικὸν συνέζευκται τῷ ὀρεκτικῷ· αὕτη γὰρ ἡ δύναμις τῆς κατὰ τόπον ἐξ αὐτῶν κινήσεως τοῖς ζῴοις ἀρχή τε καὶ αἰτία. ἢ γὰρ ὀρεγόμενά τινος ἐπὶ τὸ λαβεῖν αὐτὸ ὁρμᾷ τε καὶ κινεῖται, ἢ ἀποστρεφόμενα ἐπὶ τὸ ἐκ-

1 παροῦσιν] vorhanden und bleibend 6 τῆς ἐνεργείας, ὅπερ ἐστὶ τὸ φῶς om. 7—8 ἔστι δὲ — ἡμῖν] Was die Ansicht betrifft, so ist ihre Entstehung bei den einfachen Dingen [und ob] ein Ding vorhanden sei oder nicht, so ist die Angelegenheit dieser Entstehung in uns nicht unsere 9—10 ἡ δὲ — γινομένη] was aber von ihr entsteht, nach der Speculation über die Gegenstände, [die betreffen] was zu thun sei oder nicht zu thun sei 19 ὅσα—τρόπον] von welchem [Orte?] es [das Thier] in dieser Bewegung bewegt wird 21 τοῦ ἑτέρου μέρους] vom letzten Teil 23 κριτικοῦ om. 23—24 τὴν ἀναφορὰν—ἔχοντος] wendet sich (wird?) auf dem Wege des Endzwecks, welcher beabsichtigt ist, zur Praxis 26 ὡς—τέλος] inwiefern um seinetwillen der sinnliche [Teil] ist und er der im sinnlichen beabsichtigte Zweck ist 29 ὁρμᾷ] wird angeregt [ὁρμητική δ. die anregende Kraft] ἀποστρεφόμενα] verabscheut es das Ding, so

8 ἁπλοῖς] non intellego. exspectas κριτέοις sive aliud verbum oppositum τοῖς πρακτέοις (10) 11 του V 17 „περὶ ὁρμῆς καὶ τῆς ὁρμητικῆς δυνάμεως". ἀκόλουθον δὲ Va τῆς om. a 20 ταῖς om. a 21 οὖυσα V 24 ὡς ἐπὶ τέλος τὴν πρᾶξιν] cf. ὡς ἐπὶ ἀρχὴν τὴν καρδίαν 141 r 1. ὡς ἀπὸ παρόντων τῶν οὐ παρόντων 70,16. 71,1 28 αὐτῶν scripsi: αὐτῶν Va 29 ὁρμᾶται καὶ a

κλῖναί τε καὶ φυγεῖν. ὁρμὴ γάρ τις καὶ ἡ ὄρεξις. ἔστι δὲ τῆς ὀρέξεως τὸ μὲν ἐπιθυμία, τὸ δὲ θυμός, τὸ δὲ βούλησις. ἡ μὲν γὰρ τῶν ἡδέων ὄρεξις ἐπιθυμία, ἥτις ἐν πᾶσίν ἐστι τοῖς μετέχουσιν αἰσθήσεως, ἡ δὲ τοῦ τιμωρήσασθαί τινα ὡς ὀλιγωροῦντα ὄρεξις θυμὸς καλεῖται, οὐκέθ' ἡ ὄρεξις ἡ τοιαύτη ἐν πᾶσιν τοῖς ἔχουσιν αἴσθησιν. οὐ γὰρ καὶ ἐν σκώληξίν τε καὶ ὀστρέοις, ἀλλ' ἐν τελειοτέροις ἤδη. ἡ δέ γε τῶν ἀγαθῶν ὄρεξις γινομένη μετὰ κρίσεώς τε καὶ βουλῆς βούλησις καλεῖται. ἥτις ἐν ἀνθρώποις γίνεται μόνοις. ἡ γὰρ βούλησις ὄρεξις λογική. λογικὴ δὲ οὐχ ὡς τῆς λογικῆς οὖσα ψυχῆς ἐνέργεια, ἀλλ' ὡς ἐπὶ ταῖς ἐκείνης ἐνεργείαις γινομένη. τὸ γὰρ ὀρεκτικὸν τῷ ὑποτάσσεσθαι τῷ λόγῳ δύνασθαι καὶ πείθεσθαι, ὅταν ὀρέγηται τῶν ὑπὸ τοῦ λόγου κριθέντων, ἡ τοιάδε ὄρεξις αὐτοῦ βούλησις καλεῖται. ἡ γὰρ βούλησις μετὰ βουλῆς, ἡ δὲ βουλὴ καὶ τὸ βουλεύεσθαι τοῦ λόγον ἔχοντος. ὅτι δὲ ἑτέρα δύναμις ψυχῆς ἡ ὁρμητική, ἀλλὰ καὶ ὅτι αἱ προειρημέναι οὐ μόνον τῆς ὀρεκτικῆς, ἀλλὰ καὶ ἀλλήλων διαφέρουσιν, ἐκ τῶνδε ἄν τις γνωρίσαι. τοῦ μὲν γὰρ φυτικοῦ τὸ αἰσθητικὸν χωρίζεται τῷ τε τὸ μὲν ὑπάρχειν ἐν τοῖς φυτοῖς αὐτῶν, τὸ δὲ μή. εἰ γὰρ ἦν τὰ αὐτά, ἐν ᾧ τὸ ἕτερόν ἐστιν αὐτῶν, ἐν τούτῳ ἂν ἦν καὶ θάτερον. ἀλλὰ καὶ ἐπὶ τῶν ζῴων τὸ μὲν θρεπτικὸν ἀπὸ τῆς πρώτης συστάσεως αὐτοῖς ἐνυπάρχει (τρέφεται γὰρ εὐθὺς γινόμενον ἔτι τὸ ζῷον, καὶ κατὰ γαστρὸς ὂν ζῇ κατὰ μόνην τήνδε τὴν δύναμιν ἐνεργοῦν), ἡ δὲ αἰσθητικὴ ψυχὴ ἐγγίνεται αὐτοῖς ὕστερον ἀποτελεσθεῖσιν. αἱ γὰρ συστολαί τε καὶ αἱ ἐκτάσεις μερῶν τινων, ἃς ποιεῖται κατὰ γαστρὸς ὄν, οὐ γίνονται κατ' οἰκείαν αἴσθησιν αὐτῷ, ἀλλ' ὡς ἐμψύχου μέρος κατὰ ταῦτα κινεῖται. ἔτι τῇ μὲν θρεπτικῇ δυνάμει ἀεὶ ἐνεργοῦμεν (διὰ παντὸς γὰρ τρεφόμεθα καὶ μάλιστα δοκεῖ κοιμωμένων ἡ κατὰ τὴν δύναμιν ταύτην ἐνέργεια γίνεσθαι), οὐκ ἀεὶ δὲ τῇ αἰσθητικῇ. ὁ γοῦν ὕπνος ἐν τῇ τῶν αἰσθήσεών ἐστιν ἀργίᾳ τε καὶ ἡσυχίᾳ· διὸ καὶ ἡ μὲν τῶν αἰσθήσεων ἀνενεργησία ὕπνος, ἡ δὲ τῆς θρεπτικῆς δυνάμεως θάνατος. καὶ τὸ μὲν θρεπτικὸν ποιητικόν ἐστι, τὸ δὲ αἰσθητικὸν κριτικόν τε καὶ γνωστικόν. ἔτι τοῦ μὲν θρεπτικοῦ πάντα τὰ μόρια τῶν ζῴων μετέχει,

---

2 μὲν γὰρ om. 4 ὡς ὀλιγωροῦντα om. 6 δέ γε om. 9—12 τὸ γὰρ ὀρεκτικὸν —καλεῖται] wenn nämlich der begierdliche Teil sich an die Vernunft lehnen kann und nach der Vernunft begehrt, dadurch gebunden an das, was die Vernunft beurteilt und für erforderlich hält, so nennt man diese Art von Begierde, welche daraus entsteht, Willen 12 καὶ τὸ βουλεύεσθαι] und die Leitung 13 ἀλλὰ om. 15 ἐκ—γνωρίσαι] das können wir auch ersehen aus dem, wodurch wir sie beschreiben 16 ἐν τοῖς φυτοῖς] in der Pflanze 20 ζῇ—ἐνεργοῦν] wirkt 23 ἀλλ'—μέρος] sondern weil er ein Teil des beseelten Wesen ist ἔτι] also 26 γοῦν] dahin gehört dass ἀργίᾳ] Aufhebung 27 ἀνενεργησία] Aufhebung

---

1 ἐκκλίναι a καὶ ante ἡ ὄρεξις om. a 3 τοῦ om. a 4 ὀλιγωροῦντα a: ὀλιγορροῦντα V 8 μόνον a 11 ἡ τοιάδε ὄρεξις κτλ.] cf. 4,4 12 μεταβολῆς a 13 λόγου a δυναμις V 16 φυτοῖς scripsi, quod et argumentatio postulat et legit Arabs: ζῴοις Va 17 τὸ om. a 19 ὑπάρχει a 22 γίνεται a αἴσθησιν om. a 23 μέρος scripsi: μέρους Va θρεπτικὴ a 26 ἀργία a ἡσυχία a

εἴ γε πάντα τρέφεται, οὐ πάντα δὲ τοῦ αἰσθητικοῦ, εἴ γε ἀναίσθητοι τρίχες τε καὶ ὀστᾶ καὶ ὄνυχες. αὗται μὲν οὖν αἱ δυνάμεις οὐ μόνον κατὰ τὸν λόγον διαφέρουσιν ἀλλήλων, ἀλλ' ἤδη χωρίζεσθαι δύνανται καὶ κατὰ τὸ ὑποκείμενον καὶ κατὰ τὴν ἐνέργειαν. κατὰ μὲν γὰρ τὸν λόγον ἡ ἑτερότης αὐτῶν, ὅτι μὴ ταὐτὸν τὸ θρεπτικῷ εἶναι καὶ τὸ αἰσθητικῷ (ἄλλος γὰρ ὁ ἑκατέρου λόγος καθό ἐστι τοιαῦτα), κατὰ δὲ τὴν ἐνέργειαν, ὅτι μή, ὅτε τὸ θρεπτικὸν ἐνεργεῖ, τότε πάντως καὶ τὸ αἰσθητικόν (τὸ μὲν γὰρ ἀεί, τὸ δὲ αἰσθητικὸν ἀνενέργητον κοιμωμένων), κατὰ δὲ τὸ ὑποκείμενον, ὅτι τὸ μὲν θρεπτικὸν ἐν ἅπαντι μορίῳ, τὸ δὲ αἰσθητικὸν οὔ. καὶ ἐν τοῖς φυτοῖς τὸ μὲν θρεπτικόν ἐστι, τὸ δὲ αἰσθητικὸν οὐκέτι. τὸ δὲ ὁρμητικόν τε καὶ ὀρεκτικὸν τοῦ μὲν θρεπτικοῦ διοίσει σχεδὸν τοῖς αὐτοῖς, οἷς καὶ τὸ αἰσθητικόν. μόνῳ γὰρ παραλλάξει τῷ τὸ μὲν αἰσθητικὸν διαφέρειν τοῦ θρεπτικοῦ τῷ αὐτὸ μὲν κριτικὸν εἶναι, ἐκεῖνο δὲ ποιητικόν. οὐκ ἔστι γὰρ καὶ τὸ ὀρεκτικὸν ὁμοίως τῷ αἰσθητικῷ κριτικόν· ποιητικὸν γὰρ καὶ αὐτὸ καὶ πρακτικόν, εἴ γε αὐτὸ | τῆς τοῦ ζῴου κινήσεως αἴτιον. τοῦ δὲ αἰσθη- 137r
τικοῦ τὸ ὀρεκτικὸν ἕτερον τῇ τε τάξει καὶ τῷ χρόνῳ τῶν ἐνεργειῶν. πρῶτα γὰρ αἱ κατὰ τὴν αἴσθησίν τε καὶ τὴν ἑπομένην αὐτῇ φαντασίαν ἐνέργειαι τῶν κατὰ τὴν ὄρεξιν. ἐπ' ἐκείναις γὰρ καὶ μετ' ἐκείνας αἴδε. τέλος γὰρ ἡ ὄρεξίς τινων αἰσθητικῶν ἐνεργειῶν. καὶ πάντως μὲν πρὸ τῆς ὀρέξεως αἴσθησις, οὐ πάντως δὲ μετὰ τὴν αἴσθησιν ὄρεξις. εἰ δὲ τοῦτο, οὐχ ὅτε ἡ ἑτέρα αὐτῶν ἐστιν, πάντως ἐστὶ καὶ ἡ ἑτέρα. ἔτι, ὡς ἤδη προείρηται, ἡ μὲν αἴσθησις γνώσεως καὶ κρίσεως αἰτία τοῖς ζῴοις, ἡ δὲ ὁρμή τε καὶ ὄρεξις πράξεως. καὶ ἡ μὲν αἴσθησις ἐν τῷ πάσχειν, ἡ δὲ ὁρμή τε καὶ ὄρεξις δραστικὰ μᾶλλον καὶ ποιητικά. ἔχουσιν δὲ οὕτως αἱ τῆς ψυχῆς δυνάμεις πρὸς ἀλλήλας, ἐν οἷς εἰσιν πᾶσαι, ὡς τὰς πρώτας τῶν ὑστέρων εἶναι χάριν καὶ πρὸς ταύτας συντελεῖν τι, ἀνάλογον ἔχουσαι τοῖς μέρεσιν τοῦ ἐμψύχου σώματος. ὡς γὰρ ἐν ἐκείνῳ ἄλλο ἄλλου χάριν γέγονέ τε καὶ ἔστι (ἀλλὰ καὶ τὰ πλεῖστα μέρη τοῦ σώματος τῶν κατὰ ψυχὴν ἐνεργειῶν, εἴ γε ὀργανικὸν τὸ ἔμψυχον σῶμα, πᾶν δὲ ὄργανον ἐκείνου χάριν ᾧ ὑπηρετεῖται), οὕτως καὶ ἐπὶ τῆς ψυχῆς τὰ πρῶτα τῶν δευτέρων χάριν ἐστιν. ἡ μὲν γὰρ φυτικὴ ψυχή ἐστιν ἐν τοῖς ζῴοις σωτηρίας τε καὶ τοῦ εἶναι

---

5 τὸ .. εἶναι] Qualität 6 τοιαῦτα] nährend oder sinnlich 7 πάντως ante ἐνεργεῖ vertit. 11 οἷς — αἰσθητικόν] worin sich auch die nährende von der sinnlichen unterscheidet 12—15 τῷ τὸ μὲν — καὶ πρακτικόν] dass die begierdliche und die wahrnehmende [Kraft] verschieden ist von der nährenden, und dass die begierdliche erkennend ist, die nährende praktisch (p: dienend), denn die nährende ist nicht erkennend, wie die sinnliche, denn (P mg: obwohl) die begierdliche ist ebenfalls praktisch, wirkend 16 τῇ — ἐνεργειῶν] jene [i. e. Begierde] ist später als diese [i. e. Sinn] im Range und in der Zeit ihrer Wirkungen 18 τέλος] Zweck und Absicht 19 καὶ .. μὲν om. 22 κρίσεως] Theorie 25 πρώτας] die mehr primären 28 ἀλλὰ om. 30 χάριν] nur wegen

---

5 θρεπτικῷ] ι adscriptum in lit. V post καὶ τὸ paululum erasum V 16 πρῶτα V: πρῶται a 22 ζῶσι a 28 fortasse ἐνεργειῶν χάριν

χάριν, ὧν χωρὶς οὐδ' ἂν τὸ αἰσθητικὸν ἦν. τὸ δὲ αἰσθητικὸν καὶ οὕτως κριτικὸν τοῦ πρακτικοῦ τε καὶ ὁρμητικοῦ χάριν, ὡς προείρηται. ἀλλὰ καὶ τὸ πρακτικόν τε καὶ ὁρμητικὸν πάλιν τοῦ κριτικοῦ χάριν. οὐ μὴν τοῦ αἰσθητικοῦ κριτικοῦ, ἀλλὰ τοῦ νοῦ τε καὶ τῆς κατὰ τοῦτον ἐνεργείας, ἐν οἷς τῶν ζῴων καὶ ἥδε ἡ δύναμίς ἐστιν, ὡς ἐν τοῖς περὶ τούτων λεγομένοις δείκνυται. καὶ αἱ τοῦ ὁρμητικοῦ δὲ καὶ ὀρεκτικοῦ δυνάμεις, ὅτι πλείους τέ εἰσιν καὶ διαφέρουσιν ἀλλήλων καὶ τῷ χρόνῳ καὶ τῷ περὶ ἃ τε καὶ ὧν ἐστιν, εἴρηται. προείρηται δέ, ὅτι καὶ τῶν γνωστικῶν τε καὶ κριτικῶν δυνάμεών ἐστι διαφορά. ἡ μὲν γάρ τίς ἐστι δύναμις ὑπηρετικὴ κριτικὴ (τοιαύτη γὰρ ἥ τε αἴσθησις καὶ φαντασία), τὸ δέ τι τῆς ψυχῆς ἡγεμονικόν ἐστι κριτικόν (τοιοῦτον γὰρ τὸ λογιστικόν), ὃ διανοητικόν τέ ἐστι καὶ νοητικόν. τὸ γὰρ αἰσθητικὸν ἐπὶ τὸ διανοητικὸν ἔχει τὴν ἀναφοράν, ἐν οἷς ἐστιν ἄμφω, ὅπως γὰρ εἰσαγγέλλῃ καὶ μηνύῃ τὰς τῶν αἰσθητῶν αὐτῷ διαφοράς. ὡς δὲ ἐν τῷ κριτικῷ τὸ μέν ἐστιν ἡγεμονικόν, τὸ δὲ ὑπηρετικόν, οὕτως ἐστὶ καὶ ἐν τῷ πρακτικῷ τὸ μὲν ἡγεμονικόν, ὃ ὁρμητικόν τε καὶ ὀρεκτικὸν καλοῦμεν, τὸ δέ τί ἐστιν ἐν τοῖς νεύροις. δύναμις γάρ ἐστι καὶ ἐν τούτοις, καθ' ἣν ὑπηρετεῖται τὸ σῶμα ταῖς καθ' ὁρμὴν ἐνεργείαις. ἐπεὶ γὰρ τὰ κατ' ὄρεξιν πραττόμενα πάθους τινὸς ἐγγενομένου πράττεται,

1 καὶ om. 2 τοῦ πρακτικοῦ—χάριν] ist wegen der Wirkung der anregenden [Kraft vorhanden] 3 πρακτικὸν—ὁρμητικὸν] die Wirkung der anregenden πάλιν om. 5—6 ὡς δείκνυται] wie wir erläutern werden, wenn wir zur Rede darüber kommen 6 καὶ .. καὶ om. 7—8 περὶ—ἐστιν] um derentwillen und in welchen sie sind 8 δὲ om. κριτικῶν] theoretisch 10 τῆς ψυχῆς om. 11 τὸ λογιστικόν] das Denken (die Rede) 13 ὅπως—διαφοράς] er ist nämlich [dazu] da, dass zu ihm die Arten der Sinnesobjekte kommen und er ihn [es? das Denken?] (auf sie hinweise?) über sie belehre 14 δὲ] und 16—17 τὸ δέ τί—τούτοις] und Etwas, was sich in dem Nerv findet, denn auch im Nerv ist eine Kraft 17 καθ' ἣν—ἐνεργείαις] durch welche der Leib in den Wirkungen dient, welche durch die Anregung stattfinden 18—77,9 ἐπεὶ γὰρ—αἰτία γίγνεται] die Wirkungen nämlich, welche wir durch die Begierde ausüben, üben wir aus, wenn in uns eine der Spuren entsteht, wovon nämlich [manche], die den Leib schwächt [p. vermehrt] und die Anschwellung und Zunahme entstehen lässt, durch eine gleichmässige Wärme, die dadurch entsteht, manche ihn erkältet und zusammenzieht (denn die Arten der Phantasie, nachdem was phantastisch vorgestellt (geglaubt) wird von den Gegenständen und ihrer Wahrnehmung und ihrer Vorstellung im Intellekt — nachdem sie gewesen sind, da sie im Zusammenhange mit jenen Gegenständen stehen (sind) und in der Aehnlichkeit mit ihnen: entstehen im Leibe, als ob sie vorhanden wären, sei es [durch?] Zerstreuung, sei es Ausbreitung, sei es Zusammenziehung), diese Zusammenziehung und Ausbreitung, wenn sie durch Wind entsteht, der dem Nerv sich nähert, so wird dadurch vorbereitet, dass er sich bewege in den Wirkungen, welche durch die Anregung werden. Die Aufnahme des Anfangs der Bewegung aber [geschieht] wegen der Begierde, denn eine kleine Veränderung, die am Anfange entsteht, wird Ursache für eine grosse Verschiedenheit

1 καὶ οὕτως κριτικὸν] cf. τοῦ οὕτως κριτικοῦ 73,23 9 τις om. a 12 ἐν οἷς ἐστιν ἄμφω] cf. ἐν οἷς εἰσι πᾶσαι 75,25 ἐν οἷς εἰσιν αἱ δυνάμεις ἀμφότεραι 140v39 et 9,21 30,3 36,21 45,9 76,4 140v47 16 διανοητικόν vel ὑπηρετικόν excidisse videtur post νεύροις 18 ἐγγινομένου a

ὧν παθῶν τὰ μὲν ἀνίησίν τε τὸ σῶμα καὶ αὔξησιν αὐτοῖς ἐμποιεῖ διὰ θερμότητα εὔκρατον, τὰ δὲ καταψύχει τε καὶ συστέλλει· (αἱ γὰρ φαντασίαι καὶ αἰσθήσεις καὶ ἔννοιαι τῶν πραγμάτων κατὰ ὁμοίωσίν τινα αὐτῶν γινόμεναι ὡς ἐπὶ παροῦσιν ἐκείνοις ἢ ἀνιᾶσιν τὸ σῶμα ἢ συστέλλεσθαί τε καὶ φρίττειν ποιοῦσιν), ὧν γινομένων συστολῶν τε καὶ ἐκτάσεων περὶ τὸ σύμφυτον πνεῦμα καὶ ἀπὸ τούτου διαδιδομένων ἐπὶ τὰ νεῦρα, κινεῖσθαι ταῦτα δύναται τὰς καθ' ὁρμὴν ἐνεργείας τὴν ἀρχὴν τῆς κινήσεως παρὰ τῆς ὀρέξεως λαμβάνοντα. μικρὰ γὰρ μεταβολὴ περὶ τὴν ἀρχὴν γενομένη μεγάλων καὶ πολλῶν διαφορῶν αἰτία γίγνεται. τοῦ γοῦν οἴακος ἀκαριαῖον μεθισταμένου πολλὴ ἡ τῆς πρώρας γίνεται μετάστασις, καὶ περὶ τὴν καρδίαν ἤδη καὶ τὸ πνεῦμα τὸ ἐν αὐτῇ, ὅταν ἀλλοίωσίς τις γένηται διὰ αἰσθήσεις τινῶν ἢ νοήσεις, αἷς ἕπεται κίνησίς τις καὶ πάθος, εἰ καὶ ἐν ἀναισθήτῳ μορίῳ γένοιτο ἐν αὐτῇ ἡ τοιαύτη τροπή, τῷ ἀρχὴν τοῦ ζῴου τὴν καρδίαν εἶναι πολλὴν ποιεῖ τοῦ σώματος παντὸς διαφορὰν ἐρυθήμασιν, ὠχρότησιν, θερμότησιν, ψύξεσιν, φρίκαις τε καὶ τρόμοις. ἀρχὴ μὲν οὖν τῆς κινήσεως τὸ ἐν τῷ πρακτῷ διωκτόν τε καὶ φευκτόν. ἔστι γὰρ ὁρμὴ κίνησις ἐμψύχου γινομένη κατὰ φαντασίαν διωκτοῦ τινος ἢ φευκτοῦ. ἐξ ἀνάγκης δὲ ἀκολουθεῖ τῇ νοήσει καὶ τῇ φαντασίᾳ αὐτῶν θερμότης καὶ ψῦξις. ἔστι γὰρ τὰ λυπηρὰ καὶ ἡδέα πάντα σχεδὸν μετὰ ψύξεώς τινος καὶ θερμότητος. ὧν γινομένων περὶ ἡμᾶς ὁρῶμεν ποτὲ μὲν μόριά τινα κινούμενα ἐν ἡμῖν, ὡς ἐν τοῖς ὀνειρωγμοῖς, ὁτὲ δὲ καὶ ὅλον τὸ σῶμα. ἃ πάθη γινόμενα καὶ περὶ τὰς ἀρχὰς τῶν ὀργανικῶν μορίων πρὸς τὰς ἐνεργείας αὐτὰ καὶ τὰς ὑπηρεσίας ἄγει τῇ ὁρμητικῇ δυνάμει, ἀφ' ἧς καὶ τὴν ἀρχὴν ἐγγίνεται.

---

10 πολλὴ om. 10—12 καὶ περὶ—νοήσεις] so ist es auch notwendig mit dem Hauche, welcher im Nerv ist, wenn in ihm irgend eine Veränderung entsteht, so ergiebt sich für ihn irgend eine Wahrnehmung von Dingen und deren Vorstellung 12—15 εἰ καὶ—τρόμοις] findet eine derartige Veränderung in dem ersten wahrnehmenden Gliede statt, so wird, weil das Princip des Thieres das Herz ist, im ganzen Leibe eine grosse Veränderung in den Arten der Röte und der Bläue und der Wärme und der Kälte und des Schauerns und des Zitterns und in actu ist .. cetera usque ad φευκτόν plane corrupta 17—18 ἐξ ἀνάγκης—ψῦξις] und es zieht notwendig nach sich eine Vorstellung, deren Art und Aehnlichkeit Wärme und Kälte ist 19 πάντα] addit: mit Ausnahme des ihnen Fremden σχεδὸν om. καὶ] oder 21 ὡς—ὀνειρωγμοῖς] wie es vorkommt bei der Bewegung des Beischlafs im Schlafe 21—23 ἃ πάθη—δυνάμει] weil nämlich die ersten Spuren, wenn sie sich auf die Anfänge der organischen Glieder erstrecken, dieselben auch zu ihren Tätigkeiten und ihrem Dienste heranziehen durch die Kraft der Anregung 23 καὶ τὴν ἀρχὴν] von jeher von Anfang in uns

---

1 fortasse αὐτῷ 3 ἔννοιαι] cf. ἐγγίνεται ἡ τοιάδε ἕξις τῷ νῷ κατὰ μετάβασιν ἀπὸ τῆς περὶ τὰ αἰσθητὰ συνεχοῦς ἐνεργείας, ὃ κατ' ἀρχὰς μὲν νόημα καὶ ἔννοια καλεῖται, πλεονάσαν δὲ καὶ ποικίλον καὶ πολύτροπον γινόμενον, ὡς δύνασθαι καὶ χωρὶς τῆς αἰσθητικῆς ὑποβάθρας ποιεῖν τοῦτο, νοῦς ἤδη 138v42 5 ὧν γινομένων—ἐπὶ τὰ νεῦρα] per anacoluthon, quod raro occurrit in hoc scriptore (cf. Ind.), continuatur prius enuntiatum: ἐπεί—πράττεται, ὧν παθῶν τὰ μὲν ἀνίησιν, τὰ δὲ συστέλλει. exspectas τούτων τῶν συστολῶν γινομένων κτλ. cf. ὧν γινομένων περὶ ἡμᾶς ὁρῶμεν ποτὲ μὲν κτλ. v. 20 9 γίγνεται V: γίνεται a 11 δι' a 12 γένοντο a 14 ἐριθήμασιν a 22 τας V

πᾶσαι γὰρ αἱ τοιαῦται πράξεις ἐνεργοῦνται διὰ τῆς τῶν σωματικῶν μορίων ἐνεργείας. καὶ τίνα μὲν τὰ μόρια τῆς κοινῆς τῶν ζώων ψυχῆς, καὶ τίνες αὐτῶν αἱ πρὸς ἀλλήλας διαφοραί, γνώριμον ἐκ τῶν εἰρημένων. εἰσὶ δὲ καὶ αἱ οἰκεῖαι ἑκάστου τούτων ἐνέργειαι αἵδε. τὸ μὲν ζῆν ἐνέργεια τοῦ θρεπτικοῦ, κοινὸν ὂν ζῴου καὶ φυτοῦ. ζωὴ δέ ἐστιν, ὡς ἐρρήθη, ἡ δι' 45
αὐτοῦ τροφή τε καὶ αὔξησις. τὸ δὲ αἰσθάνεσθαι, ὅπερ ἴδιόν ἐστι τοῦ ζῴου μετὰ τὸ ζῆν ὄν, τῆς αἰσθητικῆς ἐστι ψυχῆς ἐνέργεια, γινομένη διὰ τῆς τῶν εἰδῶν τῶν αἰσθητῶν διὰ τῶν αἰσθητηρίων λήψεως χωρὶς ὕλης, ἧς τὸ μὲν ὁρᾶν τῆς ὁράσεως, τὸ δὲ ἀκούειν τῆς ἀκοῆς καὶ τὰ ἄλλα ὁμοίως, αὐτὸ δὲ τὸ αἰσθάνεσθαι τῆς κοινῆς αἰσθήσεως. ὡς δὲ ἐπὶ τῆς αἰσθήσεως τὰ μὲν καθέκαστα αἰσθητὰ διὰ τῶν καθέκαστα αἰσθητηρίων κρίνομεν, καθόλου δὲ τὰ αἰσθητὰ τῇ κοινῇ αἰσθήσει, ὡς ὑπὸ τοῦ αὐτοῦ μὲν γινομένης πάσης 50
αἰσθήσεως, κατ' ἄλλο μέντοι καὶ ἄλλο, οὕτως πάλιν, ἐπεὶ κρίσις μέν τις καὶ ἡ αἴσθησις, εἰσὶν δὲ καὶ ἄλλαι κρίσεις, ὡς τὸ φαντασιοῦσθαι, συγκατατίθεσθαι, ἀντιλαμβάνεσθαι, ὑπολαμβάνειν, δοξάζειν, ἐπίστασθαι, λογίζεσθαι, διανοεῖσθαι, νοεῖν, ὑπολῃπτέον πάσας μὲν τὰς κρίσεις ὑπὸ τοῦ αὐτοῦ τινος καὶ κοινοῦ γίνεσθαι (τοῦ γὰρ κριτικοῦ), ἑκάστην δὲ κρίσιν κατ' ἄλλην καὶ
ἄλλην ὑπ' αὐτοῦ γίνεσθαι δύναμιν, ὡς εἶχεν καὶ ἐπὶ τῆς αἰσθήσεως. τοῦ γὰρ κριτικοῦ | τό τε φαντασιοῦσθαι καὶ τὸ συγκατατίθεσθαι καὶ τὸ ἀντι- 137r
λαμβάνεσθαι καὶ τὸ ὑπολαμβάνειν καὶ τὸ δοξάζειν καὶ τὸ καταλαμβάνειν, ὧν τὰς διαφορὰς κρίνομεν τῷ κοινῷ κριτικῷ. ὡς δέ ἐστί τι κοινὸν κριτικόν, οὕτως πάλιν ἐστὶ καὶ κοινὸν ὁρμητικόν τε καὶ ὀρεκτικόν. ἡ γὰρ ὄρεξις ὁρμή ἐπί τι, ἧς τὸ μὲν ἐπιθυμία, τὸ δὲ θυμός, τὸ δὲ βούλησις. κινεῖ δὲ ἡ ὁρμητική τε καὶ ὀρεκτικὴ ψυχὴ τὸ ζῷον οὐκ αὐτὴ κινουμένη, 5
ὡς προείρηται. ἀκίνητος γὰρ καθ' αὑτὴν πᾶσα ἐντελέχεια. καὶ ἡ ψυχὴ δὲ ἐδείχθη οὖσα ἐντελέχεια. διὸ οὐδὲ κυρίως λέγεται κινεῖσθαι τὸ σῶμα ὑπὸ τῆς ψυχῆς. τοῦτο γὰρ λέγεται, ἐφ' ὧν κεχώρισται τό τε κινοῦν καὶ τὸ κινούμενον, ὡς οἱ βοῦς οἱ κινοῦντες τὴν ἅμαξαν, ἀλλ' ἐπεὶ κοινότερον λέγεται ὑπό τινος κινεῖσθαι καὶ τὸ κατ' αὐτὸ κινούμενον (οὕτως γὰρ ὁ τεχ-

---

2 καὶ ante τίνα om. τὰ μόρια—ψυχῆς] die allen Thieren gemeinschaftlichen Teile der Seele 4 μὲν] jedoch 10 τῆς κοινῆς αἰσθήσεως] eine Wirkung des gemeinschaftlichen Sinnes δὲ] und ἐπὶ] durch 13 κατ' ἄλλο—ἄλλο] nur dass sie [die Sinneswahrnehmung] in verschiedenen Dingen [wird] πάλιν om. 14 καὶ ante ἄλλαι om. 15 ἀντιλαμβάνεσθαι ὑπολαμβάνειν] Erfindung, Denken 16 ὑπολῃπτέον] musst du wissen 17—18 ἑκάστην—δύναμιν] nur dass jede einzelne jener Gattungen [der Erkenntniss] [P. addit: aus ihm] entsteht durch eine Kraft, die verschieden ist von einer andern 19—20 καὶ τὸ ἀντιλαμβάνεσθαι—καταλαμβάνειν] Denken, Glauben, Wahrnehmung, Erfindung 22 τε καὶ om. 24 τε καὶ om. 26 δὲ om. 27 ψυχῆς] addit: welche sich nicht bewegt λέγεται] addit: nur 28—29 ἀλλ' ἐπεὶ—κινούμενον] Aber da man in einer allgemeineren Weise sagt, dass ein Ding von einem anderen Ding bewegt wird, indem es auch in jenem Ding bewegt wird

---

5 ὡς ἐρρήθη] 29,10 6 αὐτοῦ Va 8 ὕλη a 14 κρίσις a 24 ὀρεκτικὴ scripsi v. int. hebr.: θρεπτικὴ Va 25 ὡς προείρηται] 21,24sq. 29 κατ' ἄλλο legit Arabs

νίτης ὑπὸ τῆς τέχνης, ὅτι κατ' αὐτήν, καὶ οὕτως ὑπὸ τῆς κουφότητος τὸ πῦρ), οὕτως λέγεται καὶ τὸ ζῷον ὑπὸ τῆς ψυχῆς κινεῖσθαι, ὅτι κατὰ ταύτην. κατὰ γὰρ τὸ ἔμψυχον εἶναι ἡ τοιάδε αὐτῷ κίνησις γίνεται, οὐ κατὰ τὸ βαρὺ ἢ κοῦφον ἢ λευκὸν ἢ μέλαν ἢ θερμὸν ἢ ψυχρόν. οὐ γὰρ πάντα τὰ κινεῖν λεγόμενα ὁμοίως κινεῖ. τὰ μὲν γὰρ οὕτως κινεῖ ὡς λέγομεν τὸ ὀρεκτόν τε καὶ ἐφετὸν κινεῖν· κινεῖ γὰρ πᾶν τὸ ἐρώμενον τὸν ἐραστὴν τῇ ἐφέσει αὐτοῦ ἐκτός τε ὂν αὐτοῦ καὶ μὴ κινούμενον. διὸ οὐδὲν ὑπὸ τοῦ οὕτως κινητικοῦ τῶν ἀψύχων κινεῖται. ἡ δὲ ψυχὴ κινεῖ τὸ ζῷον τῷ κατὰ τὴν ὄρεξίν τε καὶ ὁρμὴν τὴν διὰ ταύτην οὖσαν ἐν αὐτῷ διά τι ὧν ᾔσθετο ἢ ἐνόησεν κινεῖσθαι αὐτὸ ἢ λήψεως χάριν ἢ φυγῆς. τὰ δέ γε ἄψυχα κινεῖ ἐμπεσόντα τούτοις, ἃ κινεῖ, καὶ βίᾳ κεχωρισμένοις οὖσιν αὐτῶν. ἡ μὲν οὖν τοιαύτη κίνησις ὑπὸ κινουμένων καὶ αὐτῶν τῶν κινούντων γίνεται. αἱ δὲ πρὸ ταύτης εἰρημέναι οὐ τοῦτον τὸν τρόπον. οὔτε γὰρ τὸ τῷ νοεῖσθαι κινοῦν κινούμενον κινεῖ, οὐθ' ὁ τῷ νοεῖν τι καὶ ὀρέγεσθαι αὐτοῦ καὶ ὁρμᾶν ἐπ' αὐτὸ κινούμενος τῷ κινεῖσθαι τὸ νοοῦν οὕτως ὑπ' αὐτοῦ κινεῖται. αἰσθάνεται μὲν γὰρ τὸ ζῷον καὶ νοεῖ καὶ βαδίζει κατὰ τὴν ψυχήν, οὐ μὴν τῆς ψυχῆς αὐτῆς καθ' αὑτήν, ἵνα κινήσῃ, κινουμένης. οὐδὲ γὰρ ἐπεὶ ὁ ὀρχηστὴς κατὰ τὴν ὀρχηστικὴν κινεῖται, διὰ τοῦτο ἀνάγκη κινεῖσθαι καθ' αὑτὴν καὶ τὴν ὀρχηστικήν. οὐ γάρ ἐστιν οὕτως ἐν ἡμῖν ἡ ψυχὴ ὡς ὁ ἐρέτης ἐν τῇ νηΐ, ἀλλ' ὡς εἶδός τι καὶ τελειότης, ὡς ἐδείχθη. ἀλλὰ περὶ μὲν τούτου καὶ ἐν τοῖς πρώτοις εἰρήκαμεν. οὐχ ὅτι δὲ προγίνεται τῆς κινήσεως ἡ νόησις ἢ φαντασία, διὰ τοῦτο ἡγεῖσθαι χρὴ ταῦτ' εἶναι τὰ κινοῦντα, ἀλλ' ὅτι χωρὶς ὁρμῆς τε καὶ ὀρέξεως οὐδέτερον ἐκείνων κινεῖ, τούτοις τὴν κίνησιν ἀνατιθέναι χρή. οὐ γὰρ ἐπεὶ ἡ ὄρεξις ἐκείνων τινὸς προηγησαμένου, ἤδη καὶ τὸ κινοῦν ἐκείνων τι, ἀλλ' ὅτι μηδὲν ὄφελος πρὸς κίνησιν ἐκείνων, εἰ μὴ καὶ ὁρμή τις εἴη καὶ ὄρεξις ἐπιγίνοιτο, ταύτην ἡγεῖσθαι χρὴ τὴν κινοῦσαν εἶναι. δεῖ γάρ, εἰ κινηθήσεται τὸ ζῷον, οἷον κατα-

---

1 ὑπὸ τῆς—αὐτήν] von seiner Arbeit, weil er sich durch sie bewegt 2 καὶ om. 5 τὰ μὲν γὰρ] Denn Einiges, wovon wir sagen, dass es bewege 5—6 οὕτως—κινεῖν] bewegt, weil es geliebt und ersehnt wird 7 καὶ om. 8 κινεῖται] finden wir bewegt 9 ὧν ᾔσθετο] addit: durch sie [die Seele] 10 ἢ ἐνόησεν om. (τῷ) κινεῖσθαι αὐτό] denn es scheint sich zu bewegen 11 ἐμπεσόντα] indem es sich vermengt καὶ—αὐτῶν] und dies geschieht mit Zwang, weil es nicht abgesondert ist von dem, was es bewegt 12—13 αἱ—εἰρημέναι] die beiden Bewegungen, deren wir früher gedacht haben 17 ἵνα] wie 19 ἐν ἡμῖν] in ihm 20 ἐρέτης] Ruder 21 τῆς κινήσεως] addit: im Thiere 23 ἀλλ' om. τούτοις] diesen beiden 24 ἀνατιθέναι χρὴ pendet ex ἡγεῖσθαι

---

1 ὅτι V: ἄρα a 2 κατὰ ταύτην V: κατ' αὐτὴν a 13 πρὸ ταύτης scripsi: πρὸ ταύταις V (in margine m¹ ἣν scripsit, quod quo referatur dubium est): πρὸς ταύταις a ἠνοεισθαι (η m¹ supra lin.) V 14 κινεῖ V: κινεῖν a 15 ἐπ' αὐτοκινούμεν V: ὑπ' αὐτὸ κινούμενος a τὸ, νοοῦν V: τὸ νοῦν a: fortasse τὸν νοῦν 20 ἐρέτης a 21 ἐν τοῖς πρώτοις] p. 1—26, praec. cf. 15,9sq. et 21,22.

φῆσαι ἢ ἀποφῆσαι πρῶτον αὐτό. ἡ γὰρ περὶ τὰ πρακτικὰ τοιαύτη τοῦ ἐμψύχου διάθεσις αἰτία τῆς κατὰ τόπον κινήσεως. καὶ γὰρ ἐπὶ τῶν λογικῶν πράξεων, λέγω δὲ λογικὰς τὰς ὑπὸ τῶν λογικῶν τε καὶ κατὰ λόγον τινὰ πραττομένας, αὗται δέ εἰσιν ὧν λόγος προηγεῖται, ἃς καὶ κυρίως ἄν τις πράξεις λέγοι, καὶ τούτων δὴ ἡ ὁρμὴ καὶ ἡ ὄρεξις αἰτία. οὐδὲν γὰρ ὄφελος τοῦ βουλεύσασθαι περὶ τοῦ πρακτέου, εἰ μὴ καὶ προαίρεσις ἐπακολουθήσαι, ἥτις ἐστὶν ὄρεξις βουλευτική. ὡς γὰρ ἐν τοῖς θεωρητοῖς τὸ συμπέρασμα τὸ ἐπὶ τοῖς λαμβανομένοις δεικνύμενον ἡ γνῶσίς ἐστι τοῦ προκειμένου, οὕτως ἐν τοῖς πρακτοῖς ἡ πρᾶξις τὸ τῆς βουλήσεως γίνεται συμπέρασμα. ἅμα τε γὰρ ἐδείχθη, ὅτι χρὴ μεταδιώκειν τι ἢ φεύγειν κἂν ἡ ὄρεξις τῷ δειχθέντι συνοδεύῃ τοῦτο γίνεται, ἂν μή τι τὸ κωλύον ἔξωθεν ᾖ. ὁ γὰρ ἐννοήσας ὅτι παντὶ ἀνθρώπῳ περιπατητέον, ἐγὼ δὲ ἄνθρωπος, συμπέρασμα ποιεῖται τῶν προειρημένων προτάσεων τὸ περιπατεῖν. ἀλλὰ καὶ ὁ ἐννοήσας ὅτι σκεπάσματός μοι δεῖ, τὸ δὲ ἱμάτιον σκέπασμα, τὸ συμπέρασμα τὸ 'ἱματίου μοι ἄρα δεῖ' εἰς τὸ κατασκευάζειν ἱμάτιον μεταφέρει.

Καὶ αὗται μὲν καὶ τοιαῦται αἱ τῆς ἀλόγου ψυχῆς δυνάμεις, καὶ αἱ κατὰ ταύτας τε καὶ ἀπὸ τούτων ἐνέργειαι, αἳ πάντως μὲν καὶ ἐν τῇ λογικῇ περιέχονται τῷ τελειοτέραν μὲν εἶναι ταύτην, εἶναι δὲ τὴν τελειοτέραν κατὰ προσθήκην δυνάμεως ἢ δυνάμεων (ἡ γὰρ πρώτη δύναμις κατὰ προσθήκην τινὰ δυνάμεως τελειοτέρα γίνεται), ἔστιν δὲ παρὰ ταύτας τε καὶ ἐπὶ ταύταις δύναμίς τις ψυχῆς καὶ ἡ λογική, ὡς προείρηται, κριτική τις οὖσα καὶ αὕτη, ἣν ἄνθρωπος ἐξαίρετον ἔχων παρὰ τἄλλα ζῷα τιμιώτερόν τέ ἐστι ζῷον καὶ τελειότερον, καθ' ἣν δύναμιν καὶ λογικὸς καλεῖται. ἥτις ἐστὶ δύναμις ψυχῆς διττὴ καὶ αὐτὴ

1—2 ἡ γὰρ—κινήσεως] Denn dies ist in dem Beseelten, in den Intelligibeln die Ursache seiner Bewegung im Orte 7 ἐν τοῖς θεωρητοῖς] in den Dingen, in welchen das Vorgestellte ist 8 συμπέρασμα—δεικνύμενον] Schlussfolgerung, welche erscheint aus den Prämissen 9 βουλήσεως συμπέρασμα] Folgerung des Ratschlages 10—12 ἅμα τε γὰρ—ἔξωθεν ᾖ] Denn es ist erläutert, dass mit dem Ratschlage (Beschluss) eintreffen müsse das Aufsuchen eines Dinges oder das Fliehen desselben, und dass, wenn jemand, dem es gelingt (?), mit einer Meinung (Vernunft) handelt aus jener Begierde, jener Gegenstand ausgeführt wird, wenn kein Hinderniss von aussen es verhindert 13 συμπέρασμα—περιπατεῖν] so wird er als Folgerung der beiden Prämissen, welche er erwähnt hat, annehmen müssen, das er gehe ἀλλὰ om. 14 μοι δεῖ] ein Glied bedarf [Bp: mein Vater, quod corruptum videtur ex ich St.] 15 συμπέρασμα .. μεταφέρει] die Folge der Praemissen bringt ihn dazu 16 αὗται—τοιαῦται] dies 17 post ἐνέργειαι addit: und dies ist ihre Beschaffenheit 18 δὲ τὴν om. 19—20 προσθήκην τινὰ δυνάμεως] durch das Hinzukommen einer Kraft von irgend einer Art 21 καὶ om. 22 ἣν—ἔχων] durch sie wird der Mensch specificirt 23 τιμιώτερόν] das bedeutendste τελειότερον] das vollkommenste

---

5 πράξεις ἄν τις a 6 ἐπακολουθῆσαι Va 10 ὅτι V: ἄρα α 11 συνοδεύῃ a 13 ποιεῖ a πιριπατεῖν a 15 εἰς V: ὡς a 17 αἳ scripsi: αἱ Va 20 „περὶ τῆς λογικῆς δυνάμεως". ἔστιν δὲ Va 23 τ' ἄλλα V: τὰ ἄλλα a 24 αὐτὴ scripsi αὕτη Va

τῷ διαφέροντα εἶναι καὶ τὰ περὶ ἃ ἡ δύναμίς τε καὶ ἐνέργειά ἐστιν αὐτῆς. πρὸς γὰρ τὰ κατὰ τὴν φύσιν διαφέροντα καὶ τῶν τῆς ψυχῆς μορίων ἕτερον τῇ φύσει τὸ πρὸς ἑκάτερον πεφυκός, εἴπερ καθ' ὁμοιότητά τινα καὶ οἰκειότητα ἡ γνῶσις αὐτοῖς γίνεται, ὥσπερ καὶ ἐπὶ τῶν αἰσθήσεων ἔχον ἐδείχθη. διαφέρει δὲ ἀλλήλων τὰ ὑποκείμενα τῇ λογικῇ δυνάμει τῷ τὰ μὲν πρακτικά τε εἶναι καὶ ἐν γενέσει καὶ ἐνδεχόμενα καὶ οὕτως καὶ μὴ οὕτως γίνεσθαι, τὰ δὲ ἀίδιά τε καὶ ἀναγκαῖα, καὶ τὰ μὲν αὐτῶν εἶναι δοξαστά, τὰ δὲ ἐπιστητά. διὸ καὶ τῶν τῆς λογικῆς ψυχῆς δυνάμεων ἡ μέν τίς ἐστι δοξαστική, ἡ δὲ ἐπιστημονική. καλεῖται δὲ ἑκατέρα νοῦς, ἀλλ' ὁ μὲν πρακτικός τε καὶ δοξαστικὸς καὶ βουλευτικός, ὃς ἀρχὴ γίνεται πράξεως, ὅταν ἡ βούλησίς τε καὶ ὄρεξις συνδεύσῃ τοῖς ὑπ' αὐτοῦ κριθεῖσιν, ὁ δὲ ἐπιστημονικός | τε καὶ θεωρητικός. τὰ μὲν γὰρ ζητοῦμεν πράξεως χάριν, 138r τὰ δὲ γνώσεως. γίνεται δὲ ὁ ἄνθρωπος οὐκ εὐθὺς ἔχων τήνδε τὴν ἕξιν, ἀλλ' ἔχων μὲν δύναμιν καὶ ἐπιτηδειότητα τοῦ δέξασθαι αὐτήν, ὕστερον μέντοι λαμβάνων αὐτήν. ὃ καὶ σημεῖον ἐναργέστατον τοῦ μὴ πρὸς τὸ εἶναι τήνδε τὴν δύναμιν συντελεῖν τοῖς ἔχουσιν αὐτήν, ἀλλὰ πρὸς τὸ εὖ εἶναι. ὅσα μὲν γὰρ πρὸς τὸ εἶναι συντελεῖ, ταῦτα ἀχώριστα τοῦ ἔχοντος, ὡς ἡ θρεπτικὴ δύναμις καὶ τῆς αἰσθητικῆς ἡ ἁπτική, ὅσα δὲ πρὸς τὸ εὖ εἶναι, ταῦτα τελειουμένοις προσγίνεται, ὅτε τοῦ κυρίως εὖ εἶναί ἐστιν ἐπιδεκτικά. ἐν γὰρ τῷ τελείῳ τὸ εὖ. ἐγγίνεται δὲ πρῶτος μὲν ὁ πρακτικός τε καὶ δοξαστικὸς νοῦς, ἐπειδὴ καὶ αἱ ἐνέργειαι περὶ ἃ οὗτός ἐστι χρησιμώτεραί τε ἡμῖν καὶ συνηθέστεραι, ὕστερον δὲ ὁ ἐπιστημονικός τε καὶ θεωρητικός. ὁ δὲ δυνάμει νοῦς, ὃν ἔχοντες γινόμεθα, διττὸς ὢν καὶ αὐτός, ἑκάτερος ἑκατέρου δεκτικός, ὑλικὸς νοῦς καλεῖταί τε καὶ ἔστι (πᾶν γὰρ τὸ δεκτικόν τινος ὕλη ἐκείνου), ὁ δὲ διὰ διδασκαλίας τε καὶ ἐθῶν ἐγγινόμενος εἶδος ἐκείνου τε καὶ ἐντελέχεια. καὶ ὁ μὲν φυσικός τε καὶ ὑλικὸς ἐν πᾶσιν τοῖς μὴ πεπηρωμένοις, τὴν διαφορὰν ἔχων, καθόσον οἱ μέν εἰσιν εὐφυέστεροι τῶν ἀνθρώπων, οἱ δὲ ἀφυέστεροι (καθ' ὃν καὶ λέγομεν πάντας ἀνθρώπους νοῦν ἔχειν),

1 τῷ—αὐτῆς] weil auch die Dinge, welche die Seele durch diese Kraft bezweckt, und diese Tätigkeit verschieden sind 3—4 καὶ οἰκειότητα om. 5—7 τῷ—γίνεσθαι] dass einige, welche gemacht werden, [so] entstehen, [dass sie] möglicherweise von dieser Beschaffenheit sind, möglicherweise von jener 10 καὶ βουλευτικός om. 11 ὅταν—κριθεῖσιν] wenn man das getan hat, worüber der Wille und die Begierde geurteilt hat 14 ἐπιτηδειότητα] Anlage und Geeignetheit 19—20 ὅτε—εὖ] durch diese Beschaffenheit nämlich ist es im wahren Sinne die Vortrefflichkeit annehmend, denn die Geeignetheit und die Schönheit sind in dem Vollkommenen 20 πρακτικός—δοξαστικὸς] der praktische gedankliche 23 δὲ om. ὃν—γινόμεθα] welcher wird und den wir besitzen 24 καὶ ἔστι] und mit Recht wird er so genannt 26 ἐν—πεπηρωμένοις] in denen, die nicht vollendet sind

1 τὰ om. Ka 2 τὴν om. Ka 5 ἐδείχθη] 39,1 sq. 12 ἐπιστομονικὸς a 15 αὐτή a ἐνεργέστατον Ka 20 τε καὶ δοξαστικὸς in lit. V 21 νοῦς in mg. addidit m¹ V οὗτοί Ka 22 „περὶ τοῦ δυνάμει νοῦ". ὁ δὲ Va 24 cf. ἐστι καὶ λέγεται 144r20

ὁ δὲ ἐπίκτητός τε καὶ ὕστερον ἐγγινόμενος, καὶ εἶδος καὶ ἕξις ὢν καὶ τελειότης τοῦ φυσικοῦ, οὐκέτ' ἐν πᾶσιν, ἀλλ' ἐν τοῖς ἀσκήσασίν τε καὶ μαθοῦσιν, ὃν τρόπον καὶ ἐπὶ τῶν ἐπιστημῶν ἔχει. καὶ γὰρ ἐκείνων πάντες μέν ἐσμεν φύσει δεκτικοί, οὐκέτι δὲ καὶ δεδέγμεθα πάντες αὐτάς, ὅτι μηκέτι τὸ δέξασθαι αὐτὰς φύσει. οὐ γὰρ ὥσπερ ἐπὶ τοῦ περιπατεῖν, οὕτως ὃὲ ἔχει καὶ ἐπὶ τῶν ἐπιστημῶν τε καὶ τοῦ κατ' ἐνέργειαν νοῦ. ἐπὶ μὲν γὰρ τοῦ περιπατεῖν, ὥσπερ ἡ δύναμις ἡμῖν τοῦ περιπατεῖν ἐνυπάρχει φύσει, καὶ ἔχομεν αὐτὴν εὐθὺς γενόμενοι, οὕτως καὶ ἡ ἐνέργεια προϊοῦσίν τε καὶ τελειουμένοις προσγίνεται φύσει, ἐπὶ δὲ τῆς ἐπιστήμης τε καὶ τοῦ νοῦ αἱ μὲν δυνάμεις φύσει, οὐκέτι δὲ αἱ ἕξεις τε καὶ ἐνέργειαι φύσει. διὸ τοῦτον τὸν νοῦν λέγομεν οὗ πάντας ἔχειν ἔτι, ἀλλὰ μόνου τοῦ σπουδαίου τὸ νοῦν ἔχειν κατηγοροῦμεν· ἢ καὶ τούτου μέχρι τινὸς πάντες οἱ μὴ πεπηρωμένοι μεταλαμβάνουσιν, ἐπὶ τὴν τοῦ καθόλου τε περίληψιν καὶ κατὰ σύνθεσιν γνῶσίν τινων ὑπ' αὐτῆς τῆς φύσεως ὁδηγούμενοι· οὗτός ἐστι κυριώτερον ὁ κοινὸς νοῦς καλούμενος, ἡ δὲ ἐπὶ πλέον ἐξεργασία κατ' αὐτὸν γίνεται τὸν εἰρημένον τρόπον. ὁ μὲν οὖν πρακτικὸς νοῦς βουλευτικός ἐστι (τῷ γὰρ τὰ πρακτὰ ἐνδέχεσθαι καὶ οὕτως καὶ μὴ οὕτως πραχθῆναι βουλῆς δεῖ πρὸς τὴν αἵρεσιν τοῦ βελτίονος), ὁ δὲ θεωρητικὸς τῶν ἀιδίων καὶ ὁμοίως ἐχόντων ἀεὶ γνωστικὸς ὢν ἐπιστημονικός ἐστιν, ἀλλ' οὐ βουλευτικός. τὸν μὲν οὖν δυνάμει τε καὶ ὑλικὸν νοῦν καλούμενον ἑκάτερον ὡς εἶπον εὐθὺς ἔχομεν γινόμενοι, τοὺς δὲ κατ' ἐνέργειάν τε ὄντας καὶ ἕξεις τούτων ὕστερον κτώμεθα διὰ τῆς

1 ἐγγινόμενος] der in uns der Genossenschaft der Menschen entsteht καὶ εἶδος—ὢν] welche eine Form ist, da er eine Aneignung und Vollendung ist für den natürlichen Intellect 2 ἀσκήσασίν—μαθοῦσιν] welche ausgegangen sind (sic) und sich unterrichtet haben 3 καὶ ante ἐπὶ om. 6—9 ἐπὶ μὲν γὰρ τοῦ περιπατεῖν—προσγίνεται φύσει] denn was das Gehen betrifft, sowie die Kraft des Gehens sich in uns von Natur findet, und uns von jeher angeboren ist, ebenso entsteht in uns fortfahrend die Tätigkeit des Gehens, wenn wir wachsen und vervollkommnet geworden sind 11 ἀλλὰ—κατηγοροῦμεν] sondern wir bezeichnen die vorzüglichen unter den Menschen, mit Ausschluss der anderen, wenn wir sagen, dass sie Intellect besitzen 12 ἢ καὶ] wenn auch 14 κοινὸς] der allgemeine, der gemeinschaftliche 16 μὲν οὖν om. 17 βουλῆς—βελτίονος] deren [der πρακτά] bedarf man zur Leitung, so dass man das Bessere von beiden Gegenständen wählt 18 καὶ om. 19 ἀλλ' οὐ βουλευτικός] nicht die Leitung und der Rat 21—83,2 ὕστερον—θεωρητῶν] erwerben wir zuletzt durch Uebung im Erlernen und zwar ist dieses in Beziehung auf die partiellen (Einzelheiten?) im praktischen Intellect; hingegen in Beziehung auf die Werke und im theoretischen Intellect in Bezug auf die Dinge, über welche speculirt wird

1 „περὶ τοῦ καθ' ἕξιν νοῦ". ὁ δὲ Va 2 τοις V 3 τρόπον] π in lit. V μέν om. K 5 δὲ om. K 7 ἐνυπαρχει V 11 τὸ, νοῦν V: τὸν νοῦν Ka 12 ἢ καὶ] εἰ καὶ legit Arabs, sed cf. Ind. haec enim verba quasi per parenthesim dicta vim praecedentis enuntiati restringunt 13 cf. ἥτις περληψίς τε καὶ διὰ τῆς τῶν καθ' ἕκαστα αἰσθητῶν ὁμοιότητος τοῦ καθόλου λῆψις νόησίς ἐστιν 83,11 [Cf. etiam: ταῖς μεταβολαῖς καὶ ἄλλοτε πρὸς ἄλλα τε καὶ δι' ἄλλων ἐνεργείαις p. 27,5] 14 οὗτός ἐστι cf. 24,16 93,16 16 „περὶ τοῦ πρακτικοῦ νοῦ". ὁ μέν Va 18 „περὶ τοῦ θεωρητικοῦ νοῦ". ὁ δὲ Va ἐχόντων] των in lit. V 19 δυνάμει] ει in lit. V 20 ἑκάτερον] cf. ἑκάτερος ἑκατέρου δεκτικός 81,23

καθ' ἡμέραν διδασκαλίας, ἧς γίνεται δεκτικὸς ἐκ τῆς ἐνεργείας, τὸν δὲ θεωρητικὸν ἐκ τῆς τῶν θεωρητῶν. γεννᾶται γὰρ ὁ ἄνθρωπος αἰσθήσεις ἔχων, καθ' ἃς ἐνεργῶν φαντασίας λαμβάνει. ὁρῶν οὖν ἑκάστοτε καὶ ἀκούων καὶ κατὰ τὰς ἄλλας αἰσθήσεις αἰσθανόμενος καὶ τυπούμενος ὑπ' αὐτῶν πρῶτον μὲν ἐν τῇ τῶν τύπων τούτων τηρήσει μνημονεύειν εἴθίζεται, ἔπειτα δὲ ἔκ τε μνήμης καὶ τῆς συνεχοῦς κατὰ τὰς αἰσθήσεις ἐνεργείας περὶ τὰ αἰσθητὰ γίνεταί τις αὐτῷ ἀπὸ τοῦ 'τόδε τε καὶ καθέκαστον' ἐπὶ τὸ 'τοιόνδε καὶ καθόλου' μετάβασις δι' ἐμπειρίας. τοῦδε γὰρ τοῦ λευκοῦ καὶ τοῦδε τῆς αἰσθήσεως ἀντιλαμβανομένης ἐκ τῶν τοιούτων ἀντιλήψεων ἔλαβεν τὸ εἶναι τὸ τοιόνδε χρῶμα λευκόν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων αἰσθητῶν ἑκάστου. ἥτις περιληψίς τε καὶ διὰ τῆς τῶν καθ' ἕκαστα αἰσθητῶν ὁμοιότητος τοῦ καθόλου λῆψις νόησίς ἐστιν. ἡ γὰρ τῶν ὁμοίων σύνθεσις ἔργον ἤδη νοῦ. ὥσπερ δὲ ἡ αἴσθησις ἡ κατ' ἐνέργειαν διὰ τῆς τῶν εἰδῶν τῶν αἰσθητῶν λήψεως ἄνευ τῆς ὕλης γίνεται, οὕτως δὲ καὶ ἡ νόησις λῆψις τῶν εἰδῶν ἐστι χωρὶς ὕλης, ταύτῃ τῆς αἰσθητικῆς ἀντιλήψεως διαφέρουσα, ᾗ ἡ μὲν αἴσθησις, εἰ καὶ μὴ ὡς ὕλη τὰ αἰσθητὰ εἴδη | λαμβάνει, ἀλλ' 138v οὕτως γε αὐτῶν ποιεῖται τὴν ἀντίληψιν ὡς ὄντων ἐν ὕλῃ (τὰ γὰρ κοινὰ αἰσθητὰ συμπεπλεγμένα τῇ τῶν ἰδίων αἰσθητῶν ἀντιλήψει μαρτύρια τοῦ ὡς ἐνύλων αὐτῶν ὄντων τὴν αἴσθησιν ἀντιλαμβάνεσθαι· ἅμα γὰρ χρωμάτων ὄψις αἰσθανομένη σὺν αὐτῷ καὶ μεγέθους καὶ σχήματος καὶ κινήσεως ἢ ἠρεμίας αἴσθησιν λαμβάνει, ἃ μαρτύρια τοῦ περί τι ὑποκείμενον εἶναι τὸ χρῶμα), ὁ δὲ νοῦς οὔτε ὡς ὕλη τὰ εἴδη λαμβάνει, οὔτε ὡς ἐν ὕλῃ ὄντα καὶ μεθ' ὕλης. ἔστι δὲ τὸ μὲν ὡς ὕλην εἰδός τι λαμβάνειν τὸ

3 ἑκάστοτε] er hört nicht auf zu 5 μνημονεύειν] die Aufbewahrung 7—8 ἀπὸ —ἐμπειρίας] ein Aufsteigen von jenem particulären Dinge (B addit: bestimmten) zu diesem allgemeinen Dinge durch die Prüfung (Versuch) und die Wahl 8 τοῦδε γὰρ τοῦ λευκοῦ καὶ τοῦδε] dieses Weisse und dieses Weisse 9 ἐκ—ἀντιλήψεων] daraus 11—12 ἥτις—ἐστιν] diese Allgemeinheit und diese Wahrnehmung eines allgemeinen Begriffes, welche stattfindet, wenn die partiellen Sinnesobjekte verglichen (vorgestellt) werden, ist eine intellectuelle Vorstellung (Abbildung) 13 ἤδη om. δὲ] und 16 λαμβάνει] entnahm 17 γὰρ om. 18 συμπεπλεγμένα—ἀντιλήψει] da ihre Wahrnehmung die Wahrnehmung der einzelnen sinnlich Wahrgenommenen zusammenfasst 19 ἀντιλαμβάνεσθαι] wahrgenommen hat χρωμάτων] der Farbe 21—22 τοῦ—χρῶμα] dass die Farbe befindlich ist an einem Dinge. [adnotatio int. arab. P. mg.: so im griechischen Text, es muss aber heissen, dass seine Wahrnehmung der Farbe [derart sei? daher komme, dass? insofern?] sie befindlich ist an einem Dinge 23—84,1 ἔστι—λαμβανομένῳ] wenn wir sagen „das Entnehmen der Formen auf dem Wege der Hyle", so meinen wir, dass der Entnehmende Hyle des Entnommenen wird

1 τὸν δὲ θεωρητικὸν κτλ.] plura ante haec verba excidisse patet, quae ex vestigiis in int. hebr. servatis restituere mihi non contigit. hoc tantum moneo videri legisse Arabem διδασκαλίας ⟨καὶ ἀσκήσεως⟩ et verbis τὸν δὲ θεωρητικὸν—θεωρητῶν respondisse olim tale fere enuntiatum: τὸν μὲν πρακτικὸν ἐκ τῆς τῶν πρακτῶν [an τῶν καθέκαστα legit Arabs?] συνεχοῦς κρίσεως, quod quomodo cum verbis ἧς γίνεται—ἐνεργείας coniungendum sit, non video 4 αἰσθήσεις V 5 μνημονεύειν ἐθίζεται] cf. 68,9 7 τόδε τε V: τόδε a. Cf. 87,15 διὸ οὐ τοῦδε, ἀλλὰ τοιοῦδε, καὶ οὐ τοῦ καθέκαστα, ἀλλὰ τοῦ καθόλου τόδε (non τοῦδε)] cf. 16,13 19 ὄντων αὐτῶν Ka fortasse χρώματος cf. τὸ χρῶμα (22) et int. hebr.

αὐτὸ ⟨τῷ⟩ ὕλην γίνεσθαι τῷ λαμβανομένῳ, δ ἐπὶ τῶν παθῶν τῶν οὐ κατὰ ψυχὴν γινομένων ἰδεῖν ἔστι. τὰ γὰρ ἁπλῶς πάσχοντα ὕλαι γίνονται τῶν παθῶν. τὸ γὰρ θερμαινόμενον θερμὸν γινόμενον αὐτὸ ὕλη τῷ πάθει γίνεται, δ οὔτε ἡ αἴσθησις οὔτε ὁ νοῦς ἔχουσιν. καὶ γὰρ εἰ διά τινων παθῶν σωματικῶν τὸ αἰσθάνεσθαι γίνεται, ἀλλ' αὐτό γε τὸ αἰσθάνεσθαι οὐ πάσχειν ἐστίν, ἀλλὰ κρίνειν. οὔτε οὖν ὡς ὕλη γινόμενος ὁ νοῦς τῶν εἰδῶν οὕτως αὐτὰ λαμβάνει οὔτε ὡς μετὰ ὕλης ὄντα ὡς τὰ αἰσθανόμενα, ἀλλ' αὐτὰ καθ' αὑτὰ χωρίζων αὐτὰ ἀπὸ πάσης ὑλικῆς περιστάσεως μόνα λαμβάνων θεωρεῖ. οὐ γὰρ λευκὸν νοῶν ὡς μετὰ σχήματος ἢ μεγέθους ὄντος αὐτοῦ τὴν νόησιν ποιεῖται. αἴτιον δὲ τούτου τὸ μηδὲ τὴν ἀρχὴν ὀργάνῳ τινὶ σωματικῷ προσχρῆσθαι πρὸς τὴν λῆψιν τῶν νοουμένων, ἀλλ' ἀρκεῖσθαι αὐτὸν αὐτῷ πρὸς τὸ γνῶναι τὸ νοούμενον· διὸ ἡ μὲν αἴσθησις, εἰ καὶ μὴ ἀλλοίωσις, ἀλλὰ δι' ἀλλοιώσεώς γέ τινος γίνεσθαι δοκεῖ, ὁ δὲ νοῦς οὐ τοῦτον τὸν τρόπον. ἐπεὶ δὲ δεῖ τὸ ληψόμενον εἶδη τινὰ μηδὲν τούτων ἔχειν ἐν τῇ οἰκείᾳ φύσει (παρεμφαινόμενον γὰρ τὸ οἰκεῖον εἶδος κωλύει τὴν τοῦ ἀλλοτρίου λῆψιν· οὕτως γοῦν ἔχοντα ἐδείχθη καὶ τὰ αἰσθητήρια), δεῖ καὶ τὸν ὑλικόν τε καὶ ὑποκείμενον νοῦν μηδὲν εἶναι τῶν νοεῖσθαι δυναμένων ὑπ' αὐτοῦ. ἀλλὰ μὴν πάντα τὰ ὄντα ὑπὸ τοῦ νοῦ νοεῖται, εἴ γε τῶν ὄντων τὰ μέν ἐστι νοητά, τὰ δὲ αἰσθητά. ποιεῖ γὰρ ὁ νοῦς καὶ τὰ αἰσθητὰ αὑτῷ νοητὰ χωρίζων αὐτὰ τῆς ὕλης καὶ τί ποτέ ἐστιν αὐτοῖς τὸ εἶναι θεωρῶν. οὐδὲν ἄρα τῶν ὄντων ἐνεργείᾳ ἐστὶν ὁ ὑλικὸς νοῦς, ἀλλὰ πάντα δυνάμει. πρὸ γὰρ τοῦ νοεῖν οὐδὲν ὢν ἐνεργείᾳ, ὅταν νοῇ τι, τὸ νοούμενον γίνεται, εἴ γε τὸ νοεῖν αὐτῷ ἐν τῷ τὸ εἶδος ἔχειν τὸ νοούμενον. ἐπιτηδειότης τις ἄρα μόνον ἐστὶν ὁ ὑλικὸς νοῦς πρὸς τὴν τῶν εἰδῶν ὑποδοχὴν ἐοικὼς πινακίδι ἀγράφῳ, μᾶλλον δὲ τῷ τῆς πινακίδος ἀγράφῳ, ἀλλ' οὐ τῇ πινακίδι αὐτῇ. αὐτὸ γὰρ τὸ γραμματεῖον ἤδη τι τῶν ὄντων ἐστίν. διὸ ἡ μὲν ψυχὴ καὶ τὸ ταύτην ἔχον εἶδος μᾶλλον ⟨ἂν⟩ κατὰ τὸ γραμματεῖον, τὸ δὲ ἄγραφον ἐν αὐτῇ ὁ νοῦς ὁ ὑλικὸς λεγόμενος, ἢ ἐπι-

1—2 τῶν—γινομένων] welche ausser der Seele sich finden 4—5 διά—σωματικῶν] an irgend welchen Spuren und von den Spuren des Körpers 7 ὡς τὰ αἰσθανόμενα] wie das geschieht bei den Formen, welche mit den Sinnen wahrgenommen werden 15—16 παρεμφαινόμενον—λῆψιν] das Gesicht nämlich stören die Formen, welche dasselbe specificiren von der Annahme der ihm fremden Formen 20 αὐτῷ om. 20—21 καὶ τί—θεωρῶν] und indem er ihre Qualitäten betrachtet 21 ἄρα om. 23 post γίνεται p addit: aber es ist (?) eine Kraft, wie vorangegangen ist 23—24 ἐν—νοούμενον] wenn sich in ihm die intelligible Form substanziirt 24 μόνον om. 25 ἀγράφῳ] auf welche geschrieben wird 25—26 τῷ—ἀγράφῳ] dem Fehlen der Schrift auf der Tafel 26—27 αὐτὸ—ἐστίν] denn die Oberfläche der Tafel, auf welche man schreibt, ist von der Beschaffenheit der wirklichen Dinge 27—28 κατὰ τὸ γραμματεῖον] auf der Stufe der Oberfläche der Tafel 28—85,2 τὸ δὲ ἄγραφον—ἀντιγραφόμενον] Der Zustand der Tafel hingegen, wenn die Schrift fehlt, ist ähnlich dem Intellect. Davon (?) ist die Vorstellung des

1 αὐτὸ τῷ scripsi: αὐτὸ VKa 4 ἔχουσιν] fortasse πάσχουσιν 9 fortasse ⟨τὸ⟩ λευκὸν 12 fortasse αὐτῷ 14 τὸ om. Ka 16 ἐδείχθη κτλ.] 59,12sq. cf. 44,3 63,4 17 ὑποκείμενον a 20 αὐτῷ VKa 23 τὸ τὸ· (sic) εἶδος V 24 τοῦ νοουμένου Ka 25 ἐοικὼς a 27 εἴη Ka: εἶην V ἂν addidi 28 ἢ scripsi: ἡ VKa

τηδειότης ἡ πρὸς τὸ ἐγγραφῆναι. ὡς οὖν ἐπὶ τοῦ γραμματείου τὸ μὲν γραμματεῖον πάσχοι ⟨ἄν⟩ ἀντιγραφόμενον, ἐν ᾧ ἡ πρὸς τὸ γραφῆναι ἐπιτηδειότης, ἡ μέντοι ἐπιτηδειότης αὐτὴ οὐδὲν πάσχει εἰς ἐνέργειαν ἀγομένη· (οὐδὲ γάρ ἐστί τι ὑποκείμενον), οὕτως οὐδ' ἂν ὁ νοῦς πάσχοι τι, μηδέν γε ὧν τῶν ἐνεργείᾳ. διὸ καὶ οὐκ ἀλόγως τινὲς ἀπὸ τῆς τοῦ νοῦ δυνάμεως κινούμενοι τόπον εἰδῶν τὴν ψυχὴν εἶπον εἶναι, ὃ τῷ κυριωτάτῳ τῆς ψυχῆς ὑπάρχει, τοῦτ' ἐπὶ πᾶσαν αὐτὴν μεταφέροντες. τόπος δ' ἂν εἴη τῶν εἰδῶν οὐ κατ' ἐνέργειαν (οὐδὲν γὰρ κατὰ τὴν αὐτοῦ φύσιν τῶν εἰδῶν ἔχων ἐδείχθη), ἀλλ' ὡς δυνάμενος αὐτὰ λαμβάνειν τόπος αὐτῶν ἂν εἴη δυνάμει κατὰ τοῦτο. καὶ τοιοῦτος μὲν ὁ ὑλικὸς νοῦς, ὁ δὲ ὡς ἕξις λεγόμενος εἰδός ἐστι [καὶ δύναμις] καὶ τελειότης τούτου, ἥτις ἕξις ἐν αὐτῷ γίνεται ἔκ τε τῆς τοῦ καθόλου περιλήψεως καὶ ἐκ τοῦ τὰ εἴδη χωρίζειν ἀπὸ τῆς ὕλης [δύνασθαι], ἃ τρόπον τινὰ ταὐτά ἐστιν ἀλλήλοις. ὅ τε γὰρ τὸ εἰδός τινος χωρὶς τῆς ὕλης λαβὼν ἔχει τὸ κοινόν τε καὶ καθόλου (ὁ γὰρ τὸ εἶδος τοῦ ἀνθρώπου λαβὼν χωρὶς τῶν ὑλικῶν περιστάσεων ἔχει τὸν κοινὸν ἄνθρωπον· ἡ γὰρ τῶν καθ' ἕκαστα ἀνθρώπων πρὸς ἀλλήλους διαφορὰ παρὰ τῆς ὕλης γίνεται, ἐπεὶ τά γε εἴδη αὐτῶν, καθ' ἃ εἰσιν ἄνθρωποι, οὐδεμίαν ἔχει διαφοράν), ὅ τε τὸ κοινὸν τὸ ἐπὶ τοῖς καθ' ἕκαστα συνιδὼν τὸ εἶδος πάλιν χωρὶς τῆς ὕλης λαμβάνει. τοῦτο γὰρ ἐν αὐτοῖς τὸ κοινόν τε καὶ ταὐτόν. ἐγγίνεται δὲ ἡ τοιάδε ἕξις τῷ νῷ τὴν ἀρχὴν κατὰ μετάβασιν ἀπὸ τῆς περὶ τὰ αἰσθητὰ συνεχοῦς ἐνεργείας ὥσπερ ὄψιν τινὰ ἀπ' αὐτῶν λαμβάνοντος τοῦ καθόλου θεωρητικήν, ὃ κατ' ἀρχὰς μὲν νόημα καὶ ἔννοια καλεῖται, πλεονάσαν δὲ καὶ ποικίλον καὶ πολύτροπον γινόμενον, ὡς δύνασθαι καὶ χωρὶς τῆς αἰσθητικῆς ὑποβάθρας ποιεῖν τοῦτο, νοῦς ἤδη. ὅταν γὰρ ἐν ἕξει γένηται διὰ τὰς συνεχεῖς ἐνεργείας τοιαύτῃ, ὡς δι' αὐτοῦ λοιπὸν ἐνεργεῖν δύνασθαι, τότε ὁ ὡς ἕξις

Intellects aber nichts als die (von diesem Zustande ist für den Intellect keine [andere] Vorstellung als die der) Vorbereituug zum Eintreffen der Schrift auf derselben, und wie die Oberfläche der Tafel afficiert wird, wenn darauf geschrieben wird. 7 πᾶσαν αὐτήν] die Seele selbst 13 ταὐτά.. ἀλλήλοις] zu einander passend 17—18 ἐπεί—διαφορά] wenn nicht, so würden ihre Formen, durch welche sie Menschen sind, durchaus ohne Unterschied sein 18—19 ὅ τε—συνιδών] [zu wem] der gemeinschaftliche Begriff gelangt, welcher aus den Individuen entsteht, so dass er ihn in der Seele festhält 20 ταὐτόν] angemessen, conform 22 post ἐνεργείας addit: des Intellects 23 νόημα καὶ ἔννοια] Einsicht und Wissenschaft 23—25 πλεονάσαν—ἤδη] wenn es zunimmt, und eine Gestaltung annimmt und sich verzweigt und ausgeübt wird, so dass es sich befestigt, um sein Thun ohne Unterstützung der sinnlichen Begriffe auszuführen, dann heiszt es Intellect 26 ὡς—δύνασθαι] dass er sich dadurch befestigen kann, während er für sich abgesondert ist, so dass er seine Wirkung ausüben kann.

2 ἂν addidi 4 οὐδ' ἂν scripsi: οὐδὰν V πάσχοι scripsi: πάσχει V οὕτως καὶ ὁ νοῦς. οὐδ' ἂν πάσχοι τι a 5 γε om. a fortasse ὑπὸ 8 οὐ om. Ka αὐτοῦ V: αὐτοῦ a 9 ἐδείχθη] 84,15 11 „περὶ τοῦ ἐν ἕξει νοῦ". ὁ δὲ Va 11—86,6 ὁ δὲ ὡς—νοήματα] cf. Ps. Alex. in met. Ar. 671,28—672,16 et Freudenthal Abh. d. Berl. Ac. 1884 p. 24sq. 11 καὶ δύναμις del. Freudenthal 13 δύνασθαι del. Freud. 16 ἀνθρώπων om. Ps. Al. del. Freudenthal 22 fortasse λαμβάνοντι, sed cf. 152r3 θεωριτικήν a 26 τοιαύτῃ Ka

καλούμενος νοῦς γίνεται, ἀνάλογον ὢν τῷ ἐπιστήμονι, ὃς τοῦ τε κατὰ δύναμιν ἐπιστήμονος λεγομένου καὶ τοῦ κατ' ἐπιστήμην ἐνεργοῦντός ἐστι μεταξύ, ὅσον ἀπολείπεσθαι δοκεῖ τοῦ κατὰ τὴν ἐπιστήμην ἐνεργοῦντος, τοσοῦτον πλεονεκτῶν τὸν κατὰ δύναμιν ἐπιστήμονα. | ἐνεργοῦσα δὲ ἤδε 139r
ἡ ἕξις ὁ κατ' ἐνέργειαν γίνεται νοῦς. ὁ γὰρ κατὰ ἕξιν νοῦς ἀποκείμενά πώς ἐστιν ἀθρόα καὶ ἠρεμοῦντα τὰ νοήματα. ὅτι δὲ οὐχ ὁμοίως ὁ νοῦς ὑπὸ τῶν νοητῶν πάσχει τῇ αἰσθήσει, ἀλλ' ἡ μὲν ὑπὸ τῶν αἰσθητῶν διατίθεταί πως ὅτε διὰ σωματικῆς ὑπηρεσίας αὐτῶν ἀντιλαμβανομένη, ὁ δὲ ἀπαθὴς ὑπ' αὐτῶν μένει, δῆλον καὶ ἐκ τοῦ τὴν μὲν αἴσθησιν ἀπὸ τῆς περὶ τὰ σφόδρα αἰσθητὰ ἐνεργείας μὴ δύνασθαι τῶν ἧττον αἰσθητῶν ἀντιλαμβάνεσθαι ὡς ἔχουσάν τι πάθος ἔτι παράμονον ἀπ' ἐκείνων ἐγγενόμενον, τὸν δὲ νοῦν ἀπὸ τῶν σφόδρα νοητῶν μηδὲν ἧττον, ἢ καὶ μᾶλλον νοεῖν τὰ ἐλάττον νοητά, ὡς ἂν ἐν τῷ προγεγυμνάσθαι περὶ αὐτὰ ἑτοιμότερον πρὸς τὰς οἰκείας ἐνεργείας γεγονότα. καὶ ἐπεί ἐστιν ὁ κατ' ἐνέργειαν νοῦς οὐδὲν ἄλλο ἢ τὸ εἶδος τὸ νοούμενον, ὥσπερ καὶ ἐπὶ τῆς αἰσθήσεως ἐδείχθη, ὁ ἐν ἕξει νοῦς (οὗτος δέ ἐστιν ὁ νοεῖν ἐπ' αὐτοῦ δυνάμενος καὶ τὰ τῶν νοητῶν εἴδη λαμβάνειν καθ' αὑτά), οὗτος ἤδη δύναται καὶ αὐτὸν νοεῖν. ἐπεὶ γὰρ τὸ νοούμενον εἶδος αὐτός ἐστιν, εἴ γε νοῶν ὃ νοεῖ γίνεται, ὁ ἄρ' ἕξιν ἔχων τοῦ τὰ εἴδη νοεῖν, οὗτος ἕξιν καὶ δύναμιν ἔχει τοῦ νοεῖν ἑαυτόν. ὃ γὰρ δύναται νοεῖν, τοῦτο αὐτὸ αὐτὸς νοῶν γίνεται, καὶ ἔστιν ὅταν νοῇ προηγουμένως μὲν καὶ καθ' αὑτὸν νοῶν τὸ νοητὸν εἶδος, κατὰ συμβεβηκὸς δὲ ἑαυτὸν τῷ συμβεβηκέναι αὐτῷ. ὅταν νοῇ, γίνεσθαι ἐκεῖνο, ὃ νοεῖ. πρὸ μὲν οὖν τοῦ κατ' ἐνέργειαν τὸν νοῦν νοεῖν πρὸς ἄλληλά ἐστι τὸ νοοῦν τε καὶ τὸ νοούμενον καὶ ἀντικείμενα ἀλλήλοις ὡς τὰ πρός τι, ὅταν δὲ ἐνεργῶσιν, ἓν γινόμενα παύεται τῆς ἀντιθέσεως. οὐδὲ γὰρ ἐφαρμόζειν αὐτοῖς οἷόν τέ ἐστι τὸν τοῦ πρός τι λόγον. διὸ ὁ κατ' ἐνέργειαν νοῦς ὁ αὐτὸς γινόμενος τῷ νοητῷ εὐλόγως αὐτὸν λέγεται νοεῖν. ὁ μὲν οὖν νοῦς ὁ κατ' ἐνέργειαν αὐτὸν νοεῖ. ὃ γὰρ νοεῖ, τοῦτο αὐτὸς γίνεται. τὰ γὰρ εἴδη χωρὶς ὕλης νοεῖ. οὐ γὰρ τόδε, ἀλλὰ

4 ἐνεργοῦσα] wenn sie wirkend gemacht (?) wird 5–6 ὁ κατ'—τὰ νοήματα] entsteht der Intellect in actu bei der Erkenntniss der Wissenschaften von irgend einer Seite und der Erreichung (Ableitung?) der einen aus der anderen; vorher waren sie gesammelt, gemengt ruhend 11–12 ὡς—ἐγγενόμενον] weil nach seiner Trennung von den starken Sinnesobjekten ein Rest von einer Spur derselben in ihm bestehen bleibt 13–14 ὡς ἂν—γεγονότα] wenn er nämlich mit jenen begonnen hat, so wird er in seinen Tätigkeiten, die ihn specificiren, mehr übergehend (i. e. fortschreitend) 16 ὁ ἐν ἕξει νοῦς] der Intellect in actu 23–24 πρὸ—νοεῖν] Ehe der Begreifende (Intellect) in actu begriffen hat

1 ἀνάλογος Freudenthal, sed cf. Ind. 3 ἀπολείπεσθαι] ολ in lit. V τὴν del. Freudenthal 4 „περὶ τοῦ κατ' ἐνέργειαν νοῦ". ἐνεργοῦσα δὲ Va ἤδε V: ἤδη Ka 6 ἠρεμοῦντα V ut solet. K νοήματα Ka: νόημα V 11 παράμονον V: παραμένον K: παρὰ μένον a 12 τῶν ex. Vict.: τοῦ VKa ἧττον] τ in lit. V 13 προγεγυμνᾶσθαι a 14–87,1 καὶ ἐπεί—προείρηται Ps. Al. in Ar. met. 672,16–31 15–16 ὁ ὑφ' αὐτοῦ νοεῖν δυνάμενος Ps. Al. 16 ἐδείχθη a 18 καὶ αὐτὸν VKa 29 αὐτὸ Ps. Al.

τὸ τῷδε εἶναι νοεῖ, ὡς προείρηται. οὐκέτι δὲ ὁμοίως ἡ κατ' ἐνέργειαν αἴσθησις αὐτῆς αἰσθάνεσθαι λέγεται, καίτοι καὶ αὐτὴ τὰ εἴδη τῶν αἰσθητῶν λαμβάνουσα, ὅτι αἰσθάνεται μὲν ὧν αἰσθάνεται ὡς ὄντων ἐν ὕλῃ (τοῦδε γὰρ ἡ αἴσθησις), οὐ γίνεται δὲ αὐτὴ τῷ αἰσθητῷ ἡ αὐτή, ὅτι μὴ ὡς ὕλη τὸ εἶδος λαμβάνει. καὶ γὰρ τὰ ἔνυλα εἴδη καὶ αἰσθητὰ ἄλλως μὲν ἡ αἴσθησις, ἄλλως δὲ ὁ νοῦς κρίνει. ἔστι μὲν γὰρ ἐπὶ τῶν τοιούτων καὶ ὅλως ἐπὶ τῶν συνθέτων ἐξ ὕλης τε καὶ εἴδους ἄλλο τὸ τόδε τι, καὶ ἄλλο τὸ τῷδε εἶναι. οὐ γὰρ ταὐτόν ἐστι χαλκὸς καὶ τὸ εἶναι χαλκῷ· χαλκὸς μὲν γὰρ τὸ συναμφότερον, τὸ δὲ χαλκῷ εἶναι οὐ κατὰ τὸ συναμφότερον ἔτι, ἀλλὰ κατὰ τὸ εἶδός τε καὶ τὸν λόγον, ὃς ἐν τῇ ὑποκειμένῃ ὕλῃ γενόμενος ἐποίησεν χαλκὸν αὐτήν. οὔσης δὴ ἐν τοῖς αἰσθητοῖς ταύτης τῆς διαφορᾶς, ἡ μὲν αἴσθησις τοῦ συναμφοτέρου ἐστὶ κριτική (τοῦ γὰρ εἴδους ὡς ἐν ὕλῃ ὄντος τὴν ἀντίληψιν ποιεῖται· διὸ καὶ πᾶν τὸ αἰσθητὸν τόδε τί ἐστι καὶ καθ' ἕκαστον, τὸ γὰρ συναμφότερον τοιοῦτον), ὁ δὲ νοῦς τοῦ εἴδους καὶ τοῦ λόγου καθ' ὃν ἐστι τόδε τι θεωρητικός ἐστι. διὸ οὐ τοῦδε, ἀλλὰ τοιοῦδε, καὶ οὐ τοῦ καθέκαστα, ἀλλὰ τοῦ καθόλου. κατὰ γὰρ τὸν λόγον πάντα τὰ ὁμοειδῆ ἀλλήλοις εἰσὶν ὁμοειδῆ τὸν αὐτὸν ὄντα, οὗ ἐστιν ὁ νοῦς θεωρητικός· ἐφ' ὧν μὲν οὖν ἄλλο ἐστὶ τὸ τόδε καὶ τὸ τῷδε εἶναι, ἐπὶ τούτων ἄλλη μὲν ἡ γνωστικὴ δύναμις τοῦδε (ἡ γὰρ αἴσθησις), ἄλλη δὲ ἡ τοῦ τῷδε εἶναι (ὁ γὰρ νοῦς), ἐφ' ὧν δὲ ταὐτὸν τὸ τόδε καὶ τὸ τῷδε εἶναι (τοῦτο δέ ἐστιν ἐπὶ τῶν εἰδῶν τῶν χωρὶς ὕλης), τούτων νοῦς μόνος ἐστὶ θεωρητικός. οὐδὲν γὰρ τῶν τοιούτων αἰσθητὸν ἔτι. πᾶν γὰρ τὸ αἰσθητὸν ἔνυλόν τε καὶ σύνθετον.

Τὰ μὲν οὖν τῶν συνθέτων τὸ τί ἦν εἶναί τε καὶ τὰ τούτων εἴδη ὁ νοῦς αὐτῷ νοητὰ ποιεῖ χωρίζων αὐτὰ τῶν σὺν οἷς αὐτοῖς τὸ εἶναι. εἰ δέ τινά ἐστιν εἴδη, ὡς τὰ καθ' αὑτά, χωρὶς ὕλης τε καὶ ὑποκειμένου τινός, ταῦτα κυρίως ἐστὶ νοητά, ἐν τῇ οἰκείᾳ φύσει τὸ εἶναι τοιαῦτα ἔχοντα, ἀλλ' οὐ παρὰ τῆς τοῦ νοοῦντος αὐτὰ βοηθείας λαμβάνοντα. τὰ δὲ τῇ αὑτῶν φύσει νοητὰ κατ' ἐνέργειαν νοητά, δυνάμει γὰρ νοητὰ τὰ ἔνυλα. ἀλλὰ μὴν

---

1 κατ' ἐνέργειαν om. 2 λέγεται] man kann sagen 5 τὸ εἶδος] die Formen 9 κατὰ] wegen 24 τὰ μὲν—τούτων εἴδη] Die Qualitäten der zusammengesetzten Dinge und ihre Formen 26 ὡς—αὐτά] welche für sich bestehen 27—28 ταῦτα—λαμβάνοντα] so sind diese allein im wahren Sinne intelligible ihrer Natur nach, welche sie specificirt, nicht insofern sie dies sich aneignen durch eine Hülfe, welche sie begreift (intelligent macht) 29 νοητά] in der Seele begriffen 29—88,1 ἀλλὰ μὴν—ἐνέργειαν νῷ] in dem Intellectuellen in actu ist das Begriffene und Begreifende ein und dasselbe Ding

---

1 τῷ τόδε εἶναι Ka ὡς κτλ.] 83,7 2 αὐτῆς Ka 5 καὶ τὰ αἰσθητὰ Ka
7 εἴδους ἄλλος Ka 8 τῷ εἶναι K 11 δὲ K 15 οὐδὲ τοῦδε Ka 17 ὁμοειδῆ a 20 καὶ τῷ τῷδε Ka 21 μόνον Ka 24 „περὶ τοῦ κατ' ἐνέργειαν νοητοῦ καὶ νοῦ καὶ τοῦ ἀΰλου εἴδους". τὰ μὲν Va τὰ μὲν οὖν κτλ.] cf. p. 4,4 25 αὐτῷ scripsi: αὐτῳ V: αὐτῶν Ka 28 τῷ νοοῦντος Ka αὐτῶν VKa 29 μὴν τῷ Ka

τὸ κατ' ἐνέργειαν νοητὸν ταὐτὸν τῷ κατ' ἐνέργειαν νῷ, εἴ γε ταὐτὸν τὸ νοούμενον τῷ νοοῦντι. τὸ ἄρα ἄυλον εἶδος νοῦς ὁ κυρίως τε καὶ κατ' ἐνέργειαν. καὶ ὁ νοῶν ἄρα τοῦτο νοῦν νοεῖ οὐ γινόμενον νοῦν ὅτε νοεῖται, ὡς ἐπὶ τῶν ἐνύλων εἰδῶν ἔχει, ἀλλὰ ὄντα νοῦν καὶ χωρὶς τοῦ ὑπὸ τοῦ νοῦ νοεῖσθαι. εἰ δὴ ὁ νοῶν νοῦς ἐν τῷ νοεῖν ὃ νοεῖ γίνεται, καὶ ὁ ἐν ἡμῖν νοῦς, οὗτος δέ ἐστιν ὁ καθ' ἕξιν, ὅταν ταῦτα τὰ εἰδὴ νοῇ, ὁ αὐτὸς ἐκείνοις τότε γίνεται· ὁποῖα γάρ ἐστι κατὰ τὴν οἰκείαν ὑπόστασιν καὶ χωρὶς τοῦ νοεῖσθαι (ἁπλᾶ γὰρ τοιαῦτα), καὶ ἐν τῷ νοοῦντι αὐτὰ γίνεται. ὥσθ' ὁ ταῦτα νοῶν νοῦς ὁ αὐτὸς αὐτοῖς, ὅτε νοεῖ, γίνεται. νοῦς δὴ ἐπὶ τούτων τό τε νοούμενον καὶ τὸ νοοῦν, καὶ ἄμφω τότε ταὐτό. ὅταν δέ γε τῶν ἐνύλων τι εἰδῶν νοῇ καὶ τὸ τί ἦν εἶναι ἐνύλου τινὸς λαμβάνῃ, οὐκέθ' ὁ αὐτὸς πάντῃ γίνεται τῷ νοουμένῳ πράγματι, ὅτι τὸ μὲν νοούμενον ὑπ' αὐτοῦ ἐπὶ ὕλῃ τινὶ τὸ εἶναι ἔχει, ὁ δ' αὐτὸ ὡς κεχωρισμένον ὕλης λαμβάνει. διὸ τὸ τοιοῦτον εἶδος νοούμενον μὲν νοῦς ἐστι καὶ αὐτό, ἔξω δὲ τοῦ νοεῖσθαι γενόμενον οὐκέτι. ἔτι ὁ μὲν νοῦς χωρὶς ὕλης εἰδός τι, τὸ δὲ ἐν ὕλῃ τὸ εἶναι ἔχει. |

Ἐπεὶ δὲ ἐν πᾶσιν τοῖς γινομένοις τε καὶ συνεστῶσιν κατὰ φύσιν, ἐν οἷς ὕλη τίς ἐστιν, τὸ μέν τι ὕλη ἐστὶν ἐν ἐκείνῳ τῷ λαμβανομένῳ γένει (τοῦτο δέ ἐστιν, ὃ πάντα δυνάμει ἐστὶ τὰ ἐν ἐκείνῳ τῷ γένει), τὸ δέ τι ποιητικὸν τοῦ ἐν τῇ ὕλῃ γίνεσθαι ταῦτα ὧν ἐστι δεκτική (ὥσπερ καὶ ἐπὶ τῶν κατὰ τέχνην γινομένων ἔχον ὁρῶμεν· ἡ γὰρ τέχνη τοῦ τὸ εἶδος ἐν τῇ ὕλῃ γίνεσθαι τὴν αἰτίαν ἔχει), ἀναγκαῖον δοκεῖ καὶ ἐπὶ τοῦ νοῦ ταύτας εἶναι τὰς διαφοράς. καὶ ἐπεί ἐστιν ὑλικός τις νοῦς, εἶναί τινα δεῖ καὶ ποιητικὸν νοῦν, ὃς αἴτιος τῆς ἕξεως τῆς τοῦ ὑλικοῦ νοῦ γίνεται. εἴη δ' ἂν οὗτος τὸ κυρίως τε καὶ μάλιστα νοητὸν εἶδος, τοιοῦτον δὲ τὸ χωρὶς ὕλης. ἐν πᾶσιν γὰρ τὸ μάλιστα καὶ κυρίως τι ὂν καὶ τοῖς ἄλλοις αἴτιον τοῦ εἶναι

1—2 εἴ γε—νοοῦντι om. 3 ὅτε νοεῖται om. 5 ἐν τῷ νοεῖν] in der Zeit, in der er begreift 6 ὅταν ταῦτα τὰ εἰδὴ νοῇ] wenn er die Formen begreift, mit denen keine Hyle vermengt ist 8 ἁπλᾶ—τοιαῦτα] und wenn sie auch einfach sind 9 ἐπὶ τούτων om. 11 τι] einige καὶ τὸ—λαμβάνῃ] und wenn sein Entnehmen (was er entnimmt?) ein mit der Hyle verbundenes Ding ist 13 ἔχει] addit: damals 14 ἐστι] wird 15 ἔτι ὁ—εἰδός τι] denn der Intellect besteht in (ist) irgend welchen (welche) Formen ohne Hyle 17—20 ἐπεὶ—δεκτική] da nun in allen Dingen, deren Sein (Werden?) und Bestehen in der (durch?) Natur, bei Allem was irgend eine Hyle hat, Etwas ist, welches Hyle ist in der entnommenen Gattung und dieses ist das Ding, welches Alles, was in jener Gattung in potentia [ist], ist, und irgend Etwas in actu, und das ist dasjenige, wodurch an der Hyle jene Dinge entstehen, welche die Hyle aufzunehmen pflegt 26 τὸ—ὄν] das, was in irgend einer Weise in Priorität im wahren Sinne ist τοῖς ἄλλοις] addit: was diesen Zustand hat

1 κα|κατ sic V νοητὸν usque ad ἐνέργειαν om. Ka 3 νοεῖται Ka: νοεῖτε V 11 οὐκέτι ὁ Ka 12 ὅτι V: ἄρα Ka 13 ὁ scripsi: ὃ VKa 17 „περὶ τοῦ ποιητικοῦ νοῦ". ἐπεὶ δὲ Va 18 ἐκείνῳ] lege ἑκάστῳ, ut Ar. de an. 3,5 430a10 ἐπεὶ δ' ὥσπερ ἐν ἁπάσῃ τῇ φύσει ἐστί τι τὸ μὲν ὕλη ἑκάστῳ γένει (τοῦτο δὲ ὃ πάντα δυνάμει ἐκεῖνα) λαμβανομένῳ] cf. ὡς ἀναγκαῖον μὲν πάντα τὸν λαμβανόμενον κηρὸν εἶναι μετὰ σχήματος 4,11 εἰ πᾶν τὸ λαμβανόμενον τὰ τέτταρα ἐν αὑτῷ ἔχει 148r26, 147r10 20 δεκτική] sc. ἡ ὕλη 23 δεῖ post ποιητικὸν (24) Ka

τοιούτοις. τό τε γὰρ μάλιστα ὁρατόν, τοιοῦτον δὲ τὸ φῶς, καὶ τοῖς ἄλλοις τοῖς ὁρατοῖς αἴτιον τοῦ εἶναι ὁρατοῖς, ἀλλὰ καὶ τὸ μάλιστα καὶ πρώτως ἀγαθὸν καὶ τοῖς ἄλλοις ἀγαθοῖς αἴτιον τοῦ εἶναι τοιούτοις· τὰ γὰρ ἄλλα ἀγαθά τῇ πρὸς τοῦτο συντελείᾳ κρίνεται. καὶ τὸ μάλιστα δὴ καὶ τῇ αὑτοῦ φύσει νοητὸν εὐλόγως αἴτιον καὶ τῆς τῶν ἄλλων νοήσεως. τοιοῦτον δὲ ὂν εἴη ἂν ὁ ποιητικὸς νοῦς. εἰ γὰρ μὴ ἦν τι νοητὸν φύσει, οὐδ' ἂν τῶν ἄλλων τι νοητὸν ἐγίνετο, ὡς προείρηται. ἐν γὰρ πᾶσιν ἐν οἷς τὸ μὲν κυρίως τί ἐστιν, τὸ δὲ δευτέρως, τὸ δευτέρως παρὰ τοῦ κυρίως τὸ εἶναι ἔχει. ἔτι, εἰ ὁ τοιοῦτος νοῦς τὸ πρῶτον αἴτιον, ᾧ αἰτία καὶ ἀρχὴ τοῦ εἶναι πᾶσι τοῖς ἄλλοις, εἴη ἂν καὶ ταύτῃ ποιητικός, ἢ αὐτὸς αἴτιος τοῦ εἶναι πᾶσι τοῖς νοουμένοις. καὶ ἔστιν ὁ τοιοῦτος νοῦς χωριστός τε καὶ ἀπαθὴς καὶ ἀμιγὴς ἄλλῳ, ἃ πάντα αὐτῷ διὰ τὸ χωρὶς ὕλης εἶναι ὑπάρχει. χωριστός τε γὰρ καὶ αὐτὸς καθ' αὑτὸν ὢν διὰ τοῦτο. τῶν γὰρ ἐνύλων εἰδῶν οὐδὲν χωριστὸν ἢ λόγῳ μόνον τῷ φθορὰν αὐτῶν εἶναι τὸν ἀπὸ τῆς ὕλης χωρισμόν. ἀλλὰ καὶ ἀπαθής, ὅτι τὸ πάσχον ἐν πᾶσιν ἡ ὕλη καὶ τὸ ὑποκείμενον. ἀπαθὴς δὲ ὢν καὶ μὴ μεμιγμένος ὕλῃ τινὶ καὶ ἄφθαρτός ἐστιν, ἐνέργεια ὢν καὶ εἶδος χωρὶς δυνάμεώς τε καὶ ὕλης. τοιοῦτον δὲ ὂν δέδεικται ὑπ' Ἀριστοτέλους τὸ πρῶτον αἴτιον, ὃ καὶ κυρίως ἐστὶ νοῦς. τὸ γὰρ ἄυλον εἶδος ὁ κυρίως νοῦς. διὸ καὶ τιμιώτερος οὗτος ὁ νοῦς τοῦ ἐν ἡμῖν τε καὶ ὑλικοῦ, ὅτι ἐν πᾶσιν τὸ ποιοῦν τοῦ πάσχοντος τιμιώτερον καὶ τὸ χωρὶς ὕλης τοῦ σὺν ὕλῃ. ὃν ὁ νοῶν νοῦς, ὅταν αὐτὸν νοῇ, ἐκεῖνός πως γίνεται, εἴ γε τὸ νοεῖν ἐν τῷ λαβεῖν τὸ εἶδος τὸ νοούμενον καὶ ὁμοιωθῆναι αὐτῷ, ἀναλόγως τῇ ἐπιστήμῃ, ἢ ὅταν ἐνεργῇ τὸ θεωρούμενον ὑπ'

2—5 ἀλλὰ καὶ τὸ—ἄλλων νοήσεως] Ebenso ist das Ding, welches in Priorität und hauptsächlich gut ist, auch die Ursache, dass die anderen Dinge, welche dem Guten beigezählt werden (verwandt sind?), dem Guten beigezählt werden (auf — bezogen?). Denn alles Uebrige, was den Guten beigezählt wird, erkennen und beurteilen wir als gut in seiner Richtung nach dieser Seite und durch sein Aufnehmen der Spuren desselben. Was also insbesondere im Wesen seines natürlichen Laufes Begriffenes ist, das ist notwendig die Ursache, dass die übrigen intelligibeln Dinge begriffen werden 7 κυρίως] im wahren Sinn und in der ersten Weise 8 τὸ δευτέρως—ἔχει] wird wegen dessen was in jenem Zustande in der ersten Weise ist, das zweite in jenem Zustande sein 10—11 εἴη ἂν—νοουμένοις] so ist er deshalb auch die Ursache, welche bewirkt, dass alle intelligibeln Dinge intelligibel sind 11 καὶ ante ἔστιν om. 12 ἃ πάντα] Pp: und alle Dinge B: und welche alle Dinge (sic) 13 ὢν] er wird nämlich 15 πάσχον ἐν πᾶσιν] die Spur von jeder Sache aufnehmend 16 δὲ om. 17 ἐνέργεια—εἶδος] eine in actu vorhandene Form 21—23 ὃν ὁ—θεωρούμενον] nur dass der Intellect welcher begreift, wenn er es begreift, dasselbe wird in irgend einer Weise, da die intellectuelle Vorstellung das Entnehmen der intelligibeln Formen ist und das Richten [var. lect. der Zusammenhang mit ihr] nach ihr ist, und die Analogie dazu ist das Wissen, wenn es wirksam gewesen ist. Denn das durch es (Wissen? Form?) Gewusste ist zu jeder Zeit ein Wissen in actu

4 αὐτοῦ VKa 7 τι νοητὸν om. Ka ὡς προείρηται] 88,26 fortasse κυρίως ⟨καὶ πρώτως⟩ v. int. hebr. 11 τοῖς ἄλλοις νοουμένοις Ka 21 fortasse ὃν νοῶν ὁ νοῦς αὐτὸ νοῇ Ka 23 ᾗ ex. Viet.

αὐτῆς ἑκάστοτέ ἐστιν αὐτή. ἡ γὰρ κατ' ἐνέργειαν ἐπιστήμη τὸ θεωρούμενον. ἐπὶ μὲν οὖν τῶν ἐνύλων εἰδῶν, ὥσπερ εἶπον, ὅταν μὴ νοῆται τὰ τοιαῦτα εἴδη, οὐδέ ἐστιν αὐτῶν τι νοῦς, εἴ γε ἐν τῷ νοεῖσθαι αὐτοῖς ἡ τοῦ νοητοῖς εἶναι ὑπόστασις. τὰ γὰρ καθόλου καὶ κοινὰ τὴν μὲν ὕπαρξιν ἐν τοῖς καθέκαστά τε καὶ ἐνύλοις ἔχει. νοούμενα δὲ χωρὶς ὕλης κοινά τε καὶ καθόλου γίνεται, καὶ τότε ἐστὶ νοῦς ὅταν νοῆται. εἰ δὲ μὴ νοοῖτο, οὐδὲ ἔστιν ἔτι. ὥστε χωρισθέντα τοῦ νοοῦντος αὐτὰ νοῦ φθείρεται, εἴ γε ἐν τῷ νοεῖσθαι τὸ εἶναι αὐτοῖς. ὅμοια δὲ τούτοις καὶ τὰ ἐξ ἀφαιρέσεως, ὁποῖά ἐστι τὰ μαθηματικά. φθαρτὸς ἄρα ὁ τοιοῦτος νοῦς, τουτέστιν τὰ τοιαῦτα νοήματα. ἐν οἷς δὲ τὸ νοούμενον κατὰ τὴν αὐτοῦ φύσιν ἐστὶ τοιοῦτον, οἷον νοεῖται (ἔστι δὲ τοιοῦτον ὂν καὶ ἄφθαρτον), ἐν τούτοις καὶ χωρισθὲν τοῦ νοεῖσθαι ἄφθαρτον μένει, καὶ ὁ νοῦς ἄρα ὁ τοῦτο νοήσας ἄφθαρτός ἐστιν, οὐχ ὁ ὑποκείμενός τε καὶ ὑλικός (ἐκεῖνος μὲν γὰρ σὺν τῇ ψυχῇ, ἧς ἐστι δύναμις, φθειρομένῃ φθείρεται, ᾧ φθειρομένῳ συμφθείροιτο ἂν καὶ ἡ ἕξις τε καὶ ἡ δύναμις καὶ τελειότης αὐτοῦ), ἀλλ' ὁ ἐνεργείᾳ τούτῳ, ὅτε ἐνόει αὐτό, ὁ αὐτὸς γινόμενος (τῷ γὰρ ὁμοιοῦσθαι τῶν νοουμένων ἑκάστῳ, ὅτε νοεῖται, ὁποῖον ἂν ᾖ τὸ νοούμενον, τοιοῦτος καὶ αὐτὸς ὅτε αὐτὸ νοεῖ γίνεται), καὶ ἔστιν οὗτος ὁ νοῦς ὁ θύραθέν τε ἐν ἡμῖν γινόμενος καὶ ἄφθαρτος. θύραθεν μὲν γὰρ καὶ τὰ ἄλλα νοήματα, ἀλλ' οὐ νοῦς ὄντα, ἀλλ' ἐν τῷ νοεῖσθαι γενόμενα νοῦς. οὗτος δὲ καὶ ὡς νοῦς θύραθεν. μόνον γὰρ τοῦτο τῶν νοουμένων νοῦς καθ' αὑτό τε καὶ χωρὶς τοῦ νοεῖσθαι. ἄφθαρτος δέ, ὅτι ἡ φύσις αὐτοῦ τοιαύτη. ὁ οὖν νοούμενος ἄφθαρτος ἐν

6—7 οὐδὲ ἔστιν ἔτι] so sind sie nichts 9—10 ὅμοια—μαθηματικά om. 11 νοήματα] Wissenschaften 14 τε καὶ om. 16—20 ἀλλ' ὁ—νοήματα] der Intellect hingegen, welcher jenes Intelligible begreift, da er und jenes ein Ding werden 17—19 τῷ γὰρ—γίνεται] da die intellectuelle Vorstellung jedem einzelnen der intelligibeln Dinge durch seine Ausdauer [var. lect. Verbindung] wird, wird, wenn er es begreift, von der Beschaffenheit jenes Begriffenen (sic), und das ist der Intellect, welchen wir erwerben, und der in uns entsteht, und den wir begreifen, weil er selbst Intellect ist. Wir eignen uns nämlich auch die anderen Wissenschaften an 20—91,5 ἀλλ' οὐ—νοούμενον τότε] aber wir eignen sie uns nicht an, weil sie an sich Intellect sind, sondern sie werden Intellect, wenn sie begriffen werden, jenen aber eignen wir uns an, weil er selbst ebenfalls Intellect ist, denn dieser Gegenstand allein unter den andern intelligibeln Gegenständen ist selbst Intellect, auch wenn er nicht begriffen wird, und seine Natur ist eine Natur, die nicht das Vergehen aufnimmt, und der Intellect, welcher ihn in uns begreift (welchen er in uns begreift), vergeht nicht, sondern dieser Intellect ist derjenige, der in uns separat ist und nicht das Vergehen annimmt, welchen Aristoteles den angeeigneten Intellect nennt, der in uns von aussen entsteht, nicht die Kraft, welche in der Seele, die in uns ist, und nicht die Aneignung, durch welche oder durch [deren??] Kraft der Intellect die übrigen Dinge und auch diesen Intellect begreift, auch nicht die Wissenschaft, insofern sie Wissenschaft ist, ist unvergänglich, sondern das Intelligible von jener Beschaffenheit

1 ἐστιν αὐτὸ Ka ἐπιστήμη a 2 ὥσπερ εἶπον] 88,14 9 τῶ εἶναι K 11 αὐτοῦ VKa 18 ἡ Ka 19 θύραθέν τε καὶ Ka 21 γινόμενα Ka 23 ὁ οὖν νοούμενος κτλ.] hoc dicere videtur: *animus aeternus, qui in nobis cogitatur, hic est* (quem modo descripsi): *plane autem diversus est a facultate nostrae ipsius animae*

ἡμῖν νοῦς οὐτός ἐστιν, [ὅτι χωριστός τε ἐν ἡμῖν καὶ ἄφθαρτος νοῦς, ὃν καὶ θύραθεν Ἀριστοτέλης λέγει, νοῦς ὁ ἔξωθεν γινόμενος ἐν ἡμῖν,] ἀλλ' οὐχ ἡ δύναμις τῆς ἐν ἡμῖν ψυχῆς, οὐδὲ ἡ ἕξις, καθ' ἣν ἕξιν ὁ δυνάμει νοῦς τά τε ἄλλα καὶ τοῦτον νοεῖ. ἀλλ' οὐδὲ τὸ νόημα ὡς νόημα ἄφθαρτον. διὰ τὸ νοούμενον τότε. διὸ οἷς μέλει τοῦ ἔχειν τι θεῖον ἐν αὐτοῖς, τούτοις προνοητέον τοῦ δύνασθαι νοεῖν τι καὶ τοιοῦτον.

Εἰ δὲ ὅ τε νοῦς καὶ ἡ κατὰ τοῦτον ἐνέργεια λήψει τῶν νοητῶν εἰδῶν χωρὶς ὕλης καὶ ὁμοιώσει τῇ πρὸς αὐτά γίνεται (γίνεται δὲ καὶ ἡ κατ' ἐνέργειαν αἴσθησις καὶ αὐτὴ κατὰ λῆψιν τῶν αἰσθητῶν εἰδῶν καὶ ὁμοίωσιν τὴν πρὸς αὐτά, ὡς δέδεικται), εἴη ἂν ἡ ψυχὴ τὰ ὄντα πως πάντα, εἴ γε πάντα μὲν τὰ ὄντα διῄρηται εἵς τε αἰσθητὰ καὶ νοητά, ἔστι δὲ ἑκάστῳ τῶν ὄντων κατὰ τὸ εἶδος τὸ εἶναι, ὁ δὲ νοῦς καὶ ἡ αἴσθησις πάντων τῶν εἰδῶν εἰσιν δεκτικά, ὁ μὲν τῶν νοητῶν, ἡ δὲ τῶν αἰσθητῶν. εἰ μὲν οὖν μεθ' ὕλης ἐδέχετο ἡ ψυχὴ τὰ εἴδη, ἁπλῶς ἂν ἐγίνετο πάντα τὰ ὄντα, ἐπεὶ δὲ οὐ μεθ' ὕλης, ἀλλὰ ἄνευ ταύτης, τὰ δὲ πράγματα σὺν ταύτῃ τὸ εἶναι ἔχει πως, ἔσται ἡ αὐτὴ πᾶσιν τοῖς οὖσιν οὐχ ἁπλῶς· καθόσον γὰρ τὰ εἴδη δέχεται αὐτῶν, ταῦτα δέ πώς ἐστι τὰ πράγματα τῷ κατὰ ταῦτα αὐτοῖς εἶναι μάλιστα τὸ εἶναι. οὐχ ὡς ἀθρόων δὲ τῶν πραγμάτων τῆς ψυχῆς οὔσης, ἀλλὰ κατὰ μέρος ὁμοιοῦσθαι αὐτῶν ἑκάστῳ | δυναμένης, 140r οὕτως ἡ ψυχὴ τὰ ὄντα πως πάντα ἐστί τε καὶ γίνεται· ἑκάστοτε μὲν γάρ, οὗ αἰσθάνεται καὶ ὃ νοεῖ, ἐκεῖνό πως γίνεται, τῷ δὲ ἄλλοτε ἄλλα ταῦτα εἶναι καὶ δύνασθαι πᾶν τὸ ὂν ἢ νοηθῆναι ἢ ὑπὸ αἴσθησιν πεσεῖν, τούτῳ πάντα γίνεται. λέγοιτο δ' ἂν οὐ περὶ πάσης ψυχῆς ταῦτα, ἀλλὰ τῆς τελείου, ἥτις πρὸς τῇ αἰσθήσει καὶ τὸν νοῦν ἔχει. οἱ μὲν οὖν ἀρχαῖοι τὴν ψυχὴν πάντα ἔλεγον εἶναι τὰ πράγματα τῷ ποιεῖν αὐτὴν ἐκ τῶν ἀρχῶν, ἐξ ὧν καὶ τὰ ὄντα πάντα αὐτοῖς ἦν, τὰ δὲ νῦν εἰρημένα περὶ ψυχῆς

5—6 διὸ—καὶ τοιοῦτον om. 7 ὅ τε—ἐνέργεια] der Intellect in actu 14 ἁπλῶς] schlechtweg 15—20 τὰ δὲ πράγματα—τε καὶ γίνεται] die Existenz der Dinge aber in irgend einer Weise mit der Hyle ist, so ergiebt sich, dass die Seele nicht alle Dinge schlechtweg ist, sondern insofern sie deren Formen aufnimmt, und die Formen von irgend einer Seite die Gegenstände selbst sind, ich meine, dass durch die Formen insbesondere sie sind, was sie sind; und wenn [auch?] die Seele nicht alle Gegenstände überhaupt aufnimmt, aber im Stande ist, dass sie sich richte nach (ausdehne über) jedem einzelnen Teil davon: so ist die Seele in dieser Weise alle vorhandenen Dinge und wird alle vorhandenen Dinge 22—23 τούτῳ πάντα γίνεται] so wird sie auf diese Weise alle Dinge. 26 ἦν] addit: nach ihrer Ansicht

---

1 ὅτι χωριστός τε—γινόμενος ἐν ἡμῖν ut lemma marginale delevi 2 οὐχ ἡ V: οὐ Ka 4 τοῦτο νοεῖ Ka διὰ τὸ] fortasse ἀλλὰ τὸ cf. int. hebr. 5 τότε] fortasse τοιοῦτον cf. int. hebr. *ipsa cogitatio non est aeterna, sed id, quod cogitatur tale (i. e. aeternum) est* αὐτοῖς VKa μέλει ex. Vict: μέλλει VKa 7 „ὅτι ἡ ψυχὴ τὰ ὄντα πώς ἐστιν πάντα". εἰ δὲ Va 8 γίνεται γίνεται m², γίνεται m¹ V: γίνεται Ka 10 ὡς δέδεικται] 38,20 14 ἁπλῶς γρ. m² in mg. ἄλλως m¹ V: ἄλλως Ka 16 πῶς m¹, ἦ (sic) ὡσίπως in mg. m² V: πῶς Ka οὐ ἁπλως a γὰρ] i. e. λέγω cf. Ind. 17 ἐστι m² supra lineam, εἶναι m¹ V: ἐστι Ka 20—23 ἑκάστοτε usque ad πάντα γίνεται om. Ka 22 ἢ νοηθῆναι ἢ scripsi: ἡ νοηθῆναι ἡ V

ἔδειξεν οὐχ οὕτως αὐτὴν οὖσαν τὴν αὐτήν, τῷ ἐκ τῶν αὐτῶν αὐτοῖς ἀρχῶν γεγονέναι. οὕτως μὲν γὰρ οὐχ ἡ ψυχὴ μόνη πᾶσιν τοῖς οὖσιν ἡ αὐτή, ἀλλὰ καὶ εἴ τι ἄλλο σύνθετον ὂν ἐκ πασῶν τῶν ἀρχῶν συνέστηκεν. ἔτι τε ἀναγκαῖον οὕτως μέγεθός τι αὐτὴν εἶναι καὶ σῶμα, πρὸς δὲ τούτοις μηδὲ δύνασθαί τινι τῶν ὄντων οὕτως αὐτὴν εἶναι τὴν αὐτήν (εἴ γε ἐν τῇ ποιᾷ μὲν συνθέσει τε καὶ μίξει τῶν ἀρχῶν ἡ ἑκάστου τῶν πραγμάτων οὐσία), ἐπεὶ τῷ γε ἐκ τῶν αὐτῶν ἀρχῶν εἶναι πάντα ἂν ἦν ταὐτὰ ἀλλήλοις, μηδενὸς δὲ τῶν ἑτέρων τῆς ψυχῆς δύνασθαι εἶναι τὴν κρᾶσιν τε καὶ μῖξιν ἐν τῇ ψυχῇ. ἦν γὰρ ἂν ἐκεῖνο, ἀλλ' οὐ ψυχή. ἀλλ' ἔστιν ἡ ψυχὴ τοῖς οὖσιν οὕτως ἡ αὐτὴ τῷ δύναμις εἶναι τῶν εἰδῶν αὐτῶν ληπτικὴ κατά τε τὸ νοεῖν καὶ τὸ αἰσθάνεσθαι. ἐν τούτῳ γὰρ τῇ τοιαύτῃ ψυχῇ τὸ εἶναι.

Καὶ ὁ μὲν περὶ ψυχῆς λόγος, ὅ τε κοινὸς καὶ ὁ περὶ ἑκάστης τῶν κυριωτάτων δυνάμεων αὐτῆς, καὶ τίς ἡ τέλειος ψυχή, καὶ πῶς ἔχει πρὸς τὴν ἀτελῆ, ὡς ἐπὶ κεφαλαίων ἐκθέσθαι συντόμως ὑπὲρ τῆς καθόλου περιλήψεως τοιοῦτος· γνώριμος δὲ ἐκ τῶν εἰρημένων καὶ ἡ τάξις τῶν τῆς ψυχῆς δυνάμεων. τὴν μὲν γὰρ θρεπτικὴν ψυχὴν ἀναγκαῖον ἐν πᾶσιν τοῖς ἐμψύχοις εἶναι, εἴ γε ψυχῆς μὲν παρουσίᾳ πᾶν τὸ ζῶν ζῇ, ἀδύνατον δέ τι ζῆν χωρὶς τῆσδε τῆς δυνάμεως, εἴ γε τὸ ζῆν ὥρισται τῇ δι' αὐτοῦ τροφῇ τε καὶ αὐξήσει, καθὰ τὰ ⟨φυτὰ⟩ τῶν ἄλλων σωμάτων διαφέροντα ζῆν καλεῖται. ταύτης δὲ τελειότης τῆς δυνάμεως τὸ γεννᾶν δύνασθαι· τὸ γὰρ σπέρμα τροφῆς περίττωμα. οὐ μὴν πᾶν τὸ ζῶν ἥδῃ καὶ αἴσθησιν ἔχειν ἀνάγκη. ὅσα γὰρ μὴ δεκτικὰ τῶν εἰδῶν χωρὶς ὕλης, οὐδὲ αἰσθητικά. τῶν δὲ φυτῶν οὐδὲν τοιοῦτον. τὰ μέντοι ζῷα ἀναγκαῖον αἴσθησιν ἔχειν. ὅσα γὰρ ζῶντα μὴ τῷ προσπεφυκέναι τινὶ ἀφ' οὗ τρέφεται ζῇ, μηδὲ ἁπλῇ τινι τροφῇ, οἵα ἡ τῶν φυτῶν, ταῦτα ἀναγκαῖον ἔχειν τὴν γευστικὴν αἴσθησιν, ὡς δύνασθαι διακρίνειν τά τε τρόφιμα τῶν προσφερομένων αὐτῷ καὶ τὰ μή. τῷ γὰρ

1 οὐχ οὕτως—τὴν αὐτήν] dass sie nicht die Gegenstände selbst ist 1—2 τῷ—γεγονέναι] weil sie zu den Principien selbst, von welchen jene Gegenstände kommen, gehöre 3—4 ἔτι τε ἀναγκαῖον] und es ergäbe sich 4—5 πρὸς—δύνασθαι] dabei wäre es nicht möglich 5 εἴ γε] da 7—9 ἐπεὶ—ἀλλ' οὐ ψυχή] wenn nicht, so würden alle die Dinge teilweise zu einander passen, insofern (?) sie von ein und denselben Principien [herkommen], und es wäre unmöglich, dass die Mischung und die Mengung, welche sich in irgend einem Dinge finden, welche das Gegenteil der Seele sind, sich in der Seele befänden. Denn, wenn sie sich in ihr befänden, so wäre dieses Ding dann Nicht-Seele 14—15 ὡς ἐπὶ—τοιοῦτος] in allgemeiner kurzer Methode gemäss dem, was von ihr begriffen werden kann im Allgemeinen 15 δὲ om. 18 ὥρισται] wird erneuert (entsteht?) 19 καθὰ—καλεῖται] und dies sind die zwei Dinge, welche die Pflanze mehr hat, als die übrigen Dinge, und man sagt, sie sei lebend 22 τῶν δὲ—τοιοῦτον] Es ist aber nicht die Weise irgend einer Pflanze, die Aufnahme dessen

6 μὲν] δὲ non sequitur; sed totum enuntiatum genuinam formam non videtur servasse, cf. δύνασθαι v. 8 μίξει] ξει in lit. V 9 ἀλλ' οὐ Ka: ἄλλου V . 15 „ἡ τάξις τῶν τῆς ψυχῆς δυνάμεων". γνώριμος δὲ Va 17 ζῶον a 18 αὐτοῦ Va 19 φυτὰ addidi, cf. interpr. hebr. . σωμάτων] exspectas ζώντων 20 γεννᾶν a περίπτωμα a 25 ἔχην a 26 τὰ ante μὴ om. a

ἔξωθεν εἶναι καὶ κεχωρισμένον τὸ τρέφον, καὶ μὴ πᾶν τρέφειν δεῖ τὰ μέλλοντα τῷ τοιούτῳ τρέφεσθαι αἴσθησιν ἔχειν τῶν τρεφόντων τε καὶ μή, ὅπως τὰ μὲν λαμβάνῃ, τὰ δὲ ἀποστρέφηται. τὰ δὲ γεῦσιν ἔχοντα καὶ ἁφὴν ἔχει. ἁφὴ γάρ τις καὶ ἡ γεῦσις. ἀλλὰ καὶ πρὸς σωτηρίαν τοῖς πορευτικοῖς τῶν ζῴων ἡ ἁφὴ συνεργεῖ. ἐν γὰρ τῇ μεταστάσει περιπίπτοντα ἄλλοις σώμασιν, ὧν τὰ μὲν φθαρτικά ἐστιν αὐτῶν, τὰ δὲ σωστικά, εἰ μὴ διακρίνειν οἷά τε ἦν ταῦτα, ὡς ἀποστρέφεσθαι μὲν τὰ φθαρτικά, προσίεσθαι δὲ τὰ σωστικά, ῥᾳδίως ἂν διεφθείρετο καὶ ἦν ἂν αὐτοῖς πρὸς κακοῦ ἡ κίνησις ἡ κατὰ τόπον γινομένη. οὐδὲν δὲ τοιοῦτον τῶν κατὰ φύσιν. εἰ δὲ ἀναγκαῖον πᾶν ζῷον ἁπτικὴν αἴσθησιν ἔχειν, οὐχ οἷόν τε δὲ τῶν ἁπτῶν τινος αἰσθέσθαι δι' ἁπλοῦ τινος σώματος (οὐδενὸς γὰρ ἐκεῖνα τῶν οἰκείων αὐτοῖς αἰσθητῶν τῷ ἅπτεσθαι ἀντιληπτικά, ἀλλὰ τὰ μὲν τρία διά τινος μεταξὺ αἰσθάνεται, ὡς δέδεικται, ἡ δὲ γῆ παντάπασιν ἀναίσθητος καθ' αὑτήν), ἀδύνατον τὸ τοῦ ζῴου σῶμα ἁπλοῦν εἶναι. ἡ γὰρ ἁφή, ἐν μεσότητι οὖσα ὧν αἰσθάνεται, τῷ πασῶν τῶν ἁπτῶν ἐναντιώσεων αἰσθάνεσθαι ἐν τῇ πάντων τῶν ἁπτῶν μεσότητί τε καὶ μίξει τὸ εἶναι ἔχει, τοιοῦτόν ἐστιν ἡ σαρξ καὶ ἐν τοῖς οὐκ ἔχουσιν ταύτην τὸ ἀνάλογον αὐτῇ. αὗται μὲν οὖν ἀναγκαῖαι αἰσθήσεις τοῖς ζῴοις πρὸς τὸ εἶναι. διὸ καὶ χωρὶς τούτων ἀδύνατόν τι ζῷον εἶναι. αἱ δὲ λοιπαὶ τρεῖς οὐ πρὸς τὸ εἶναι οὕτως ἔτι, ἀλλὰ πρὸς τὸ εὖ εἶναι συνεργοῦσιν. διὸ οὐδὲ πάντα αὐτῶν μετέχει, ἀλλ' ὅσα ἤδη τελειότερα. τοιαῦτα δὲ τὰ πορευτικά. ταῦτα γὰρ δεῖται οὐ μόνης τῆς πρὸς τὰ προσπίπτοντα αὐτοῖς μένουσιν αἰσθήσεως, ἀλλὰ καὶ τοῦ ἄποθέν τινων αἰσθανόμενα τὰ φθαρτικὰ αὐτῶν φυλάσσεσθαι. διὸ διά τινος μεταξὺ ἡ τούτων αἴσθησις αὐτοῖς καὶ ἐξ ἀποστήματος γίνεται. τῆς δὲ αἰσθητικῆς ψυχῆς καὶ ἡ φανταστική, καὶ ἑπομένη ταύτῃ, ὡς προείρηται. τῆς

---

1 καὶ μὴ πᾶν τρέφειν] aber nicht ganz ernährend 1—2 δεῖ—καὶ μή] es bedarf also dasjenige, dessen Weise die Ernährung ist eines derartigen, damit es wahrnehme, was ernährt und was nicht ernährt 4—5 ἀλλὰ καὶ—συνεργεῖ] auch des Tastens bedarf das Thier, welches schnell ist in seiner Rettung, denn darin hat es ebenfalls eine Hilfe für die Schnelligkeit [der Bewegung] 9—14 εἰ δὲ ἀναγκαῖον—αὐτήν] Da sich nun mit Notwendigkeit ergiebt, dass jedes Thier einen Sinn hat, so hat es den Tastsinn, und es ist unmöglich, dass es eines der tastbaren Dinge an einem der einfachen Körper betaste, denn mit (unter) jenen Sinnen [ita se arab. interpretationis „Körper" emendasse int. hebr. profitetur] wird kein Ding von den sinnlich Wahrnehmbaren, welche ihnen eigentümlich sind, mit Tasten wahrgenommen, sondern die drei von ihnen nehmen ein Ding wahr durch ein anderes Ding, wie erläutert worden ist; die Erde aber ist gänzlich ausserhalb [Betracht], als dass sie auf den Sinn in ihrem Wesen bezogen werden könnte 16 μεσότητί] Gleichsein, Ausgleichung 17 ἐν τοῖς—ταύτην om. 20—21 ἀλλ'—τελειότερα] sondern es wird dadurch das vollkommenere Thier specificirt 23 φυλάσσεσθαι] fliehe und sich hüte

---

1 τρεφεῖν V 10 ἁπτικὴν scripsi: ἁπτὴν Va 11 ante οὐδενὸς colon excidit, fortasse δι' ἁπλοῦ τινος σώματος ((ἐνεργεῖ δὲ τὰ ἄλλα αἰσθητήρια δι' ἁπλοῦ τινος σώματος·) οὐδενὸς γὰρ ἐκεῖνα 12 αἰσθητῶν] supra θ paululum erasum V 13 ὡς δέδεικται] 58,5 sq. ἡ δὲ γῆ κτλ.] cf. Alex. de sens. 83,3 sq. (Thurot) 25 ὡς προείρηται] 66,9 sq.

αὐτῆς δὲ καὶ ὁρμητική τε καὶ ὀρεκτική, οὖσαι μετὰ τὴν φανταστικήν. πᾶσαι γὰρ αὗται μία οὖσαι κατὰ τὸ ὑποκείμενον, ταῖς διαφοραῖς τῶν δυνάμεων αὐταῖς διήρηνται. ἔστι δὲ ἐπὶ ταύταις ἡ λογικὴ ψυχή τε καὶ δύναμις, ἐσχάτη τε καὶ ἐπὶ πάσαις ταῖς ἄλλαις δυνάμεσιν καὶ τοῖς τελείοις τῶν ζῴων μόνοις ὑπάρχουσα, καὶ οὐδὲ τούτοις ἐκ γενετῆς, ἀλλὰ προϊοῦσιν κατὰ τὸν χρόνον.

Ποῦ δέ ἐστιν τὸ ἡγεμονικὸν τῆς ψυχῆς καὶ ἐν τίνι μορίῳ τοῦ σώματος καὶ πότερον ἐν ἑνὶ ὑποκειμένῳ κατ' ἀριθμὸν πᾶσα ἡ ψυχὴ κατὰ τὰς δυνάμεις μόνον καὶ κατὰ τὸν λόγον ἔχουσα τὰς διαφοράς, ἢ καὶ κατὰ τόπον εἰσὶν ἀλλήλων αἱ τῆς ψυχῆς δυνάμεις κεχωρισμέναι, ἄξιον ἐπὶ τούτοις ἰδεῖν. εἰ δὴ ἐν πᾶσιν, ἐν οἷς τὸ μέν τί ἐστι τελειότερον, τὸ δὲ ἀτελέστερον, προσθήκῃ τινὶ τὸ ἀτελὲς γίνεται τέλειον, ἡ δὲ προσθήκη τῷ προϋπάρχοντι προστιθεμένου τινὸς γίνεται, ἔστι δὲ καὶ ἐν τῇ ψυχῇ ἡ προειρημένη διαφορά, | δεῖ καὶ ἐπὶ τῆς ψυχῆς, ἐν ᾧ ἡ ἀτελής, ἐν τούτῳ εἶναι 140r
καὶ τὴν τέλειον, εἴ γε κατὰ ἐπίδοσίν τινα καὶ προσθήκην τὸ ἀτελὲς γίνεται τέλειον. ἔστι δὲ τῶν τῆς ψυχῆς δυνάμεων ἡ θρεπτικὴ δύναμις ἀτελεστέρα. ἐν ᾧ ἄρα ἡ θρεπτικὴ δύναμις, ἐν τούτῳ καὶ αἱ τελειότεραι. ἀλλὰ μὴν περὶ τὴν καρδίαν ἡ θρεπτικὴ ψυχή, εἴ γε τοῦ μὲν ζῆν ἥδε αἰτία, τῷ δὲ ζῆν ὕλη ὑγρότης τε καὶ θερμότης, τοιοῦτος δὲ ὁ περὶ τὴν καρδίαν τόπος μάλιστα, ὡς προείρηται. ἔτι ὡς ἐπὶ τῶν φυτῶν, εὔλογον καὶ ἐπὶ τῶν ἄλλων ἐμψύχων ἔχειν. ἐν δὲ τοῖς φυτοῖς ὅθεν ἡ ἀρχὴ τῆς αὐξήσεως, ἐν τούτῳ καὶ ἡ θρεπτικὴ ψυχή· διὸ μεταξὺ δοκεῖ εἶναι ῥίζης τε καὶ καυλοῦ ἥδε ἡ δύναμις ἐν αὐτοῖς. ὥστε εἴη ἂν καὶ ἐπὶ τῶν ζῴων ἐν τούτῳ ἡ θρεπτικὴ ψυχή, ὅθεν αὐτοῖς ἡ ἀρχὴ τῆς αὐξήσεως. ἀπὸ καρδίας δὲ ἐν αὐτοῖς ἡ τῆς αὐξήσεώς τε καὶ τροφῆς εἰς πᾶν τὸ σῶμα χορηγία. καὶ ἡ θρεπτικὴ ἄρα δύναμις ἐν ταύτῃ ἢ ἐν τῷ ἀνάλογον ταύτῃ. τοῦ δὲ τὴν χορηγίαν τοῖς ζῴοις τῆς τροφῆς ἀπὸ ταύτης εἶναι σημεῖον αἱ φλέβες αἱ τῆς τροφῆς τουτέστι τοῦ αἵματος διάκονοι (ἐσχάτη γὰρ τροφὴ τὸ αἷμα)· αὗται γὰρ διὰ μὲν τῶν ἄλλων μερῶν τοῦ σώματος διαπεφύκασιν, ἐκ δὲ τῆς καρδίας ἐκπεφύκασιν ὡς ἐκ ταύτης τὴν ἀρχὴν ἔχουσαι τῆς βλαστήσεως.

---

3 ψυχή τε καὶ om. 5—6 καὶ οὐδὲ — χρόνον] und dessen Existenz nicht in dieser Art der Thiere von damals geboren worden (von damals, wo es geboren worden ist?), sondern nach längerer Zeit 7 ποῦ δέ ἐστιν] wo sei 14—15 ἐν ᾧ — τέλειον] dass in dem Ding, worin der Mangel in ihr [liegt], auch die Vollkommenheit bestehen wird 16 ἀτελεστέρα] die mangelhafteste 20 ἔτι] also 22 καυλοῦ] ihren Zweigen 24—25 δὲ ἐν αὐτοῖς om. 25 χορηγία] gelangt 26 ταύτῃ] dem Herzen

---

1 fort. δὲ καὶ ἡ οὖσα a 3 διήρηται a 5 ἐκ γενετῆς scripsi: ἐγγενητῆς m¹, ἐκγενητὴς m² V: ἐκ γενητῆς a 7 „περὶ τοῦ ποῦ τακτέον τὸ ἡγεμονικὸν τῆς ψυχῆς καὶ ἐν τίνι μορίῳ τοῦ σώματος". ποῦ δέ Va ἐστιν V: τακτέον a 9 ἢ a: ἡ V 11 εἰδεῖν V 12 προσθήκη a 15 κατ' a 16 ἀτελεστέρα a: ἀτελέστερ̄ (sic) V 16—17 ύναμις — ἡ θρεπτικὴ δύ in mg. suppl. m¹ V 19 ὕλη Va 20 ὡς προείρηται] 39,21—40,3 cf. 49,13.22 77,10

ὧν αἱ μέν τινες αὐτῇ διακονοῦνται πρὸς τὸ τὸ ἀκατέργαστον ἔτι καὶ ἄπεπτον αἷμα ἀπὸ τῶν περὶ τὸ ἦπαρ τόπων δεχομένῃ πέσσειν ἐν αὐτῇ, αἱ δὲ πρὸς τὴν τοὔμπαλιν μετὰ τὴν κατεργασίαν τε καὶ πέψιν ἐπὶ πᾶν τὸ σῶμα παραπομπήν. διὸ καὶ εὐρύτεραι μὲν περὶ τὴν καρδίαν, ἅτε ἔτι οὖσαι ἄσχιστοι, προϊοῦσαι δὲ εἰς τὸ πρόσθεν σχίζονταί τε εἰς πλείω καὶ εἰς στενότητα συνάγονται κατὰ τὸ τῆς διαιρέσεως πλῆθος. ἀλλὰ καὶ τὸ πρώτην φαίνεσθαι τὴν καρδίαν διηρθρωμένην τῶν ἄλλων μερῶν σημεῖον τοῦ μάλιστα καὶ πρώτην ταύτην τρέφεσθαί τε καὶ τὴν θρεπτικὴν δύναμιν ἔχειν ἐν αὐτῇ. τοῦ δὲ περὶ τὴν καρδίαν εἶναι τὴν ζωτικὴν καὶ θρεπτικὴν ψυχὴν σημεῖον καὶ τὸ ἐν τοῖς θανάτοις ταύτην τελευταίαν ἀποψύχεσθαι, ὥσπερ ἀναλυομένης τῆς φύσεως καὶ παλινδρομούσης ἐπὶ τὴν ἀρχὴν ἀπὸ τῶν ἐσχάτων τε καὶ ῥᾷον ἀπὸ τοῦ ζῆν μεθίστασθαι δυναμένων. ἐν τῇ καρδίᾳ δ' ἂν ἡ ἀρχὴ τοῦ ζῆν εἶναι πιστεύοιτο καὶ καθόσον ἕδει μὲν ἐν τῷ ἀσφαλεστάτῳ τε καὶ δυσπαθεστάτῳ εἶναι αὐτὴν ὡς οἷόν τε. ἐν πᾶσι γὰρ ἡ φύσις τῆς τοῦ κατ' αὐτὴν γινομένου σωτηρίας στοχάζεται. ἀσφαλέστατον δὲ τὸ μέσον. τοῦτο δέ ἐστιν ὁ θώραξ τε καὶ ὁ περὶ τὴν καρδίαν τόπος. ἀλλὰ καὶ καθόσον οὗτος ἐν μέσῳ ἐστὶ τῶν ὀργάνων τῶν τε δι' ὧν τὴν τροφὴν λαμβάνομεν, καὶ τῶν, δι' ὧν ἀποσκευαζόμεθα τὰ ἀπ' αὐτῆς περιττώματα ἀμφοτέρων ἐχόντων τινὰ δυσχέρειαν, καὶ κατὰ τοῦτο εἴη ἂν ἐν τῷδε. ἔτι καὶ καθόσον ἐν μέσῳ ὢν πρὸς ἄμφω ἂν τὰ μέρη ὁμοίως ἔχοι καὶ ὁμοίως ἂν αὐτοῖς ἀμφοτέροις χορηγοῖ τῆς τροφῆς, καὶ οὐ τοῖς μὲν πλήσιον τοῖς δὲ πόρρω, καὶ κατὰ τοῦτο ἂν εἴη περὶ καρδίαν. καὶ γάρ ἐστιν ὁ μὲν θώραξ τὸ σῶμα τοῦ ζῴου, τὰ δ' ἄλλα ὡς ὄργανα τούτου καὶ τῆς ἐν τούτῳ δυνάμεως τούτῳ προσπέφυκεν. διὸ εὐλόγως ἂν ἐν τούτῳ εἴη ἡ ἀρχὴ ἡ τοῖς ὀργάνοις χρωμένη. ἔτι δὲ καὶ καθόσον τὴν μὲν κοινὴν δύναμιν τοῖς ζῴοις πᾶσιν εὔλογον ἐν τῷ κοινῷ πᾶσιν αὐτοῖς εἶναι σώματι, κοινὴ δὲ δύναμις ἐν αὐτοῖς

1—3 διακονοῦνται—παραπομπήν] dienen ihm, indem sie in dasselbe giessen, was in ihnen an Blut ist, damit, wenn in dasselbe das Blut gelangt, dessen Kochen nicht gut ist und dessen Eintrocknung nicht bereitet ist, welches es getragen hat, von Seiten der Leber, es dasselbe eintrockne und das Kochen bereite; und einige dienen ihm durch das Tragen (Verbreiten??) dieses Blutes, nachdem das Kochen desselben gut und das Eintrocknen bereitet ist, [damit] es dasselbe in alle übrigen Glieder des Körpers schicke
6—7 τὸ πρώτην—διηρθρωμένην] dass wir sehen, dass das Herz zuerst geschaffen und gelāutert (ausgebildet) wird 9 τὴν ζωτικὴν—ψυχὴν] die lebende Seele, wir meinen das Leben und die Ernährung 10 ὥσπερ] weil 16 θώραξ] Ofen der Brust
17—19 τῶν τε δι' ὧν—δυσχέρειαν] [zwischen den Organen], welche die Extremitäten sind, und in welche es die Ueberschüsse, welche aus ihm entstehen, wirft, die beiden Arten der Organe gemeinschaftlich etwas Uebles trifft (sic) 23 δυνάμεως] der Seele

---

1 αὐτῇ a ἄπεπτον V: ἄπταιστον a 2 ἦπαρ a δεχομένῃ V: δεχομένη a
4 εὐρύτεραι a 5 εἰς στενότητα a: εἰ στενότητα V 8 ἂν a αὐτῇ Va 13 ἐν τῷ V ex. Vict.: αὐτῷ a 14 supra αὐτὴν litura V 20 ἔχει a 21 χορηγοῖ V: χορηγεῖ a καὶ ἐν τοῖς a 24 ἡ ante τοῖς supra lin. V

ἡ θρεπτική, σῶμα δὲ ὁ θώραξ (τὰ ἄλλα γὰρ τούτῳ προσπέφυκεν), [ὥστε] καὶ κατὰ τοῦτο ἂν ἡ τοῦ ζῆν ἀρχὴ περὶ τὸν θώρακα πᾶσιν εἴη. οὐκέτι γὰρ οὕτως κοινὰ τὰ ἄλλα. οὔτε γὰρ κεφαλὴ πᾶσιν κοινόν (ἔστι γὰρ ζῷά τινα χωρὶς τούτου τοῦ μέρους), ἀλλ' οὐδὲ χεῖρες, ἢ πτέρυγες, ἢ πόδες. ἀλλ' εἰ καὶ ἡ κατεργασία τῆς τροφῆς διὰ τοῦ θερμοῦ μάλιστα, εὔλογον ἐν ᾧ τὸ πλεῖστον θερμόν, ἐν τούτῳ καὶ τὴν δύναμιν εἶναι τὴν θρεπτικὴν πρὸς τῷ οἰκείῳ ὀργάνῳ, ὡς ὁ μὲν κυβερνήτης πρὸς τοῖς οἴαξιν, ὁ δὲ χαλκεὺς πρὸς τοῖς χαλκευτικοῖς ὀργάνοις. καὶ ὅτι μὲν ἐν τῷ θώρακι καὶ περὶ καρδίαν ἥ τε θρεπτικὴ καὶ αὐξητική τε καὶ γεννητικὴ ψυχή, ἣν καὶ φυτικὴν καλοῦμεν, ἐκ τούτων καὶ τῶν τοιούτων ἂν δεικνύοιτο. ἀκόλουθον δέ, ἐν ᾧ τοῦτο, ἐν τούτῳ εἶναι καὶ τὴν αἰσθητικήν, ἐν οἷς εἰσιν αἱ δυνάμεις ἀμφότεραι. εἰ γὰρ εἶεν κεχωρισμέναι, οὐκέτ' ἂν τὰ ἔχοντα ἀμφοτέρας τὰς δυνάμεις μίαν ἔχοι ψυχήν, ἀλλὰ πλείους. αὐτὴ γὰρ καθ' αὑτὴν οὖσα ἡ θρεπτικὴ δύναμις ἐν τοῖς φυτοῖς ἔμψυχα αὐτὰ παρεῖχεν. ὥστε ἔσται καὶ ἐν τῷ ζῴῳ ἔμψυχον τὸ μόριον τὸ ταύτην τὴν δύναμιν ἔχον καθ' αὑτό. εἰ δὲ τοῦτο, δῆλον ὅτι καὶ τὸ τὴν αἰσθητικὴν ἔχον πάλιν ἂν ἔμψυχον εἴη καθ' αὑτό. οὕτως δὲ δύναιντ' ἂν αἵδε αἱ δυνάμεις χωρίζεσθαι ἀπ' ἀλλήλων, ὡς εἶναι ἐν τῷ ζῴῳ τὸ μέν τι τρεφόμενον μόνον καὶ διὰ τοῦτο ζῶν, τὸ δὲ αἰσθανόμενον μόνον, οὐκέτι δὲ καὶ τρεφόμενον. ἀλλὰ μὴν ἀδύνατον εἶναι τὴν αἰσθητικὴν χωρὶς τῆς θρεπτικῆς. οὐ γὰρ οἷόν τέ τι αἰσθάνεσθαι μέν, μὴ τρέφεσθαι δέ, ἢ τὴν θρεπτικὴν χωρὶς τῆς αἰσθητικῆς ἐν οἷς εἰσιν ἄμφω. οὐ σημεῖον τὸ φθειρομένης τῆς ἁφῆς μηδὲ ζῆν ἔτι δύνασθαι τὸ ζῷον. καίτοι, εἰ ἦν ἡ θρεπτικὴ κεχωρισμένη, φθαρείσης τῆς αἰσθητικῆς οἷόν τε ἂν ἦν ζῆν ἔτι τὸ ζῷον, ἔχον γε τὴν θρεπτικὴν δύναμιν, ἥτις ἦν τοῦ ζῆν χορηγός. ἔτι δέ, εἰ ἀναγκαῖον τὸ αἰσθητικὸν μὴ διεσπάσθαι, ἀλλ' εἶναι τήνδε τὴν δύναμιν περὶ ταὐτό τι, προδήλως δὲ διὰ τῶν ἀνατομῶν εὑρίσκεται ἀρχὴ οὖσα ἡ καρδία τῆς τε ἁφῆς καὶ τῆς γεύσεως, εἶεν ἂν καὶ αἱ λοιπαὶ περὶ τὴν καρδίαν. καὶ γὰρ αἱ τρεῖς εἰ καὶ μὴ ἐξ εὐθείας πρὸς τὴν καρδίαν συντέτρηνται, ἀλλ' ἔστιν ἡ ὁδὸς αὐταῖς διὰ τῆς κεφαλῆς. διὰ γὰρ

---

1 σῶμα] der gemeinschaftliche Körper τούτῳ προσπέφυκεν] sind nur um dessentwillen geschaffen 3 οὕτως om. addit: wie die Brust γὰρ ante κεφαλὴ om. 5 καὶ om. 7 ὀργάνῳ] Organe 7—8 ὁ δὲ χαλκεὺς — ὀργάνοις] und die Ruderer neben den Ruderwerkzeugen 10 ἀκόλουθον] nötig 18 τὸ μέν τι] ein Teil seiner Glieder 23 καίτοι εἰ] denn wenn κεχωρισμένη] getrennt würde und für sich selbst getrennt würde (sic) 25 δέ om. 28 λοιπαὶ] übrigen Sinne 28—29 καὶ γὰρ — κεφαλῆς] denn die drei Sinne, obwohl sie zu dem Herzen nicht übergehen (Passage haben), haben doch einen Weg zu demselben vermittelst des Kopfes 29—97,1 διὰ γὰρ — καρδίαν om.

---

1 fortasse σῶμα δὲ ⟨κοινὸν⟩ v. int. hebr. θῶραξ V ὥστε delevi 3 οὕτως τὰ κοινὰ a 8 καρδίαν a 9 τε ante καὶ om. a γεννητικὴ a 17 αἱ supra lin. V 21 ἡ τὴν V: ἡ τὴν a 25 ἀναγκαῖον a διεσπᾶσθαι a 29 αὐτῆς διὰ a fortasse κεφαλῆς πρὸς αὐτήν cf. int. hebr.

τῆσδε | καὶ ταύταις ἡ ἄνοδος ὡς ἐπὶ ἀρχὴν τὴν καρδίαν. τοῦτό τοι καὶ 141r
ἐν τοῖς φόβοις καὶ ταῖς ὀργαῖς καὶ ὅλως ἐν τοῖς πάθεσιν τὴν ἀρχὴν ἀπὸ
τῆς αἰσθήσεως ἔχει τοῦτο μάλιστα τὸ μόριον. προκινεῖταί τε γὰρ καὶ προ-
πάσχει ὥσπερ ζῷόν τι ὂν ἐν ζῴῳ. ἀλλὰ καὶ εἰ μήτε τῶν ἀναίμων τι
μορίων ἐστὶν αἰσθητικόν, ὡς ὀστᾶ, τρίχες, ὄνυχες, μήτε αὐτὸ τὸ αἷμά ἐστι
τὸ ταύτην τὴν δύναμιν ἔχον, δῆλον ὡς τὸ πρῶτον ἔναιμον πρῶτον ἂν εἴη
καὶ αἰσθητικόν· πρῶτον δὲ ἔναιμον ἡ καρδία. τὸ γὰρ ἐν τῷ ἥπατι ἀκατέρ-
γαστον ἔτι καὶ οὐδὲ κυρίως αἷμα. καὶ ὅτι μὲν καὶ ἡ αἰσθητικὴ ὥσπερ καὶ
ἡ θρεπτικὴ περὶ τὴν καρδίαν ἐστὶν ἐν τοῖς καρδίαν ἔχουσιν, ἢ περὶ τὸ
ἀνάλογον ὂν τούτῳ τῷ μορίῳ ἔν τισιν τῶν ζῴων, ἐκ τούτων γνώριμον ἂν
εἴη. ἀλλὰ μὴν ὅπου αἱ αἰσθήσεις τελευτῶσιν, ἐκεῖ καὶ τὴν φανταστικὴν
ψυχὴν ἀναγκαῖον εἶναι, εἴ γε ἡ ἐνέργεια αὐτῆς καὶ τὸ ἔργον περὶ τὰ ἀπὸ
τῶν αἰσθητῶν ἐγκαταλείμματα, ἃ γίνεται ἐν τῷ μορίῳ, ἐν ᾧ ἡ κοινὴ αἴ-
σθησις. τοῦτο δ' ὂν ἡ καρδία δέδεικται· ἀλλὰ μὴν ἐν ᾧ ἡ φαντασία, ἐν
τούτῳ καὶ αἱ συγκαταθέσεις, ἐν ᾧ δὲ αἱ συγκαταθέσεις, ἐν τούτῳ καὶ ὁρ-
μαί τε καὶ ὀρέξεις, αἵτινές εἰσιν ἀρχαὶ τῆς κατὰ τόπον κινήσεως. ὥστε
καὶ ἡ ὁρμητική τε καὶ ὀρεκτικὴ δύναμις τῆς ψυχῆς εἴη ἂν περὶ καρδίαν.
καὶ εὐλόγως· ἐφ' ὃ γὰρ αἱ ἀπὸ τῶν ἔξωθεν κινήσεις τελευτῶσιν ὡς ἐπ'
ἀρχήν, ἀπὸ τούτου εὔλογον γίνεσθαι καὶ τὴν ἀρχὴν τῆς ἐπὶ τὰ ἔξω κινή-
σεως. οὕτως γὰρ ὁρῶμεν καὶ ἐν τοῖς στρατοπέδοις γινόμενον. ἐφ' ὃν γὰρ
αἱ τῶν ἔξωθεν προσαγγελίαι γίνονται, οὗτος δέ ἐστιν ὁ στρατηγός, ἀπὸ τού-
του καὶ αἱ πρὸς τὰ ἔξω κινήσεις τὴν ἀρχὴν λαμβάνουσιν. διὸ καὶ τὰ πρὸς
τὴν κίνησιν ὄργανα ἀπὸ τῆς καρδίας τὴν ἀρχὴν ἔχει. ἀλλὰ καὶ τῆς κινή-
σεως τῆς ἐξ αὐτῶν τοῖς μέρεσιν πᾶσιν ὁρᾶν ἔστι τὸν περὶ τὴν καρδίαν
τόπον ἀρχὴν οὖσαν. ἐφ' ὃ γὰρ μόριον παύεται τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ
μέρη κινούμενα, ἐντεῦθεν αὐτοῖς ἡ τῆς κινήσεως ἀρχή, ὡς ἐν τοῖς περὶ
ζῴων κινήσεως δέδεικται. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν κατὰ τὸ ἄνω τε
καὶ κάτω μερῶν διῃρημένων. πᾶσιν γὰρ τούτοις ἀρχή τε καὶ πέρας ὁ μέσος
τε καὶ περὶ τὴν καρδίαν τόπος ἢ τὸ ταύτῃ ἀνάλογον. ὥστε καὶ ἐκ τούτου

1—4 τοῦτό τοι—ζῴῳ] daher dieses Glied insbesondere bei der Furcht und beim Zorn und überhaupt bei den Vorgängen der Seele, deren Princip im Sinne ist, insbesondere sich vorher bewegt und zuerst Schmerz empfindet nach der Stufe (Art) eines Thieres, das in einem Thiere wohnt 5 ὄνυχες om. 6 πρῶτον om. 11 τελευτῶσιν] der Sitz ist 15 αἱ συγκαταθέσεις] der Beschluss ἐν ᾧ δὲ—συγκαταθέσεις om. 17 ὁρμητικὴ—ψυχῆς] die Kraft der anregenden Seele und der begehrenden 18 ὡς ἐπ' ἀρχήν] wie in ein Ding, welches an seinem Principe zu Ende geht 19 ἀπὸ] in 21 γίνονται] enden 23 post ὄργανα addit: welche Principien derselben sind

---

1 ὡς ἐπὶ ἀρχὴν τὴν καρδίαν] cf. p. 73,24 τοῦτό τοι] cf. p. 8,25. sed ita mihi videntur haec esse legenda: τοῦτό τοι καὶ ἐν τοῖς φόβοις καὶ ταῖς ὀργαῖς καὶ ὅλως ἐν τοῖς πάθεσιν, ⟨ἀ⟩ (cf. int. hebr.) τὴν ἀρχὴν ἀπὸ τῆς αἰσθήσεως ἔχει, τοῦτο μάλιστα τὸ μόριον ⟨κινεῖται⟩. προκινεῖταί τε γὰρ καὶ κτλ. 3 γε γὰρ a 5 τρύχες a 7 ἥπατι a 8 ὅτι V: ἆρα a μὲν om. a 10 ὂν τισι a 12 τὸ om. a 15 καὶ ἡ συγκατάθεσις a 24 ὡς ἐν τοῖς κτλ.] Ar. de mot. animal. 9. 702b12 sq. 28 καὶ ante κάτω in lit. V

δεικνύοιτο ἂν οὖσα ἡ ὁρμητική τε καὶ ὀρεκτικὴ δύναμις περὶ καρδίαν. καὶ εἰκότως ἄρα ἡ καρδία ἔχουσα καὶ τὴν αἰσθητικὴν δύναμιν ἐν ἑαυτῇ καὶ τὴν κινητικὴν πῇ μὲν ὁμοιομερής ἐστι (τοιοῦτον γὰρ τὸ αἰσθητήριον), πῇ δὲ ἀνομοιομερής, τοιοῦτον γὰρ πᾶν πρακτικὸν μόριον, ὡς χείρ, ποός. ἔστι γὰρ ὁμοιομερὴς μὲν κατὰ τὸ σῶμα, ἀνομοιομερὴς δὲ κατὰ τὸ σχῆμα. ἡ μὲν γὰρ σὰρξ οὐ κατὰ σχῆμα σάρξ, ἡ δὲ καρδία κατὰ τὸ σχῆμα τοιαύτη, ὥσπερ καὶ ἡ χείρ. μάθοι δ' ἄν τις, ὅτι τὸ τῆς ψυχῆς ἡγεμονικὸν περὶ καρδίαν, καὶ ἀπὸ τῆς αὐτοῦ τοῦ σπλάγχνου κατασκευῆς, ἣν ἔχει παρὰ τῆς φύσεως τῆς μηδὲν ποιούσης μάτην. ἐν ἀσφαλεστάτῳ τε γὰρ κεῖται τοῦ σώματος (πλείστοις γὰρ καὶ ἰσχυροτάτοις ὀστοῖς καὶ σαρξὶν περιέχεται) ἰσχυροτάτῳ τε χιτῶνι περιείληπται τῷ καλουμένῳ περικαρδίῳ, ὃς οὐδ' ὑπὸ σιδήρου διαιρεῖται ῥᾳδίως, αὐτῆς τε τὸ σῶμα μεταξύ πώς ἐστι νεύρου τε καὶ σαρκός, πρὸς τῇ διὰ τὴν ἐκ τοιούτων σωμάτων σύνθεσιν στερεότητι ἐπιτηδείως ἔχουσα πρός τε τὰς αἰσθητικὰς ἀντιλήψεις (τοιοῦτον γὰρ ἡ σὰρξ) καὶ πρὸς τὴν ἀρχὴν τῆς κινήσεως (τοιαῦτα γὰρ τὰ νεῦρα). ἔχει δὲ καὶ πρὸς μὲν τὸν τῆς θερμότητος ἀναγκαῖον πλεονασμὸν ἐπίκουρον τὸ ἀναπνεόμενον πνεῦμα, ὑφ' οὗ διὰ τὴν συνέχειαν ὑπὸ τῆς ἀπ' αὐτοῦ γινομένης ἐμψύξεως εἰς τὸ σύμμετρον ἄγεται, πρὸς δὲ τὰς πηδήσεις τὰς ἀπὸ τῶν φαντασιῶν ἐγγινομένας αὐτῇ ὁ πλεύμων περικείμενος, ἀραιός τε καὶ εἰκτικὸς ὤν, βοηθεῖ πρὸς τὸ μηδεμιᾷ περιπίπτειν βλάβῃ. εἰκότως δὲ ὑπὸ τοσούτων βοηθεῖται· τῷ γὰρ ἔχειν τὰς κυρίας ἀρχὰς ἐν αὐτῇ καὶ τὸ τυχὸν παθοῦσα ἀπωλείας αἰτία τῷ ἔχοντι αὐτὴν ζῴῳ γίνεται. ἡ γὰρ λεγομένη καρδιακὴ νόσος, ἣν νόσον σώζεταί τινα νοσήσαντα, οὐ καρδίας, ἀλλὰ στομάχου πάθος ἐστίν. ὅτι δὲ καὶ τὸ λογιστικὸν μόριον τῆς ψυχῆς, ὃ καὶ ἰδίως ἡγεμονικὸν καλεῖται, ἐν τῇ καρδίᾳ καὶ αὐτό, δεικνύοιτο ἂν τῷ εἶναι μὲν τοῦ λογιστικοῦ τὸ μὲν πρακτικόν, οὗ ἁμῆγέπῃ καὶ τῶν ἀλόγων ζῴων κοινωνεῖ τινα, τὸ δὲ θεωρητικόν, ὃ ἴδιον ἀνθρώπου. ὧν τὸ μὲν πρακτικόν, ὃ καὶ βουλευτικόν τε καὶ λογιστικὸν καλοῦμεν, ἀκόλουθον εἶναι, ἔνθα τὸ ὀρεκτικόν τε καὶ κατὰ τόπον κινητικόν. ἔνθα γὰρ τὸ ὀρεκτικόν, ἐκεῖ καὶ

1—3 καὶ εἰκότως—ὁμοιομερής ἐστι] auch ergiebt sich, dass das, wodurch das Herz die sinnliche Kraft und die bewegende Kraft besitzt, von einer Seite gleichteilig ist
4—7 ἔστι γὰρ—ἡ χείρ] das Herz ist nämlich gleichteilig in seinem Körper und ungleichartig in seiner Gestalt. Denn das Herz, insofern es ein Körper ist, ist es Fleisch, und insofern es in dieser Gestalt ist, in welcher es ist, ist es Herz, und ebenso die Hand
7 περὶ καρδίαν] vom Herzen kommt 8 σπλάγχνου] Körpers 11 περικαρδίῳ] Schild des Herzens 13 τοιούτων] diesen zwei [Körpern] στερεότητι] Zuversicht und Hoffnung 14 ἐπιτηδείως] bereit und vorbereitet 18 ἐμψύξεως] Anwehen
20—21 εἰκότως—βοηθεῖται] notwendig ist es verknüpft mit allen diesen Gelenken
22 τῷ—ζῴῳ] für das, was Leben besitzt 24 πάθος] Krankheit

1 ἂν om. a περὶ] ρι in lit. V 2 ἐν αὐτῇ a 8 σπλάγχνου a 10 ἰσχυροτάτοις a: ἰσχυρωτάτοις V 19 πνεύμων ἐπικείμενος a 21 αὐτῇ Va 22 αἴτιον a
24 ὅτι V: ἄρα a 26 ἁμῆγεπὴ a

τὸ βουλητικόν. ὄρεξις γάρ τις ἡ βούλησις. ὅπου δὲ τὸ βουλητικόν, ἐκεῖ καὶ τὸ βουλευτικόν τε καὶ τὸ λογιστικόν. ἡ γὰρ βούλησις ὄρεξις βουλευτικὴ τε καὶ λογιστική. ἀλλὰ καὶ ὅπου τὸ αἰσθητικόν, ἐκεῖ καὶ τὸ συγ- 45
καταθετικόν. ὅπου δὲ τοῦτο, ἐκεῖ καὶ ᾧ ὑπολαμβάνομεν καὶ ᾧ δοξάζομεν καὶ ᾧ διανοούμεθά τε καὶ ἐπιστάμεθα. πάντα γὰρ ταῦτα μετὰ συγκαταθέσεως.· ἀλλὰ μὴν ᾧ ἐπιστάμεθα, ἐν τούτῳ καὶ ὁ θεωρητικὸς νοῦς. καθόλου δέ, εἰ μὲν ἐδύνατο ἡ λογικὴ δύναμις αὐτὴ καθ' αὑτὴν εἶναι χωρὶς τῶν πρὸ ταύτης εἰρημένων θρεπτικοῦ αἰσθητικοῦ φανταστικοῦ ὁρμητικοῦ, ἐνεδέχετο μὲν ἂν καὶ ἐν ἡμῖν εἶναι κεχωρισμένην κατὰ τὸ ὑποκείμενον τήνδε τὴν δύναμιν τῶν πρὸ αὐτῆς. οὐ μὴν ἀλλ' ἀναγκαῖον ἂν ἦν πλείους λέγειν 50
ψυχὰς ἡμᾶς ἔχειν, καὶ εἶναι ἕκαστον τῶν ἀνθρώπων ζῷα πλείω. εἰ δ' ἀδύνατον τοῦτο (ἀναγκαῖον γὰρ τὸν τὴν ἐσχάτην τῆς ψυχῆς δύναμιν ἔχοντα καὶ τὰς πρὸ ταύτης ἔχειν· τελειότης μὲν γὰρ τῆς ψυχῆς ἥδε ἡ δύναμις, ἡ δὲ τελειότης ἐπ' ἐκείνῳ καὶ σὺν ἐκείνῳ ἐστίν, οὗ ἐστι τελειότης), ἀνάγκη καὶ τὴν λογιστικὴν ψυχὴν εἶναι περὶ καρδίαν. ἔτι εὔλογον μὲν μήτε τὸ πρακτικὸν τῆς ψυχῆς διεσπάσθαι, ὡς εἶναι ἐν ἄλλῳ καὶ ἄλλῳ μορίῳ, ἀλλ' ἐν τῷ αὐτῷ πᾶν αὐτὸ εἶναι, μήτε πάλιν τὸ | κριτικόν, ἀλλ' εἶναι καὶ τοῦτο 141v
πᾶν ἐν τῷ αὐτῷ, εἰς δύο δὲ ταῦτα ἀνάγονται αἱ δυνάμεις τῆς ψυχῆς, τό τε πρακτικὸν καὶ τὸ κριτικόν. ⟨ἔτι⟩ εἰ ἔστιν, ἐν ᾧ τὸ θρεπτικόν, ἐν τούτῳ καὶ τὸ αἰσθητικόν, ἀνάγκη ἐν τῷ αὐτῷ κατ' ἀριθμὸν εἶναι πᾶσαν τὴν ψυχήν. τὸ μὲν γὰρ θρεπτικὸν ἀρχὴ τῆς πρακτικῆς ψυχῆς (ταύτης γὰρ τοῦτό τε καὶ τὸ ὁρμητικόν καὶ τὸ ὀρεκτικόν), τὸ δέ γε αἰσθητικὸν πάλιν ἀρχὴ τῆς κριτικῆς. τοῦ γὰρ κριτικοῦ καὶ τὸ φανταστικόν, ἔτι δὲ τὸ βου- 5
λευτικόν τε καὶ θεωρητικόν. ἀλλὰ μὴν περὶ τὴν καρδίαν ἄμφω ἐκεῖνα ὄντα ἐδείχθη. περὶ ταύτην ἄρα καὶ αἱ λοιπαὶ τῆς ψυχῆς δυνάμεις. περὶ καρδίαν ἄρα τὸ τῆς ψυχῆς τῆς ἐν τοῖς ζῴοις τὸ ἡγεμονικόν. ἔστι δὲ ἐν ἑκατέρᾳ δυνάμει, τῇ τε κριτικῇ καὶ τῇ πρακτικῇ, τὸ μὲν ὑπηρετικόν, τὸ δὲ ἡγεμονικόν· αἵ τε γὰρ κρίσεις ὑπηρεσίας ὀργανικῆς δέονται (τοιαῦτα γὰρ τὰ αἰσθητήρια), αἵ τε πράξεις καὶ αὐταὶ δι' ὀργάνων ἐπιτελοῦνται. 10
χεῖρες γὰρ καὶ πόδες πρὸς τὰς πράξεις ὄργανα φανερώτατα. τὰ δὲ λεγόμενα πρὸς δεῖξιν τοῦ τὸ ἡγεμονικὸν περὶ κεφαλήν τε καὶ ἐγκέφαλον εἶναι

1—2 βουλητικόν—ἐκεῖ καὶ τὸ om. 2 βούλησις] Meinung, Ansicht 4—5 ὑπολαμβάνομεν—ἐπιστάμεθα] Denken, Einsicht, Wissenschaft 5 πάντα—ταῦτα] denn diese sind zuerst 6 ἀλλὰ μήν] und 7 αὐτὴ καθ' αὑτὴν om. 10 πλείους] viele, nicht eine Seele 11 πλείω] viele, nicht ein Thier τελειότης—ἥδε ἡ δύναμις om. 15—16 ἔτι εὔλογον—τῆς ψυχῆς] Ferner, wenn es nötig ist, dass der praktische Teil der Seele [vielfach sei; apod. deest] 17—18 μήτε πάλιν—ἐν τῷ αὐτῷ] und ebenso verhält es sich mit dem erkennenden Teile, dass er nicht vielfach sei, sondern dass er ganz in ein und demselben Gliede sein muss 18 δὲ] und 20 κατ' ἀριθμὸν om. πᾶσαν om. 21 ταύτης] dieser Seele 22 τοῦτο] die Ernährung 25—26 περὶ καρδίαν om. 28 αἱ .. κρίσεις] die Erkenntniss

15 ἔτι scripsi cf. int. hebr.: εἴτε Va 16 διεσπᾶσθαι a 19 ἔτι εἰ scripsi: εἰ Va 23 της V τὸ post καὶ supra lin. V 26 τὸ τῆς ψυχῆς τῆς κτλ. τὸ ἡγεμονικόν] cf. 50,20

τὰ μέν ἐστι κενά, ὅσα δὲ ἔχεταί τινος πιθανότητος, τούτοις ἡ συμπάθεια τῶν ἐν τῷ τοῦ ζῴου σώματι μορίων αἰτία τῆς πλάνης. πάντα γὰρ τὰ μόρια ἀλλήλοις ἐστὶν ἐν τῷ σώματι συμπαθῆ, εἴπερ πᾶν ὄργανον καλῶς ἡρμοσμένον. διὰ γὰρ τὴν τοιαύτην συμπάθειαν ψηλαφωμένων τέ τινων περὶ τὸν ἐγκέφαλον γίνεταί τινα περὶ τὸν ἄνθρωπον πάθη καὶ νοσούντων μὲν τῶν περὶ τὴν κεφαλὴν παραφροσύναι γίνονται, θεραπευομένων δὲ ἀποκαταστάσεις, ὥσπερ καὶ ἄλλων μορίων θεραπευομένων ἄλλα ὑγιάζεται οὐδὲν ἐκείνοις ἐοικότα. ἀλλ' οὐδὲ αἱ τῶν μορίων ἀφαιρέσεις, ἃς ἐπί τινων ζῴων ποιοῦνται, δεικτικαὶ τοῦ προκειμένου. κοιναὶ γάρ εἰσιν πρὸς ἀμφότερα. ὡς γὰρ καρδίας ἐξαιρεθείσης ἔνια ζῷα διαμένει ζῶντα πλείω χρόνον, ὡς χελώνη καὶ χαμαιλέων, οὕτως καὶ κεφαλῆς ἀφαιρεθείσης τινῶν ζῴων ἐπὶ πολὺ τὸ λοιπὸν σῶμα ζῇ. πολλάκις δὲ καὶ ἑκάτερον αὐτῶν μένει τὰς οἰκείας ἐνεργείας ἐνεργοῦν. τὸ μὲν οὖν ἡγεμονικὸν τῆς ψυχῆς, ὡς δέδεικται, περὶ τὴν καρδίαν καθίδρυται, τὸ δὲ ὑπηρετικὸν καὶ εἰς τὰ ἄλλα τοῦ σώματος μέρη διατείνει. τό τε γὰρ αἰσθητικὸν εἰς πᾶσαν τὴν σάρκα, ἀλλὰ καὶ τὸ τῆς κινήσεως διακονικὸν εἴς τε νεῦρα καὶ τοὺς μῦς, δι' ὧν ὅλως τῶν μορίων ἡ κίνησίς τε καὶ μετάβασις τοῖς ζῴοις, γίνεται.

3—4 εἴπερ—ἡρμοσμένον] denn alle Glieder des Leibes sind miteinander verbunden, da der Leib in der besten Anordnung construirt ist 4—5 ψηλαφωμένων—ἐγκέφαλον] wenn Dinge das Gehirn bedrängen (in's Gehirn gedrängt werden?) 5—6 καὶ νοσούντων—κεφαλὴν] Wenn Stellen (Ecken?) des Herzens erkranken 6 θεραπευομένων] und wenn es [das Herz?] gesund wird 12 λοιπὸν om. 12—13 πολλάκις—ἐνεργοῦν] manchmal wird jedes von beiden entfernt und es bleiben seine specifischen Tätigkeiten in ihrem Zustande 14 καὶ om. 15 ἀλλὰ om. 16 εἴς τε—μορίων] im Gefäss (Nerv) und im Muskel und überhaupt in den Gliedern, in welchen

1 κενά] supra κεν lit. V 2 αἰτίᾳ a 3 συμπαθῇ a εἴπερ a: ὑπὲρ V 7 ὑγιάζεται a: ὠγειάζεται V 8 ἐοικότα] ότα in lit. V ἀφῃρέσεις a 11 χαμελέων V ἐπιτολὺ a 15 διατήνει a τὸ τῆς V 17 ζῴοις in lit. V

ALEXANDRI APHRODISIENSIS DE ANIMA LIBRI MANTISSA

142r

[ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΠΕΡΙ ΨΥΧΗΣ Β]

Περὶ ψυχῆς τί τέ ἐστι καὶ τίς αὐτῆς ἡ οὐσία καὶ τίνα αὐτῇ τὰ συμβεβηκότα, οὐ πρόχειρον οὐδὲ ἐκ τοῦ ῥᾴστου καταμαθεῖν, ἀλλ' ἔστιν τῶν χαλεπωτάτων ἡ περὶ τούτων θεωρία, καίτοι τό γε εἶναι τὴν ψυχὴν γνωριμώτατον καὶ φανερώτατον. ἀλλ' ἔστιν πολλὰ τῶν ὄντων, ἃ τὴν μὲν ὕπαρξιν ἔχει γνωριμωτάτην, ἀγνωστοτάτην δὲ τὴν οὐσίαν, ὥσπερ ἥ τε κίνησις καὶ ὁ τόπος, ἔτι δὲ μᾶλλον ὁ χρόνος. ἑκάστου γὰρ τούτων τὸ μὲν εἶναι γνώριμον καὶ ἀναμφίλεκτον, τίς δέ ποτέ ἐστιν αὐτῶν ἡ οὐσία, τῶν χαλεπωτάτων ὁραθῆναι. ἔστι δὲ δή τι τῶν τοιούτων καὶ ἡ ψυχή. τὸ μὲν γὰρ εἶναί τι τὴν ψυχὴν γνωριμώτατόν τε καὶ φανερώτατον, τί δέ ποτέ ἐστιν οὐ ῥᾴδιον καταμαθεῖν· εἰ δὴ τὴν ἀρχὴν τοῦ περὶ αὐτῆς λόγου ἄνωθεν ἀρξάμενοι ποιησαίμεθα ἀπὸ τῆς τοῦ ὄντος εἰς τὰ πρῶτα γένη διαιρέσεως καὶ φανερὸν ποιησαίμεθα, ὑπό τί τῶν γενῶν ἐστιν ἡ ψυχή, ἴσως ἂν τούτου κειμένου καὶ τὴν ὅλην οὐσίαν αὐτῆς λάβοιμεν. διαιρουμένου τοίνυν τοῦ ὄντος εἰς τὰ πρῶτα καὶ ἀνωτάτω γένη δέκα ἕν τι τούτων καὶ τὴν οὐσίαν εἶναί φαμεν, ἧς τὴν μὲν σύνθετον λέγομεν, τὰς δὲ ἐξ ὧν τῇ συνθέτῳ τὸ εἶναι. σύνθετον μὲν οὖν οὐσίαν λέγομεν εἶναι ταύτην, ἧς τόδε τι κατηγορῆσαι δυνάμεθα, τὴν αἰσθητήν τε καὶ ἐνεργείᾳ οὖσαν καὶ πᾶσιν τοῖς ἄλλοις γένεσιν τοῦ ὄντος ὑποκειμένην, οἷον τόνδε τὸν λίθον, τόδε τὸ ξύλον, τόνδε τὸν χρυσόν, τόδε τὸ πῦρ καὶ ἕκαστον τῶν τοιούτων. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα πάντα οὐσίαι σύνθετοι. ἔστι γὰρ ἐν αὐτοῖς τὸ μέν τι ὑποκείμενον, ὃ ὕλην καλοῦμεν, δύναμιν ἔχον τοῦ εἰδός τι ἐν αὑτῷ δέχεσθαι, τὸ δὲ εἶδος, ὃ δεξάμενον τὸ ὑποκείμενον ἀδιάφορον ὂν πᾶσιν κατὰ τὴν αὐτοῦ φύσιν, ἐν οἷς ἐστι, διάφορόν τε γίνεται καὶ ἤδη τόδε τι, τὸ μὲν γὰρ ἄργυρος, τὸ δὲ χρυσός, τὸ δὲ πῦρ, τὸ δὲ ἄλλο τι. πάντα γὰρ ταῦτα, ταὐτὸν ἀλλήλοις ὄντα κατὰ τὴν ὕλην τε καὶ τὸ ὑποκείμενον, κατὰ τὸ εἶδος ἔχει τὴν διαφοράν. ἀναλόγως γὰρ ὡς ἐπὶ τῶν κατὰ τέχνην γινομένων ἔχει, οὕτως

---

3 τις] post ι una lit. er. V 7 γνωριμωτάτην] ην in lit. V ἀγνωστοτάτην a
9 ἀναμφίλεκτον a: ἀναφλεκτον V 14 ποιησαίμεθα om. a 17 τὰς V: τῆς a
23 αὐτῷ Va 24 fortasse ὂν (ἐν) πᾶσιν αὐτοῦ Va 28 γινομένων] post ο una lit. erasa V

ἠγητέον ἔχειν καὶ ἐπὶ τῶν φυσικῶν οὐσιῶν· ὥσπερ γὰρ ἐπὶ τῆς τέχνης, τῆς ἀνδριαντοποιικῆς φέρε εἰπεῖν, ὁ μὲν χαλκὸς ὑπόκειται πᾶσι τοῖς ἐξ αὐτοῦ γινομένοις ὑπὸ τοῦ τεχνίτου, τὰ δὲ κατὰ τὴν τέχνην εἴδη γινόμενα ἐν αὐτῷ τῆς τε διαφορᾶς αἴτια καὶ τοῦ τόδε τι εἶναι ἕκαστον αὐτῶν, τὸν μὲν διαχεύοντα, τὸν δὲ διαδούμενον, καὶ ἔστιν ἕκαστον αὐτῶν σύνθετον ἔκ τε τοῦ χαλκοῦ καὶ τῆς τοιᾶσδε μορφῆς, οὕτως ἠγητέον ἔχειν καὶ ἐπὶ τῶν συνθέτων οὐσιῶν. καὶ γὰρ ἐν ταύταις, τὸ μέν ἐστιν ὑποκείμενον, τὸ δὲ εἶδος, καθ' ὃ καὶ ἕκαστον αὐτῶν ἐστι τόδε τι, τὸ μὲν ὕδωρ, τὸ δὲ ἀήρ, τὸ δὲ ἄλλο τι . . . |

. . . μένης τῆς ψυχῆς ἐν τῇ πρὸς τὸ σῶμα μίξει τὸ ζῷον γίνεται. 142r
εἰ δὲ κατὰ μηδέτερον τῶνδε τῶν τρόπων τὸ ζῷον οὐσία σύνθετος, κατὰ τὸν τρίτον λείπεται ἄρα. ἦν δ' οὗτος, καθ' ὃν ἦν τοῦ συγκειμένου τὸ μὲν ὑποκείμενόν τε καὶ ὕλη, τὸ δὲ εἶδος. οὐ γὰρ δὴ ὡς οἱ ἀριθμοί· ἀσώματον γὰρ τὸ ἐκ τούτων, τὸ δὲ ζῷον οὐ τοιοῦτον. τὸ ἄρα ζῷον, συγκείμενον ἐκ ψυχῆς τε καὶ σώματος, τῷ τὸ μὲν ὑποκείμενον τούτων εἶναι, τὸ δὲ εἶδος ἐκ τούτων ἔχει τὴν σύνθεσιν. λείπεται δὴ ἢ τὸ σῶμα τῆς ψυχῆς εἶδος εἶναι, ἢ τὴν ψυχὴν τοῦ σώματος. ἀλλὰ τὸ μὲν σῶμα τῆς ψυχῆς εἶδος λέγειν ἀδύνατον· ὑποκείμενον γὰρ τὸ σῶμα. ἔτι καὶ ἕκαστον τῶν ὄντων τόδε τι κατὰ τὸ εἶδός ἐστιν, οἷον ἀνδριάς, οἰκία, ναῦς, πῦρ, ὕδωρ, γῆ. καὶ τὸ ζῷον δὲ κατὰ τὴν ψυχὴν ζῷόν ἐστι. ὥστε ἡ ψυχὴ τὸ εἶδος. ἔτι εἰ τοῦτό ἐστιν εἶδος, οὐ μηκέτι παρόντος μηδ' ὄντος ἐν τῷ ὑποκειμένῳ πέπαυται τόδε τι εἶναι ὃ πρότερον ἦν, καὶ τὸ ζῷον δὲ ζῷον εἶναι πέπαυται χωρισθείσης τῆς ψυχῆς ἀπὸ τοῦ σώματος (ὡς γὰρ ὁ πέλεκυς κατὰ τὸ σχῆμα πέλεκύς ἐστι καὶ ἔστιν εἶδος αὐτοῦ τοῦτο, καὶ εἰ ἦν ἔμψυχον, ἦν ⟨ἂν⟩ αὐτοῦ τὸ σχῆμα, ἀλλ' οὐχ ὁ σίδηρος ἡ ψυχή, οὕτως καὶ ἡ ψυχὴ ἐν τῷ ζῴῳ ἀνάλογον οὖσα τῷ τοῦ πελέκεως σχήματι, κατὰ γὰρ ταύτην ζῷόν ἐστι τὸ ζῷον), εἴη ἂν ἡ κατὰ τὸ εἶδος οὐσία. ἔτι εἰ, οἷς διαφέρει τὰ φυσικὰ σώματα ἀλλήλων, εἴδη ἐστίν, διαφέρει δὲ τῷ τὰ μὲν ἔμψυχα εἶναι, τὰ δὲ ἄψυχα, εἴη ἂν καὶ ἡ ψυχὴ εἶδος. ἔτι εἰ, ᾧ πρώτῳ ἐπισταίμεθα. ἐπιστήμη ἐστί (κατὰ γὰρ τὴν ἐπιστήμην ἐπιστάμεθα), καὶ ἔστιν ἡ ἐπιστήμη οὐχ ὑποκείμενόν τι, ἀλλ' ὃ τὸ ὑποκείμενον δεξάμενον δευτέρως ἐπίστασθαι λέγεται (τοῦτο δ' ἐστὶν ψυχή), καὶ ᾧ πρώτῳ ὑγιαίνομεν, τοῦτό ἐστιν ὑγίεια, τοῦτο δὲ οὐχ ὑποκείμενον (τὸ γὰρ σῶμα ὑποκείμενον, ὃ δέχεται τὴν ὑγίειαν, καὶ δευτέρως ὑγιαζόμενον τοῦτο), ἔστι δὲ καί, ᾧ πρώτῳ ζῶμεν, ψυχή, οὐδὲ ἡ ψυχὴ ὑποκείμενον, ἀλλὰ τοῦτο δ τὸ ὑποκείμενον.

2 ἀνδριαντοποικῆς V.: ἀνδριαντοποιητικῆς a 5 διχεύοντα V γρ. ex. Vict: διασκεύοντα a 9 post ἄλλο τι spatio octo versuum et unius paginae relicto plura deesse indicat V 10 fortasse ⟨οὐ γὰρ φθειρο⟩ μένης τῆς ψυχῆς κτλ. cf. 12,5 12 λείπεται] cf. p. 12,6 13 οὐ γὰρ κτλ.] cf. p. 30,29 18 ἔτι καὶ κτλ.] cf. p. 6,21 24 ἂν addidi 27 fortasse ⟨ψυχὴ⟩ εἴη ἂν ἡ κτλ., ut ψυχὴ ἄρα ἐστὶν ἡ κατὰ τὸ εἶδος οὐσία 103,2 28 διαφέρει a 29—103,3 ἔτι εἰ—κατὰ τὸ εἶδος οὐσία] cf. p. 31,10—25 29 εἰ om. Ka 31 δ—δεξάμενον] cf. p. 101,23 et 31,18. 32 ὑγειαίνομεν Ka 35 οὐδὲ] incipit apodosis τὸ ὑποκείμενον Ka

δεξάμενον ζῆν καὶ αὐτὸ λέγεται δευτέρως, ὡς ὑγιαίνειν τὸ τὴν ὑγίειαν δεδεγμένον σῶμα καὶ ἐπίστασθαι ἡ τὴν ἐπιστήμην δεδεγμένη ψυχή. ψυχὴ ἄρα ἐστὶν ἡ κατὰ τὸ εἶδος οὐσία. τὸ δὲ εἶδος τελειότητά τε καὶ ἐντελέχειαν ὁ Ἀριστοτέλης λέγει. ὥστε εἰκότως καὶ ἡ ψυχὴ οὐσία οὖσα ἡ κατὰ τὸ εἶδος ἐντελέχεια καλεῖται παρ' αὐτοῦ. ἐπεὶ γὰρ τῶν ὄντων τὰ μὲν δυνάμει λέγεται εἶναι, τὰ δὲ ἐντελεχείᾳ, καὶ ἔστι τὰ ἐντελεχείᾳ εἶναι λεγόμενα τὰ ἤδη τὸ εἶδος, ὃ ἐδύνατο ἔχειν, ἔχοντα καὶ τὴν μορφήν, εἰκότως οὗ παρουσίᾳ τὸ δυνάμει τι ὂν εἰς τὸ ἐντελεχείᾳ γίνεται, ἐντελέχεια τοῦτο. τὸ δὲ δυνάμει ζῷον, ὥσπερ τὸ σπέρμα, ἐντελεχείᾳ ζῷον γίνεται παρουσίᾳ ψυχῆς. εἴη ἂν οὖν καὶ οὕτως δεικνύμενον, ὅτι ἡ ψυχή ἐστιν εἰδός τε καὶ ἐντελέχεια. ἔστι δὲ ἐντελέχεια ἡ μέν τις πρώτη, ἡ δὲ δευτέρα. αἱ μὲν γὰρ ἐπιστῆμαι καὶ τέχναι καὶ ὅλως αἱ ἕξεις ἐντελέχειαι πρῶται, αἱ δὲ κατ' αὐτὰς καὶ ἀπ' αὐτῶν ἐνέργειαι ἐντελέχειαι δεύτεραι. ὁ γὰρ μουσικὸς ἐντελεχείᾳ μέν ἐστι τοιοῦτος (ἔχει γὰρ τὴν μουσικήν), ἀλλ' ἔστιν κατὰ τὴν πρώτην ἐντελέχειαν οὗτος ἐντελεχείᾳ λεγόμενος μουσικός, ἤδη δὲ καὶ ὁ ἐνεργῶν κατὰ τὴν μουσικήν, ὃς καὶ τὴν δευτέραν ἐντελέχειαν ἤδη προσείληφεν. οὔσης τοίνυν διττῆς τῆς ἐντελεχείας ἡ ψυχὴ ἐντελέχειά ἐστιν ὡς ἡ ἕξις. οὐδὲν γὰρ ἧττον ἔχει ψυχὴν καὶ ὁ μὴ ἐνεργῶν κατ' αὐτήν, ὡς ὁ κοιμώμενος. οὐ γὰρ ἐνεργῶν τότε κατ' αἴσθησιν ὅμως τὴν αἰσθητικὴν ἔχει ψυχήν. ἐντελέχεια οὖν ἐστιν ἡ ψυχὴ πρώτη. ἐπεὶ δὲ πᾶν εἶδος καὶ πᾶσα ἐντελέχειά τινός ἐστι, δῆλον ὅτι ἀκόλουθόν ἐστι ἐπισκέψασθαι, τίνος. τὸ μὲν οὖν εἶναι σώματος σχεδὸν ἤδη δέδεικται. ὄντος γὰρ τοῦ ζῴου οὐσίας συνθέτου ἐξ ὑποκειμένου τε καὶ εἴδους, τὸ μὲν ὑποκείμενον ἦν σῶμα ἐν αὐτῷ, ἐντελέχεια δὲ ἡ ψυχή. ἀλλ' ἐπεὶ τῶν σωμάτων τὰ μέν ἐστι τεχνικά, τὰ δὲ φυσικά, ποδαποῦ τινος σώματός ἐστιν ἐντελέχεια ἡ ψυχή; οὐ γὰρ δὴ ἐν παντί γε σώματι οἵα τε ψυχὴ γενέσθαι. τεχνικοῦ μὲν οὖν οὐδενός· ἦν γὰρ ἂν καὶ αὐτὴ τεχνικὸν εἶδος ὡς τὸ τοῦ ἀνδριάντος, καὶ ἦν ἂν τὰ ζῷα ὑπὸ τέχνης γινόμενα, ὥσπερ τὰ ἀγάλματα, οὕτως δ' οὐκ ἂν εἴη οὐδὲ οὐσία. τὸ γὰρ τεχνικὸν εἶδος οὐκ οὐσία. φυσικοῦ τοίνυν σώματος ἐντελέχεια ἡ ψυχή (ἔστι δὲ σῶμα φυσικὸν τὸ ἀρχὴν ἔχον κινήσεως ἐν αὑτῷ), καὶ γὰρ καὶ τὸ ζῷον φύσει, οὗ μόριον ἡ ψυχή. ἀλλ' ἐπεὶ καὶ τῶν φυσικῶν σωμάτων εἰσὶν διαφοραί (τὰ μὲν γάρ ἐστιν αὐτῶν ἁπλᾶ, τὰ δὲ σύνθετα, καὶ οὐδενὸς τῶν ἁπλῶν σωμάτων ἐντελέχειά ἐστιν ἡ ψυχή· οὔτε γὰρ τὸ τοῦ πυρὸς οὔτε τὸ τοῦ ἀέρος οὔτε τὸ τοῦ ὕδατος, ἀλλ' οὐδὲ τὸ τῆς γῆς εἰδός ἐστι ψυχή, ἐπεὶ μηδὲ ζῷόν τι τούτων) ποδαπόν τι σῶμα τὸ τοῦ ζῴου οὗ ἐστιν ἐντελέχεια ἡ ψυχή; ἐπεὶ τοίνυν πᾶν σῶμα ψυχὴν ἔχον καὶ ζῶν τρέφεταί τε καὶ αὔξεται δι' αὐτοῦ (ταύτῃ γὰρ τὸ ζῶν τοῦ μὴ ζῶντος διαφέρει), ἡ δὲ τροφὴ καὶ ἡ πέψις καὶ ἡ προ-

---

3—5 τὸ δὲ εἶδος—αὐτοῦ] cf. p. 15,29 sq. 6 ταὸ' K: τὰ δ' a 7 ἤδη V ex. Vict: εἴδη Ka 8 ἐντελέχεια VK: ἐντελεχείᾳ a (ut 6) 10 παρουσίᾳ VKa ἂν οὖν scripsi: post ἂν videtur οὖν erasum esse V: ἀν Ka ὅτι V: ἄρα Ka 16 μουσικήν] sc. *is est, qui* 18 οὐδὲν γὰρ ἧττον κτλ.] cf. p. 16,12 23 οὐσία Ka 25 ποδαποῦ] post o una lit. eras. V 28 ἂν om. Ka 31 αὐτῷ VKa 37 αὐτοῦ VKa

σθήκη τε καὶ αὔξησις δέονταί τινων ὀργάνων (τὰ μὲν γὰρ στόματος καὶ φάρυγγος καὶ κοιλίας καὶ ἐντέρων χρείαν ἔχει πρὸς ταῦτα, τὰ δὲ ῥιζῶν καὶ ἐντεριώνης καὶ φλοιοῦ· ὅσα δὲ τῶν ζῴων τελειότερα, πλειόνων κατ' ἀναλογίαν χρήζει καὶ τῶν ὀργάνων, καὶ τῶν ψυχικῶν δυνάμεων πασῶν διά τινων οἰκείων ἐνεργουσῶν ὀργάνων, ὡς φανερὸν ἐπὶ τῶν αἰσθήσεων), εἴη ἂν ἡ ψυχὴ ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ. οὐδὲν γὰρ σῶμα οἷόν τε ζῆν ἢ ψυχὴν ἔχειν μὴ ὂν ὀργανικὸν | μηδὲ ἔχον τὰ διακονησόμενα ταῖς ψυχικαῖς δυνάμεσιν. καὶ οὗτος μὲν ἂν ὅρος τε καὶ λόγος κοινότατος ψυχῆς εἴη. ἐμπεριείληπται γὰρ ἐν αὐτῷ καὶ ἡ τῶν φυτῶν ψυχή. γίνεται δὲ ὁ λόγος ἡμῖν περὶ ψυχῆς τῆς ἐν τοῖς θνητοῖς γινομένης σώμασιν. ὅταν δὲ λέγωμεν τὴν ψυχὴν εἶναι σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος, οὐχ οὕτως τὸ δυνάμει κατηγοροῦμεν τοῦ σώματος τότε, ὡς εἰώθαμεν λέγειν ἐπὶ τῶν μηδέπω μὲν ἐχόντων τι, ἐπιτηδείων δὲ πρὸς τὸ δέξασθαι. οὐ γάρ ἐστι τὸ σῶμα τοῦτο χωρὶς ψυχῆς πρότερον, εἶτα δέχεται τὴν ψυχήν, ἀλλ' ἔστιν τὸ δυνάμει ζωὴν ἔχον τὸ δυνάμενον ζῆν, τουτέστιν τὸ ἔχον ὄργανα πρὸς τὰς κατὰ τὸ ζῆν ἐνεργείας καὶ ἔστιν ἴσον τὸ 'δυνάμει ζωὴν ἔχον' τῷ 'ὀργανικόν'. εἰ δέ ἐστιν ἡ ψυχὴ σώματος εἰδός τε καὶ ἐντελέχεια, δῆλον ὡς ἀσώματος ἔσται. πᾶν γὰρ εἶδος ἀσώματον. εἰ γὰρ εἴη καὶ τὸ εἶδος αὐτὸ σῶμα, ἤτοι ἀνείδεόν τε καὶ ἄποιον ἔσται (τοιοῦτον δὲ ἡ ὕλη), ἢ εἰ εἶδος ἕξει, καὶ τὸ εἶδος, ὃν σῶμα, ἄλλο εἶδος, εἰς ἄπειρον προελεύσεται. ἔστι δὲ ἡ ψυχὴ ἐντελέχεια οὖσα δι' ὅλου τοῦ σώματος. πᾶν γὰρ ἔμψυχον τὸ ἐμψύχου μέρος. καὶ ἔστιν ἐντελέχεια ἡ ψυχὴ οὔτε ὡς τὸ σχῆμα τῶν ἐσχηματισμένων, οὔτε ὡς ἡ θέσις καὶ τάξις τῶν συγκειμένων, οὐδ' ὡς διάθεσίς τις καὶ πάθος, οὔθ' ὡς μῖξις ἢ κρᾶσις (ἡ μὲν γὰρ ἡδονὴ καὶ ἡ ἀλγηδὼν πάθος ἢ διάθεσις, ἀλλ' οὐθὲν ἡ ψυχὴ τούτων), ἀλλὰ πάντως μὲν ἐν τῷ σώματι παραγίνεται ταῦτα (διὰ γὰρ τούτων τὰ ὄργανα οἷς ἡ ψυχὴ χρῆται), αὕτη δέ ἐστι δύναμίς τις καὶ οὐσία ἐπὶ τούτοις γινομένη. καὶ ἔστι τὸ σῶμα καὶ ἡ τούτου κρᾶσις αἰτία τῇ ψυχῇ τῆς ἐξ ἀρχῆς γενέσεως. τοῦτο δὲ δῆλον ἐκ τῆς τῶν ζῴων διαφορᾶς κατὰ τὰ μόρια. οὐ γὰρ ψυχαὶ διαπλάσσουσι τὰς μορφάς, ἀλλ' ἐπὶ τῇ τούτων ποιᾷ συστάσει ἐπηκολούθησαν αἱ διάφοροι ψυχαί, συμμεταβάλλουσιν δὲ ἀλλήλοις· ἔστι γὰρ ἀλλήλων ἥ τε ἐντελέχεια καὶ τὸ οὐ ἐντελέχεια. ὅτι δὲ τῇ ποιᾷ κράσει τοῦ σώματος καὶ ἡ τῆς ψυχῆς ἕπεται διαφορά, δηλοῖ καὶ τὰ θηρία παρὰ τὴν ποιὰν κρᾶσιν τοῦ σώματος ἀλλοιοτέραν ἴσχοντα τὴν ψυχήν. ἃς δὲ φαμεν τῆς ψυχῆς ἐνεργείας εἶναι, οὐκ εἰσὶν τῆς ψυχῆς αὐτῆς καθ' αὑτήν, ἀλλὰ τοῦ ἔχοντος αὐτήν. ὡς γὰρ οὐ βαδίζει ἡ ψυχὴ αὐτὴ οὐδὲ παλαίει, ἀλλ' ὁ ἔχων αὐτὴν ἄνθρωπος, οὕτω καὶ λυπεῖται καὶ ὀργίζεται καὶ

1 στόματος V: σώματα Ka 5 εἴη ἂν ἡ ψυχὴ κτλ.] cf. p. 16,2 8 fortasse δυνάμεσιν ⟨ὄργανα⟩ τε om. K 10 γίνεται δὲ κτλ.] cf. p. 28,25 11 ἔχοντος] alterum o in lit. V 12 κατηγοροῦμεν a 15—17 τὸ δυνάμενον — ζωὴν ἔχον om. K 17 ὀργανικόν] cf. p. 16,11 sq. 18 δῆλον ὡς ἀσώματος κτλ.] cf. p. 17,10 sq. 20 ἢ εἰ εἶδος m², ἢ εἶδος m¹ V: ἢ εἶδος Ka 25 ἀλγηδὼν Ka 26 ἀλλὰ] supra primam lit. paululum erasum V 27 τις supra lin. V 34 ἃς δὲ φαμεν κτλ.] cf. p. 23,8 sq., ubi superfluum supplementum meum 36 παλαίει V ex. Vict.: πάσχει K: παλαιὰ a

χαίρει καὶ ὀργίζεται τὸ τὴν ψυχὴν ἔχον, ἀλλ' οὐχὶ ἡ ψυχή· πᾶσαι γὰρ αἱ λεγόμεναι τῆς ψυχῆς κινήσεις τοῦ συναμφοτέρου τοῦ ζῶντός εἰσιν. εἰσὶ δὲ αἱ τῆς ψυχῆς δυνάμεις τάξιν ἔχουσαι πρὸς ἀλλήλας. ἡ μὲν γάρ ἐστιν αὐτῶν πρώτη, ἡ δὲ δευτέρα, ἡ δὲ ἐπὶ ταύταις. σημεῖον δὲ τοῦδε· τὸ μὲν γὰρ πρώτην ἔχον οἷόν τε μὴ μετέχειν τῆς δευτέρας, τὴν δὲ δευτέραν ἀδύνατον ἔχειν ἄνευ τῆς πρώτης. καὶ ἔστι πρώτη μὲν ἡ θρεπτική τε καὶ αὐξητικὴ καὶ γεννητική, ἣν ψυχὴν ἔχει καὶ τὰ φυτά· οὐ γάρ, ὥς τινες ἡγοῦνται, φύσις τοῦτο, ἀλλὰ ψυχῆς δύναμις ἡ πρώτη, ἐπεὶ φύσιν γε ἔχει καὶ τὰ ἁπλᾶ τῶν σωμάτων, ἀλλ' οὔπω ζῆν φαμεν ταῦτα. ἡ γὰρ φύσις ἀρχὴ κινήσεώς ἐστιν. πλέον δέ τι ἢ κατὰ ταύτην ἔχει τὰ φυτά· ἔχει γὰρ καὶ τὸ δι' αὐτῶν τρέφεσθαί τε καὶ αὔξεσθαι καὶ γεννητικὰ εἶναι τῶν ὁμοίων, ἃ κατὰ τὸ ζῆν ὁρίζεται. τὸ δὲ ζῆν παρουσίᾳ ψυχῆς. δευτέρα δὲ ψυχῆς δύναμίς ἐστιν ἡ αἰσθητική, ἧ τὰ ζῷα ὁρίζεται, ἣν οὐχ οἷόν τε χωρὶς τῆς πρώτης ἔχειν. τὰ μέντοι φυτὰ τὴν θρεπτικὴν ψυχὴν ἔχοντα τὴν αἰσθητικὴν οὐκ ἔχει. ἐπὶ δὲ ταύταις ταῖς δυνάμεσίν ἐστι τὸ ὁρμητικὸν συνεζευγμένον τῷ αἰσθητικῷ· οὐδὲν γὰρ ὄφελος τοῖς ζῴοις αἰσθήσεως μὴ ἐνυπαρχούσης ὁρμῆς· τοῦτο γὰρ πάσης ἀρχὴ πράξεως. καὶ ταῦτα μὲν ἀναγκαιότατα καὶ πρῶτα μόρια τῆς ψυχῆς τρία, κοινὰ πᾶσιν ὄντα τοῖς ζῴοις, φυτικόν, αἰσθητικόν, ὁρμητικόν. ἕκαστον αὐτῶν χρήσιμον ὂν πρός τι τούτων, ἐν οἷς τῷ ζῴῳ τὸ εἶναι. ἔστι γὰρ ἔργα τοῦ ζῴου πρῶτον μὲν τὸ εἶναί τε καὶ ζῆν, δεύτερον δὲ κρίσις τῶν προσπιπτόντων, ἐπὶ δὲ τούτοις ἐνέργειά τε καὶ πρᾶξις. ἡ μὲν οὖν φυτικὴ τῆς ψυχῆς δύναμις εἰς τὸ εἶναί τε καὶ ζῆν τῷ ζῴῳ συντελεῖ, ἡ δὲ αἰσθητικὴ πρὸς τὴν κρίσιν, πρὸς δὲ τὸ πράσσειν τὸ ὁρμητικόν. πρᾶξις δέ ἐστι κυρίως ζῴου ἡ μετὰ συγχρήσεως τῶν ὀργανικῶν τοῦ σώματος μορίων ἐνέργεια, ὡς τὸ βαδίζειν, ὡς τὸ λέγειν. διαιρεῖται δὲ ἡ μὲν θρεπτικὴ δύναμις εἴς τε τὸ τρέφειν καὶ εἰς τὸ αὔξειν καὶ εἰς τὸ γεννᾶν, ἡ δὲ αἰσθητικὴ εἴς τε τὸ αἰσθάνεσθαι καὶ φαντασιοῦσθαι καὶ τὸ μνημονεύειν καὶ τὸ συγκατατίθεσθαι, τὸ δὲ ὁρμητικὸν ἐστιν ὥσπερ τέλος τι τῆς φαντασίας καὶ τῆς συγκαταθέσεως. ταύτης γὰρ χάριν ἐκεῖνα. πάντως γὰρ τῆς μὲν ὁρμῆς ἡγεῖται συγκατάθεσις, ταύτης δὲ φαντασία. τούτου δὲ τοῦ ὁρμητικοῦ τε καὶ πρακτικοῦ τὸ μέν ἐστιν ὡς ἡγεμονικόν, τὸ δὲ ὡς ὑπηρετικόν, ἡγεμονικὸν μὲν τὸ ἰδίως ὁρμητικόν τε καὶ ὀρεκτικὸν καλούμενον, τὸ δὲ ἕτερον νευροσπαστικόν, ἐν ᾧ καὶ τὸ φωνητικόν. τοῦ δὲ ὁρμητικοῦ ἐστι τό τ' ἐπιθυμεῖν καὶ θυμοῦσθαι καὶ τὸ βούλεσθαι.

2 εἰσὶ δὲ κτλ.] cf. p. 16,19 4 τὸ μὲν γὰρ κτλ.] cf. p. 29,26sq. 7 καὶ γεν. Va: τε καὶ γεν. K γεννητική VK: γενητική a οὐ in lit. V οὐ γάρ, ὥς τινες κτλ.] cf. p. 31,25 10 πλέον δέ τι ἢ κτλ.] *plus habent plantae, quam haberent secundum naturam solam* cf. ἀλλ' ἐκεῖνος πλέον τι παρὰ τοῦτον ἔχει p. 109,24 ἔχει γὰρ κτλ.] cf. p. 31,7 11 αὐτῶν VKa 12 ἃ κατά] fortasse καθ' ἃ παρουσία Ka 14 μέντοι V: μὲν Ka 15 ἐπὶ V ex. Vict: ἐπεὶ Ka ὁρμητικόν Va: ὀρεκτικὸν K 18 φυτικόν scripsi: φυσικόν VKa 20 τῷ ζῴῳ V: τὸ ζῷφ Ka 22 φυτικὴ scripsi: φυσικὴ VKa 28 τὸ δ' ὁρμητικόν κτλ.] cf. p. 73,18sq. 33 ὀρεκτικόν VK: ὀρετικὸν a 34 τὸ post καὶ om. Ka βούλεσθαι ex. Vict: βουλεύεσθαι VKa cf. 146v11 ἔστι δὲ τοῦ ὀρεκτικοῦ καὶ τοῦ ὁρμητικοῦ τό τε ἐπιθυμεῖν καὶ τὸ θυμοῦσθαι καὶ τὸ βούλεσθαι

ταῦτα γὰρ ὀρέξεως εἴδη. ὧν ἡ βούλησις ἤδη δοκεῖ μετέχειν καὶ λογισμοῦ· ἔστι γὰρ ὄρεξις μετὰ βουλῆς. ἔστι δέ τις καὶ ἄλλη δύναμις τῆς ψυχῆς κριτικὴ ἡ λογιστική, ἣ τοῖς τελειοτέροις τῶν ζώων ἐγγίνεται. τοῦτο δέ ἐστιν ἄνθρωπος, οὗ τό τε βουλεύεσθαι ταύτης τῆς δυνάμεώς ἐστι καὶ τὸ καταλαμβάνειν καὶ τὸ δοξάζειν. κινεῖ δὲ ἡ ψυχὴ τὸ σῶμα οὐχ ὡς αὐτὴ κινουμένη τε καὶ οὕτω κινοῦσα αὐτό (αὐτὴ γὰρ ἀκίνητος καθ' αὑτήν), ἀλλ' ὡς αἰτία τῷ ζώῳ τῆς κινήσεως, ὡς ἡ ἐνυπάρχουσα βαρύτης τῇ γῇ τῆς εἰς τὸ κάτω κινήσεως. οὐ γὰρ πάντα τὰ κινοῦντα ὁμοίως κινεῖ. ἄλλως μὲν γὰρ οἱ βοῦς τὴν ἅμαξαν κινοῦσιν, ἄλλως τὸ ἀγαθὸν καὶ ἐφετὸν καὶ τὸ ὀρεκτὸν κινεῖ τὰ ἐφιέμενα αὐτοῦ· οὐ γὰρ κινούμενον. διὸ καὶ ἐμψύχων ἡ ὑπὸ τῶν τοιῶνδε κίνησις. | ἡ δὲ ψυχὴ κινεῖ τῷ κατ' αὐτὴν ἡμᾶς νοεῖν 143v τε καὶ προαιρεῖσθαι· τὸ μὲν οὖν ἀγαθὸν τῷ νοηθῆναι κινεῖ, ἡ δὲ ψυχὴ τῷ νοῆσαι. ὡς γὰρ διὰ τὰς τέχνας καὶ κατὰ τὰς τέχνας οἱ τεχνῖται κινοῦνται, καὶ εἰσὶν αὐτοῖς αὗται τῆς τοιᾶσδε κινήσεως αἴτιαι, αὗται μὴ κινούμεναι, οὕτως καὶ τὰ ἔμψυχα κατὰ τὴν ψυχὴν κινεῖται μὴ κινουμένης αὐτῆς. ἔστι δὲ ἡ ὁρμητικὴ καὶ ἡ ὀρεκτικὴ δύναμις τῆς ψυχῆς, καθ' ἣν τὰ ζῷα κινεῖται. αὕτη γὰρ τοῖς ζῴοις τῆς οἰκείας κινήσεως αἰτία.

Περὶ νοῦ.

Νοῦς ἐστι κατὰ Ἀριστοτέλη τριττός, ὁ μὲν γάρ τίς ἐστι νοῦς ὑλικός. ὑλικὸν δὲ λέγω οὐ τῷ ὑποκείμενόν τινα εἶναι ὥσπερ τὴν ὕλην (ὕλην γὰρ λέγω ὑποκείμενόν τι δυνάμενον εἴδους τινὸς παρουσίᾳ τόδε τι γενέσθαι). ἀλλ' ἐπεὶ τῇ ὕλῃ τὸ εἶναι ὕλῃ ἐν τῷ δύνασθαι πάντα, ἐν ᾧ τὸ δύνασθαι καὶ αὐτὸ τὸ δυνάμει, καθόσον ἐστὶ τοιοῦτον, ὑλικόν. καὶ δὴ καὶ νοῦς ὁ μήπω μὲν νοῶν, δυνάμενος δὲ τοιοῦτος γενέσθαι, ὑλικός, καί ἡ δύναμις ἡ τοιαύτη τῆς ψυχῆς ὁ ὑλικὸς νοῦς, οὐδὲν μὲν ἐνεργείᾳ τῶν ὄντων ὤν, δυνάμενος δὲ πάντα γίνεσθαι, εἴ γε πάντων τῶν ὄντων οἷόν τε νόησιν γενέσθαι. τὸ γὰρ πάντων μέλλον ἀντιλήψεσθαι οὐδὲν αὐτῶν εἶναι δεῖ κατὰ τὴν οἰκείαν φύσιν ἐνεργείᾳ. παρεμφαινόμενον γὰρ τὸ οἰκεῖον εἶδος αὐτοῦ ἐν ταῖς τῶν ἐκτὸς ἀντιλήψεσιν ἔμελλεν ἐμπόδιον γίνεσθαι ταῖς ἐκείνων νοήσεσιν. οὔτε γὰρ αἱ αἰσθήσεις τούτων ἀντιλαμβάνονται, ἐν οἷς τὸ εἶναι αὐταῖς. διὰ τοῦτ' οὖν ἡ μὲν ὄψις χρωμάτων οὖσα ἀντιληπτικὴ ἄχρουν τὸ ὄργανον ἔχει, ἐν ᾧ τέ ἐστι καὶ δι' οὗ ἡ ἀντίληψις αὐτῇ. ἄχρουν γὰρ τὸ ὕδωρ οἰκεῖῳ

---

4 τό τε V: τὸ Ka 5 κινεῖ δὲ κτλ.] cf. p. 21,24 sq 9 βοῦς VK: βοῦν a ἅμαξαν a 11 νοεῖν τε καὶ V: νοεῖσθαι καὶ K: νοεῖν καὶ a 12 νοηθῆναι] η post o in lit. V 14 αἴτιαι Ka: αἰτίαι V 15 τὴν om. Ka 19 κατ' ἀριστοτέλην MKa ὁ μὲν γάρ τις] cf. 76,9 ἡ μὲν γάρ τίς ἐστι δύναμις ὑπηρετική.., τὸ δέ τι τῆς ψυχῆς ἡγεμονικόν ἐστι et 81,8 ἡ μέν τίς ἐστι δόξαστική, ἡ δὲ 22 ὕλῃ ἐν scripsi: ὕλη ἐν VMKa ὕλη εἶναι M πάντας M fortasse πάντα ⟨γίνεσθαι⟩ cf. v. 26 ἐν ᾧ τὸ δύνασθαι] incipit apodosis 24 νοῶν supra lin. m¹ M 28 παρεμφαινόμενον γὰρ κτλ.] cf. p. 84,15 et adn. 29 ἔμελλεν VM: ἔμελεν Ka 30 οὔτε] fortasse οὐδὲ cf. Ind. οἷς M: αἷς VKa αὐταῖς εἶναι M 31 τοῦτο οὖν M 32 αἰτήληψις a

χρώματι. ἀλλὰ καὶ ἡ ὄσφρησις ἐξ ἀέρος (ἄοσμος δὲ οὗτος), ὀσμῶν δέ ἐστιν ἀντιληπτική· καὶ ἡ ἁφὴ δὲ τῶν μὲν ὁμοίως αὐτῇ θερμῶν ἢ ψυχρῶν ἢ σκληρῶν ἢ μαλακῶν οὐκ αἰσθάνεται, τῶν δὲ παρηλλαγμένων ἐπὶ τὸ μᾶλλον ἢ ἧττον. τοῦτο δέ, ἐπεὶ ἦν ἀδύνατον σῶμα οὖσαν μὴ ταύτας ἔχειν τὰς ἐναντιώσεις. πᾶν γὰρ σῶμα φυσικόν τε καὶ γενητὸν ἁπτόν. ὡς οὖν ἐπὶ τῶν αἰσθήσεων ἀδύνατον τὴν ἔχουσάν τι τούτου οὐ ἔχει εἶναι ἀντιληπτικήν τε καὶ κριτικήν, οὕτως, ἐπεὶ καὶ ὁ νοῦς ἀντίληψίς τις καὶ κρίσις τῶν νοητῶν, οὐδὲ αὐτὸν οἷόν τε εἶναι τῶν κρινομένων ὑπ' αὐτοῦ. πάντων δὲ τῶν ὄντων ἐστὶν ἀντιληπτικός, εἴ γε πάντα ἔστι νοεῖν. οὐδὲν ἄρα τῶν ὄντων ἐστὶν ἐνεργείᾳ, δυνάμει δὲ πάντα. τοῦτο γάρ ἐστιν αὐτῷ τὸ εἶναι νῷ. αἱ μὲν γὰρ αἰσθήσεις γινόμεναι διὰ σωμάτων οὐκ εἰσὶν μὲν ταῦτα ὧν ἀντιλαμβάνονται, ἄλλα δέ τινά ἐστιν ἐνεργείᾳ, ἔστι δὲ ἡ δύναμις σώματός τινος. διὸ καὶ τοῦ σώματός τι πάσχοντος ἡ τῶν αἰσθητῶν ἀντίληψις. καὶ διὰ τοῦτο οὐ πάντων πᾶσα αἴσθησις ἀντιληπτική. ἔστι γάρ τις καὶ αὐτὴ ἧδη ἐνεργείᾳ. ὁ δὲ νοῦς οὔτε διὰ σώματος ἀντιλαμβανόμενος τῶν ὄντων, οὔτε σώματος δύναμις ὤν, οὐδὲ πάσχων, οὐδέ ἐστί τι τῶν ὄντων ὅλως ἐνεργείᾳ, οὐδέ ἐστι τόδε τι τὸ δυνάμενον, ἀλλ' ἔστιν δύναμίς τις ἁπλῶς τῆς τοιᾶσδε ἐντελεχείας τε καὶ ψυχῆς εἰδῶν καὶ νοημάτων δεκτική. οὗτος μὲν οὖν ὁ νοῦς ὑλικὸς ὢν ἐν πᾶσίν ἐστι τοῖς τῆς τελείας ψυχῆς κεκοινωνηκόσιν, τουτέστιν ἀνθρώποις.

Ἄλλος δέ ἐστιν ὁ ἧδη νοῶν καὶ ἕξιν ἔχων τοῦ νοεῖν καὶ δυνάμενος τὰ εἴδη τῶν νοητῶν κατὰ τὴν αὐτοῦ δύναμιν λαμβάνειν, ἀνάλογον ὢν τοῖς τὴν ἕξιν ἔχουσιν τῶν τεχνιτῶν καὶ δυναμένοις δι' αὐτῶν ποιεῖν τὰ κατὰ τὴν τέχνην. ὁ γὰρ πρῶτος οὐ τούτοις ἦν ἐοικώς, ἀλλὰ μᾶλλον τοῖς δυναμένοις τὴν τέχνην ἀναλαβεῖν καὶ γενέσθαι τεχνίταις. καὶ ἔστιν οὗτος ὁ ὑλικὸς ἕξιν ἧδη καὶ τὸ νοεῖν τε καὶ ἐνεργεῖν προσειληφώς. ὁ τοιοῦτος νοῦς ἐν τοῖς τελειοτέροις ἐστὶν ἧδη καὶ νοοῦσιν. οὗτος μὲν οὖν ὁ δεύτερος νοῦς ἐστι.

Τρίτος δέ ἐστι νοῦς παρὰ τοὺς προειρημένους δύο ὁ ποιητικός, δι' ὃν ὁ ὑλικὸς ἐν ἕξει γίνεται, ἀνάλογον ὢν οὗτος ὁ ποιητικός, ὥς φησιν ὁ Ἀριστοτέλης, τῷ φωτί. ὡς γὰρ τὸ φῶς αἴτιον γίνεται τοῖς χρώμασιν τοῦ δυνάμει οὖσιν ὁρατοῖς ἐνεργείᾳ γίνεσθαι τοιούτοις, οὕτως καὶ οὗτος ὁ τρίτος νοῦς τὸν δυνάμει καὶ ὑλικὸν νοῦν ἐνεργείᾳ νοῦν ποιεῖ ἕξιν ἐμποιῶν αὐτῷ τὴν νοητικήν. ἔστι δὲ οὗτος τὸ τῇ αὐτοῦ φύσει νοητὸν καὶ ἐνεργείᾳ τοι-

---

2 ἁφῇ M δὲ om. M 3 τῶν δὲ VKa: ἀλλὰ τῶν M 4 ἀδυνάτου M 5 γεννητὸν MKa 6 ἀδύνατον ἦν τὴν M 7 τις VKa: τίς ἐστι M 8 οὐδὲν αὐτῶν M fortasse οἷόν τέ τι 11 γὰρ om. M 13 αἰσθητῶν V: αἰσθήσεων MKa 14 fortasse ἔστι γάρ τι ut v. 16 οὐδέ ἐστί τι τῶν ὄντων ὅλως ἐνεργείᾳ 15 ἐνέργεια M 16 πάσχον M 17 τὸ om. Ka δυνάμενον] ν post o in lit. V 19 οὖν om. M 20 κεκοινωκόσι M 21 „περὶ τοῦ ἐν ἕξει νοῦ.“ ἄλλος δέ VMKa 22 αυτοῦ V: αὐτοῦ MKa ὢν corr. ex. οὖν (?) K 23 αὐτῶν VKMa 28 νοῦς om. M 29 „περὶ τοῦ ποιητικοῦ νοῦ“. τρίτος δέ VKMa νοῦς ὁ παρὰ MKa εἰρημένους MKa 30 ὥς φησιν κτλ.] Ar. de an. 3,5. 430a15 ὁ om. MKa 34 αὐτοῦ MKa καὶ —τοιοῦτον om. M

οὗτον· τοῦτο γὰρ ποιητικόν τε τοῦ νοεῖν καὶ εἰς ἐνέργειαν ἄγον τὸν ὑλικὸν νοῦν. νοῦς οὖν καὶ αὐτός· τὸ γὰρ ἄϋλον εἶδος, ὅπερ ἐστὶ μόνον τῇ αὑτοῦ φύσει νοητόν, νοῦς. τὰ μὲν γὰρ ἔνυλα εἴδη ὑπὸ τοῦ νοῦ νοητὰ γίνεται ὄντα δυνάμει νοητά. χωρίζων γὰρ αὐτὰ τῆς ὕλης ὁ νοῦς, μεθ' ἧς ἐστιν αὐτοῖς τὸ εἶναι, ἐνεργείᾳ νοητὰ αὐτὸς αὐτὰ ποιεῖ, καὶ τότε ἕκαστον αὐτῶν. ὅταν νοῆται, ἐνεργείᾳ τε νοητὸν καὶ νοῦς γίνεται | οὐ πρότερον οὐδὲ τῇ 144r αὐτῶν φύσει ὄντα τοιαῦτα. ὁ γὰρ κατ' ἐνέργειαν νοῦς οὐδὲν ἄλλο ἢ τὸ νοούμενον εἶδός ἐστιν, ὥστε καὶ τούτων ἕκαστον τῶν οὐκ ὄντων ἁπλῶς νοητῶν νοῦς, ὅταν νοῆται, γίνεται. ὡς γὰρ ἡ κατ' ἐνέργειαν ἐπιστήμη ταὐτὸν τῷ κατ' ἐνέργειαν ἐπιστητῷ, καὶ ὡς ἡ κατ' ἐνέργειαν αἴσθησις ἡ αὐτὴ τῷ κατ' ἐνέργειαν αἰσθητῷ, καὶ τὸ κατ' ἐνέργειαν αἰσθητὸν τῇ κατ' ἐνέργειαν αἰσθήσει, οὕτως δὲ καὶ ὁ κατ' ἐνέργειαν νοῦς ὁ αὐτός ἐστι τῷ κατ' ἐνέργειαν νοητῷ καὶ τὸ κατ' ἐνέργειαν νοητὸν τῷ κατ' ἐνέργειαν νῷ. ὁ γὰρ νοῦς τὸ εἶδος τοῦ νοουμένου λαμβάνων καὶ χωρίζων αὐτὸ τῆς ὕλης κατ' ἐνέργειαν ἐκεῖνό τε νοητὸν ποιεῖ καὶ νοῦς αὐτὸς κατ' ἐνέργειαν γίνεται. εἰ δή τι τῶν ὄντων ἐστὶν ἐνεργείᾳ νοητὸν τῇ αὑτοῦ φύσει καὶ ἐξ αὑτοῦ τὸ εἶναι τοιοῦτον ἔχον τῷ ἄϋλον εἶναι, οὐ παρὰ τοῦ χωρίζοντος αὐτὸ τῆς ὕλης νοῦ, τὸ τοιοῦτον ἐνεργείᾳ νοῦς ἐστιν ἀεί. νοῦς γὰρ τὸ κατ' ἐνέργειαν νοητόν. τοῦτο δὴ τὸ νοητόν τε τῇ αὑτοῦ φύσει καὶ κατ' ἐνέργειαν νοῦς, αἴτιον γινόμενον τῷ ὑλικῷ νῷ τοῦ κατὰ τὴν πρὸς τὸ τοιοῦτο εἶδος ἀναφορὰν χωρίζειν τε καὶ μιμεῖσθαι καὶ νοεῖν καὶ τῶν ἐνύλων εἰδῶν ἕκαστον καὶ ποιεῖν νοητὸν αὐτό, θύραθέν ἐστι λεγόμενος νοῦς ὁ ποιητικός, οὐκ ὢν μόριον καὶ δύναμίς τις τῆς ἡμετέρας ψυχῆς, ἀλλ' ἔξωθεν γινόμενος ἐν ἡμῖν, ὅταν αὐτὸν νοῶμεν, εἴ γε κατὰ μὲν τὴν τοῦ εἴδους λῆψιν τὸ νοεῖν γίνεται, τὸ δέ ἐστιν εἶδος ἄϋλον αὐτὸ οὐ μεθ' ὕλης ὄν ποτε οὐδὲ χωριζόμενον αὐτῆς ἐπειδὰν νοῆται. χωριστὸς δέ ἐστιν ἡμῶν τοιοῦτος ὢν εἰκότως, ἐπεὶ μὴ ἐν τῷ νοεῖσθαι αὐτῷ ὑφ' ἡμῶν τὸ εἶναι νῷ γίνεται, ἀλλ' ἔστιν τῇ αὑτοῦ φύσει τοιοῦτος, ἐνεργείᾳ νοῦς τε ὢν καὶ νοητός. τὸ δὲ τοιοῦτον εἶδος καὶ ἡ χωρὶς ὕλης οὐσία ἄφθαρτος. διὸ καὶ ποιητικὸς νοῦς, ὁ κατ' ἐνέργειαν θύραθεν ὢν τὸ τοιοῦτον εἶδος, εἰκότως ἀθάνατος ὑπ' Ἀριστοτέ-

---

2 αὐτοῦ V: αὐτοῦ MKa 3—15 τὰ μὲν γὰρ—ἐνέργειαν γίνεται] cf. Ps. Alex. in Ar. met. 668,24—669,3 3—4 τὰ μὲν γὰρ—νοητά] ὅσα τῶν εἰδῶν ἔνυλά ἐστι καὶ ἐν ὕλῃ τὸ εἶναι ἔχει, ταῦτα ὑπὸ τοῦ νοῦ γίνεται νοητά, δυνάμει ὄντα νοητὰ καὶ μὴ καθ' αὑτὰ μηδὲ ἐνεργείᾳ Ps. Al. 24—25 4 ἐστιν om. M 5 αὐτοῖς VM: αὐτῆς Ka 6 καὶ] ἐστι καὶ Ps. Al. 28 7 αὐτῶν V: αὐτῶν MKa: ἑαυτοῦ Ps. Al. 28 7—8 τὸ νοούμενον VKM: τὸν νοούμενον a 8 ἁπλῶς VM: ἁπλῶν Ka 9—10 ἐπιστήμη—ἡ κατ' ἐνέργειαν om. Ps. Al. 11 αὐτὴ] αὐτή ἐστι Ps. Al. 31 τῇ VKa: ταὐτὸν τῇ M 12 δὲ καὶ om. Ps. Al.: δὲ del. Freudenthal. sed. cf. Ind. 12—13 ὁ αὐτὸς—ἐνέργειαν νῷ om. M 14 λαμβάνων om. M: λαβὼν Ps. Al. χωρίσας Ps. Al. 15 κατ' ἐνέργειαν ante ἐκεῖνο om. M 16 δή VKa: δέ M ἐνέργεια a νοητὸν V: νοῦς MKa τῇ VKa: τῷ τῇ M αὐτοῦ VMKa bis 17 τοῦ ἄϋλον M αὐτὸ M ex. Vict.: αὐτῷ VKa 19 αὐτοῦ V: αὐτοῦ MKa 20 τοιοῦτον MKa 24 αὐτὸ νοῶμεν MKa 25 fortasse τόδε δέ 25—26 τὸ δὲ—νοῆται om. M 26 εἰκότως ἐπειδὴ ἐπεὶ M 27 αὐτὸ M 28 αὐτοῦ V: αὐτοῦ MKa 29 ὁ om. M

λους καλεῖται νοῦς. νοῦς μὲν γὰρ καὶ τῶν ἄλλων ἕκαστον τῶν νοουμένων εἰδῶν ὅταν νοῆται. ἀλλ' οὐ θύραθεν οὐδ' ἔξωθεν νοῦς ὤν, ἀλλ' ὅτε νοεῖται γινόμενος. οὗτος δὲ νοῦς, ὢν καὶ πρὸ τοῦ νοεῖσθαι, εἰκότως ὅταν νοηθῇ, θύραθέν τέ ἐστι καὶ λέγεται. νοεῖν δὲ αὐτὸν ὁ ἐν ἕξει νοῦς καὶ ἐνεργῶν δύναται· οὐ καθὸ νοῦς ἐστιν, ἅμα γὰρ καὶ κατὰ ταὐτὸν αὐτῷ τὸ νοεῖν ἔσται καὶ νοεῖσθαι, ἀλλὰ καὶ ταύτῃ μέν, ᾗ ὁ κατ' ἐνέργειαν νοῦς ὁ αὐτός ἐστι τοῖς κατ' ἐνέργειαν νοουμένοις. ἐκεῖνα δὴ νοῶν αὐτὸν νοεῖ, εἴ γε ταῦτα ἃ νοεῖ ἐν τῷ νοεῖσθαι νοῦς γίνεται. εἰ γὰρ τὰ νοούμενά ἐστιν ὁ κατ' ἐνέργειαν νοῦς, ταῦτα δὲ νοεῖ, αὐτὸν νοῶν γίνεται. νοῶν μὲν γὰρ ὁ αὐτὸς γίνεται τοῖς νοουμένοις, μὴ νοῶν δὲ ἄλλος ἐστὶν αὐτῶν. οὕτως δὲ καὶ ἡ αἴσθησις αὑτῆς αἰσθάνεσθαι λέγοιτ' ἂν αἰσθανομένη τούτων, ἃ ἐνεργείᾳ αὐτῇ ταὐτὰ γίνεται. ὡς γὰρ ἔφαμεν, καὶ ἡ κατ' ἐνέργειαν αἴσθησις τὸ αἰσθητόν ἐστι. καὶ γὰρ ἡ αἴσθησις καὶ ὁ νοῦς τῇ τῶν εἰδῶν λήψει χωρὶς ὕλης τῶν οἰκείων αὐτοῖς ἀντιλαμβάνονται. ἔτι δὲ λέγοιτ' ἂν αὐτὸν νοεῖν ὁ νοῦς οὐχ ᾗ νοῦς ἐστιν, ἀλλ' ᾗ καὶ αὐτὸς νοητός. ὡς γὰρ νοητοῦ ἀντιλήψεται, ὥσπερ καὶ τῶν ἄλλων ἑκάστου τῶν νοητῶν, οὐχ ὡς νοῦ. συμβέβηκε γὰρ τῷ νῷ εἶναι καὶ νοητῷ· ἐπεὶ γάρ ἐστι τῶν ὄντων τι καὶ αὐτός, καὶ οὐκ ἔστιν αἰσθητός, λείπεται νοητὸν αὐτὸν εἶναι. εἰ γὰρ ὡς νοῦς καὶ καθὸ νοῦς ἐστιν ἐνοεῖτο ὑφ' αὑτοῦ, οὐδὲν ἂν ἄλλο, ὃ μὴ νοῦς ἦν, ἐνόει, ὥστε αὐτὸν ἂν ἐνόει μόνον. νοῶν δὲ τὰ νοητά, ἃ μή ἐστιν νοῦς πρὸ τοῦ νοεῖσθαι, καὶ αὐτὸν ὡς τοιοῦτον νοεῖ ὡς ἕν τι τῶν νοητῶν. γίνεται οὖν κατὰ συμβεβηκὸς αὐτὸν νοῶν ὁ νοῦς οὗτος ἀπὸ τοῦ ὑλικοῦ νοῦ προϊών. καὶ ὁ πρῶτος δὲ νοῦς καὶ ἐνεργείᾳ νοῦς αὐτὸν νοεῖ παραπλησίως καὶ διὰ τὴν αὐτὴν αἰτίαν. ἀλλ' ἐκεῖνος πλέον τι παρὰ τοῦτον ἔχει. οὐδὲν γὰρ ἄλλο ἢ αὐτὸν νοεῖ. τῷ μὲν γὰρ εἶναι νοητὸς νοεῖται πρὸς αὐτοῦ, καὶ τῷ ἐνεργείᾳ καὶ φύσει τῇ αὐτοῦ νοητὸς εἶναι ἀεὶ νοούμενος ἔσται, δηλονότι ὑπὸ τοῦ ⟨ἀεὶ⟩ ἐνεργείᾳ νοοῦντος. ἀεὶ δὲ ἐνεργείᾳ νοῶν ἐστι νοῦς αὐτὸς μόνος· ἀεὶ ἄρα αὐτὸν νοήσει. μόνον δέ, καθόσον ἐστὶν ἁπλοῦς. ὁ γὰρ ἁπλοῦς νοῦς ἁπλοῦν τι νοεῖ, οὐδὲν δὲ ἄλλο ἁπλοῦν ἐστι νοητὸν πλὴν αὐτός. ἀμιγὴς γὰρ οὗτος καὶ ἄϋλος καὶ οὐδὲν ἔχων ἐν αὑτῷ δυνάμει. αὐτὸν ἄρα μόνον νοήσει. καθὸ μὲν ἄρα νοῦς ἐστιν, αὐτὸν ὡς νοητὸν νοήσει,

---

1 νοῦς om. M καὶ τῶν] αὐτῶν M 2 οὐδὲ M νοῆται M · 4 τέ om. M ἔστι καὶ λέγεται] cf. εὑρίσκεται καὶ ἔστι 159r12 καλεῖται καὶ ἔστι 153v26 αὐτὸν V: αὐτον M: ἑαυτὸν Ka 7 αὐτὸν M 11 δὲ VKa: ἂν M αὐτῆς scripsi: αὐτῆς VMKa 12 ταυτὰ M ex. Vict.: ταῦτα VKa ὡς γὰρ ἔφαμεν] 108,10 14 αὐτοῖς M: αὐτῆς VKa 15 αὐτὸν V: αὐτὸν MKa αὐτὸς VKM: αὐτὸς a 16 fortasse νοητοῦ ⟨αὐτοῦ⟩ ἀντιλήψεται 19 ἐνοεῖτο V: ἐννοεῖτο M: ἐννοεῖ τὸ Ka 20 ἐννόει M 21 ἐστιν scripsi: εἰσιν VMKa 22 αὐτὸν om. M 23 αὐτὸν νοεῖ sic V 25—110,2 οὐδὲν γὰρ ἄλλο—νοήσει] cf. Ps. Al. in met. 673,19—27 25 αὐτὸν V: αὐτὸν MKa τὸ M πρὸ M αὐτοῦ VMKa 26 αὐτοῦ V: ἑαυτοῦ M: αὐτοῦ Ka· 27 ⟨ἀεὶ⟩ Freudenthal addit cf. Ps. Al. v. 21 δὲ VKa: δι' M 28 μόνον] μᾶλλον Ps. Al. 23 30 οὗτος VKM ex. Vict.: οὔ τις a αὐτῷ V: αὐτῷ MKa 31 γὰρ ἄρα μόνον M μὲν ἄρα] μὲν γὰρ Ps. Al. 25

καθὸ δὲ ἐνεργείᾳ καὶ νοῦς ἐστι καὶ νοητόν, αὑτὸν ἀεὶ νοήσει, καθὸ δὲ ἁπλοῦς μόνος, αὑτὸν μόνον νοήσει. αὐτός τε γὰρ μόνος ἁπλοῦς ὢν ἁπλοῦ τινος νοητικός ἐστιν καὶ μόνος ἁπλοῦς τῶν νοητῶν ἐστιν αὐτός.

Ἤκουσα δὲ περὶ νοῦ τοῦ θύραθεν παρὰ † Ἀριστοτέλους, ἃ διεσωσάμην. τὰ γὰρ κινήσαντα Ἀριστοτέλη εἰσαγαγεῖν τὸν θύραθεν νοῦν, ταῦτα ἐλέγετο εἶναι· ἥ τε ἀπὸ τῶν αἰσθητῶν ἀναλογία καὶ ἡ ἐπὶ τῶν γινομένων ἁπάντων. ὥσπερ γὰρ ἐπὶ πάντων τῶν γινομένων ἐστί τι τὸ πάσχον, ἔστι τι καὶ τὸ ποιοῦν καὶ τρίτον ἐκ τούτων τὸ γινόμενον (καὶ ἐπὶ τῶν αἰσθητῶν ὁμοίως· ἔστι γὰρ πάσχον τὸ αἰσθητήριον, ποιοῦν δὲ τὸ αἰσθητόν, γινόμενον δὲ ἡ ἀντίληψις ἡ διὰ τοῦ αἰσθητηρίου τοῦ αἰσθητοῦ), τὸν αὐτὸν τρόπον δὴ καὶ ἐπὶ τοῦ νοῦ ὑπελάμβανεν δεῖν εἶναί τινα ποιητικὸν νοῦν, ὅστις τὸν δυνάμει νοῦν καὶ ὑλικὸν εἰς ἐνέργειαν ἄγειν δυνήσεται (ἔστι δὲ ἐνέργεια τὸ αὐτῷ ποιεῖν νοητὰ πάντα τὰ ὄντα). ὥσπερ γάρ ἐστιν αἰσθητά, ἃ κατ' ἐνέργειαν καὶ ἐνεργείᾳ τὴν αἴσθησιν ποιεῖ, οὕτω δεῖ εἶναί τινα καὶ τὰ τὸν νοῦν ποιοῦντα ἐνεργείᾳ ὄντα αὐτὰ νοητά. οὐ γὰρ οἷόν τε ποιητικόν τι εἶναί τινος μὴ ὂν αὐτὸ ἐνεργείᾳ. ἐνεργείᾳ δὲ νοητὸν τούτων τῶν νοουμένων ὑφ' ἡμῶν οὐδέν ἐστιν. ὁ γὰρ νοῦς ὁ ἡμέτερος νοεῖ τὰ αἰσθητὰ δυνάμει ὄντα νοητά, καὶ ὑπὸ τοῦ νοῦ νοητὰ ταῦτα γίνεται. αὕτη γὰρ ἐνέργεια τοῦ νοῦ, τὰ ἐνεργείᾳ αἰσθητὰ τῇ αὑτοῦ δυνάμει χωρίσαι καὶ ἀφελεῖν τούτων, σὺν οἷς ὄντα ἐστὶν αἰσθητά, καὶ ὁρίσασθαι καθ' αὑτά. εἰ δὴ αὕτη ἐστὶν ἡ τοῦ νοῦ τοῦ δυνάμει πρότερον ὄντος ἐνέργεια, δεῖ δὲ τὸ γινόμενον καὶ ἀγόμενον ἐκ τοῦ δυνάμει εἰς | ἐνέργειαν ὑπό τινος γίνεσθαι ἐνεργείᾳ ὄντος, δεῖ τινα 144r εἶναι καὶ νοῦν ποιητικὸν ἐνεργείᾳ ὄντα, ὃς ποιήσει τὸν τέως ὄντα δυνάμει ἐνεργεῖν δύνασθαι καὶ νοεῖν. τοιοῦτος δέ ἐστιν ὁ θύραθεν εἰσιών. ταῦτα μὲν τὰ κινήσαντα ἐκεῖνον. ἔσται δή τι καὶ ἐνεργείᾳ νοητὸν τῇ αὑτοῦ φύσει τοιοῦτον ὄν, ὥσπερ αὖ καὶ αἰσθητὸν οὐχ ὑπὸ τῆς αἰσθήσεως γινόμενον τοιοῦτον. τοῦτο δέ ἐστι νοῦς, φύσις τις καὶ οὐσία, οὐδενὶ ἄλλῳ γνωστὴ ἢ νῷ. οὐ γὰρ δὴ αἰσθητός γέ ἐστιν, οὐδὲ πάντα τὰ νοούμενα ὑπὸ τοῦ ἡμετέρου νοῦ νοητὰ γίνεται οὐκ ὄντα τῇ ἑαυτῶν φύσει νοητά, ἀλλ' ἔστιν τι καὶ καθ' αὑτὸ νοητὸν τῇ αὑτοῦ φύσει τοιοῦτον ὄν. τοῦτο δὴ καὶ αὐτὸ ὁ δυνάμει νοῦς τελειούμενος καὶ αὐξόμενος νοεῖ. ὥσπερ γὰρ ἡ περιπατητικὴ δύναμις, ἣν ἔχει ὁ ἄνθρωπος εὐθὺς τῷ γενέσθαι, εἰς ἐνέργειαν ἄγεται προϊόντος τοῦ χρόνου τελειουμένου αὐτοῦ οὐ κατὰ πάθος τι, τὸν αὐτὸν τρόπον

1—2 νοῦς — μόνος om. K 1 νοήσει ἀεί Ps. Al. 26 1—2 καθὸ — νοήσει] καθὸ δὲ ἁπλοῦς ἐστι, μόνος τῶν νοητῶν μόνον ἑαυτὸν νοήσει Ps. Al. 26—27 4 Ἀριστοτέλους] Ἀριστοκλέους Zeller, die Philos. d. Griechen IV^{3}785 5 ἀριστοτέλην MKa ταῦτα δὲ M 7 τι καὶ V (τ in lit.) M: καὶ Ka 9 δὲ τί τὸ M 10 δὴ om. M 12 αὐτῷ MKa: αὐτῷ V 18 ἡ ἐνέργεια M, sed cf. αὕτη γὰρ αἰσθήσεως διαμαρτία τὸ .. γίνεσθαι p. 41,12 αὕτη γὰρ φύσις αἰσθήσεως τὸ . . κρίνειν p. 152r52 19 ὄντα αἰσθητὰ M αὐτοῦ VMKa 20 δὴ αὕτη V: δὲ (δὴ?) αὕτη M: δὲ αὐτὴ Ka fortasse καθ' αὐτὰ (τὰ εἴδη αὐτῶν). εἰ δὴ αὕτη 21 ἐνέργεια VK: ἐνέργειᾳ a: ἐνεργεία M 22 γίνεσθαι V: ἄγεσθαι MKa sed cf. 112,1 25 αὐτοῦ V: αὐτοῦ MKa 27 οὐσία a 29 ἑαυτῶν φύσει VK: ἑαυτοῦ φύσει M: ἑαυτῶν φύσειν a 31 τελειούμενον M πατητικὴ M

καὶ ὁ νοῦς τελειωθεὶς τά τε φύσει νοητὰ νοεῖ καὶ τὰ αἰσθητὰ δὲ νοητὰ αὑτῷ ποιεῖ, ἅτε ὢν ποιητικός. οὐ γὰρ παθητικὸς ὁ νοῦς τῇ αὑτοῦ φύσει, ὡς ὑπὸ ἄλλου γίνεσθαι καὶ πάσχειν, καθάπερ ἡ αἴσθησις. ὑπεναντίως γὰρ ἔχει. ἡ μὲν γὰρ αἴσθησις κατὰ πάθος, παθητικὸν γάρ, καὶ ἡ ἀντίληψις αὐτῇ διὰ πάθους, ὁ δὲ νοῦς ποιητικόν. νοητικὸς γὰρ ὢν τῶν πλείστων ἅμα καὶ ποιητὴς ἵνα αὐτὰ νοήσῃ γίνεται, πλὴν εἰ μὴ κατὰ τοῦτό τις καὶ τὸν νοῦν βούλοιτο παθητικὸν λέγειν, καθὸ ληπτικός ἐστι τῶν εἰδῶν. πάσχειν γὰρ εἶναι δοκεῖ τὸ λαμβάνειν. καὶ τοῦτο μὲν κοινὸν πρὸς τὴν αἴσθησίν ἐστιν αὐτῷ, ἀλλ' ἐπεὶ ἕκαστον αὐτῶν χαρακτηρίζεται καὶ ὁρίζεται οὐκ ἀπὸ τοῦ κοινοῦ τοῦ πρὸς ἄλλο τι, ἀλλ' ἀπὸ τοῦ ἰδίου, καὶ τοῦτο ἂν τὸ πρὸς τὴν αἴσθησιν αὐτῷ κοινὸν ὑπὸ ἰδίου χαρακτηρίζοιτο, ὥστε εἰ κοινὸν μέν ἐστιν αὐτῷ πρὸς τὴν αἴσθησιν τὸ τῶν εἰδῶν εἶναι ληπτικῷ, εἰ καὶ μὴ ὁμοίως, ἴδιον δὲ τὸ ποιητικῷ εἶναι τούτων τῶν εἰδῶν ἃ λαμβάνει, ἀπὸ τοῦ ποιεῖν ἂν μᾶλλον ὁρίζοιτο. ὥστε ποιητικὸν ἄν, οὐ παθητικὸν ὁ νοῦς εἴη. ἔτι καὶ πρότερον αὐτῷ τὸ ποιεῖν καὶ οὐσιῶδες. πρότερον γὰρ ποιεῖ τῇ ἀφαιρέσει νοητόν, εἶθ' οὕτως λαμβάνει τούτων τι ὃ νοεῖ τε καὶ ὁρίζεται, ὅτι τόδε τί ἐστι. καὶ γὰρ εἰ ἅμα χωρίζεται καὶ λαμβάνει, ἀλλὰ τὸ χωρίζειν προεπινοεῖται· τοῦτο γάρ ἐστιν αὐτῷ τὸ ληπτικῷ εἶναι τοῦ εἴδους. ὥσπερ δὲ τὸ πῦρ ποιητικώτατον λέγομεν, ἐπειδήπερ πάσης ὕλης ἧς ἂν ἐπιλάβηται ταύτην ἀναλίσκει καὶ αὐτῷ τροφὴν παρέχει (καίτοι καθὸ τρέφεται πάσχει), τὸν αὐτὸν τρόπον καὶ τὸν νοῦν τὸν ἐν ἡμῖν ποιητικὸν ἡγητέον. τὰ γὰρ οὐκ ὄντα ἐνεργείᾳ νοητὰ αὐτὸς νοητὰ ποιεῖ· οὐδὲν γὰρ ἄλλο νοητόν ἐστιν ἢ ὁ νοῦς ὁ ὢν ἐνεργείᾳ καὶ καθ' αὑτόν. καὶ τὰ ὑπὸ τοῦ νοοῦντος δὲ γινόμενα νοητὰ καὶ αἱ τούτου ἐνέργειαι νοῦς καὶ αὐτὰ ὅταν νοῆται. ὥστε μὴ ὄντος νοῦ, οὐδὲν ἂν εἴη νοητόν. οὔτε γὰρ ὁ φύσει (αὐτὸς γὰρ ἦν μόνος τοιοῦτος), οὔτε τὸ ὑπὸ τούτου γινόμενον. οὐκ ὢν γὰρ οὐδ' ἂν ποιοῖ. συνεργὸς δ' ἂν γίνοιτο τῷ ἐν ἡμῖν ὁ φύσει τε νοῦς καὶ θύραθεν, ὅτι οὐδ' ἂν τὰ ἄλλα νοητὰ ἦν ὄντα δυνάμει μὴ ὄντος τινὸς τῇ ἰδίᾳ φύσει νοητοῦ. τοῦτο δὴ τῇ αὑτοῦ φύσει νοητὸν ὂν ἐν τῷ νοοῦντι γενόμενον διὰ τοῦ νοηθῆναι νοῦς τέ ἐστι γεγενημένος ἐν τῷ νοοῦντι καὶ θύραθεν νοεῖται καὶ ἀθάνατος καὶ ἐντίθησιν τὴν ἕξιν τῷ ὑλικῷ ὥστε νοεῖν τὰ δυνάμει νοητά. ὡς γὰρ τὸ φῶς, ποιητικὸν ὂν τῆς κατ' ἐνέργειαν ὄψεως, καὶ αὐτὸ ὁρᾶται καὶ τὰ σὺν αὐτῷ, καὶ δι' αὐτοῦ τὸ χρῶμα, οὕτως δὲ καὶ ὁ θύραθεν νοῦς αἴτιος γίνεται τοῦ νοεῖν ἡμῖν, νοούμενος καὶ αὐτός, οὐ ποιῶν αὐτὸν νοῦν, ἀλλὰ τὸν ὄντα νοῦν τῇ αὑτοῦ φύσει τελειῶν καὶ ἄγων ἐπὶ τὰ οἰκεῖα. ἔστιν οὖν φύσει μὲν νοητὸν ὁ νοῦς, τὰ δὲ ἄλλα τὰ νοητὰ τέχνῃ

1 δὲ om. M 2 αὐτῷ VMKa ὁ om. M αὐτοῦ V: αὐτοῦ MKa 8 παρὰ τὴν M 10 οὐχ M 11 χαρακτηρίζοντο M 13 ποιητικὸν M 16 τε] αι del. supra τε M 17 τί om. M 20 αὐτῷ VMKa 21 αὐτὸ M ποιητικότατον M 23 ἢ ex. Vict.: ἢ VMKa 25 οὔτε VKa: οὐδὲ M 27 τῷ scripsi: τῶν VKa: τοῦ M 28 τοῦ ἰδίᾳ M 29 αὐτοῦ VMKa γινόμενον M 31 καὶ ἀθάνατος suspectum cf. 112,5 τὴν VM: γε Ka 35 τῇ] τ in lit. V τῇ αὐτοῦ τελειῶν φύσει Ka: τελειῶν τῇ αὐτοῦ φύσει M 36 ἐστὶ μὲν οὖν M τέχνη VMKa

τούτου καὶ τούτου ποιήματα, ἃ ποιεῖ οὐ παθὼν καὶ γενόμενος ὑπό τινος ὁ δυνάμει (ἦν γὰρ νοῦς καὶ πρὸ τοῦ ἐνεργεῖν), ἀλλὰ αὐξηθεὶς καὶ τελειούμενος. τελειωθεὶς δὲ τά τε φύσει νοητὰ νοεῖ καὶ τὰ κατὰ τὴν οἰκείαν ἐνέργειαν καὶ τέχνην. ἴδιον γὰρ τοῦ νοῦ τὸ ποιητικόν, καὶ τὸ νοεῖν αὐτῷ ἐνεργεῖν ἐστιν οὐ πάσχειν. βουλόμενος δὲ τὸν νοῦν ἀθάνατον δεικνύναι καὶ φεύγειν τὰς ἀπορίας ἃς ἐπιφέρουσιν τῷ θύραθεν νῷ ἀνάγκην ἔχοντι τόπον ἀλλάττειν, οὐ δυναμένῳ δέ, εἴ γέ ἐστιν ἀσώματος, οὔτε ἐν τόπῳ εἶναι οὔτε μεταβαίνειν καὶ ἄλλοτε ἐν ἄλλῳ γίνεσθαι, κατ' ἰδίαν ἐπίνοιαν ἔλεγε ταὐτα περὶ τοῦ νοῦ ἐν παντὶ εἶναι τῷ θνητῷ λεγομένου σώματι. καὶ δὴ ἔφασκεν τὸν νοῦν καὶ ἐν τῇ ὕλῃ ὡς οὐσίαν ἐν οὐσίᾳ καὶ ἐνεργείᾳ εἶναι ἀεὶ ἐνεργοῦντα τὰς αὑτοῦ ἐνεργείας. ὅταν μὲν οὖν ἐκ τοῦ σώματος τοῦ κραθέντος πῦρ γένηται ἢ τι τοιοῦτον ἐκ τῆς μίξεως, ὡς καὶ ὄργανον δύνασθαι τῷ νῷ τούτῳ παρασχεῖν, ὃς ἐστιν ἐν τῷ μίγματι τούτῳ (διότι ἐστὶν ἐν παντὶ σώματι, σῶμα δὲ καὶ τοῦτο), τοῦτο τὸ ὄργανον δυνάμει νοῦς λέγεται ἐπιτήδειός τις δύναμις ἐπὶ τῇ τοιᾷδε κράσει τῶν σωμάτων γινομένη πρὸς τὸ δέξασθαι τὸν ἐνεργείᾳ νοῦν. ὅταν δὴ τούτου τοῦ ὀργάνου λάβηται, τότε καὶ ὡς δι' ὀργάνου καὶ ὡς περὶ ὕλην καὶ ὡς δι' ὕλης ἐνήργησεν, καὶ τότε λεγόμεθα νοεῖν ἡμεῖς. ὁ γὰρ ἡμέτερος νοῦς σύνθετός ἐστιν ἔκ τε τῆς δυνάμεως, ἥτις ὄργανόν ἐστι τοῦ θείου νοῦ, ὃν δυνάμει νοῦν ὁ Ἀριστοτέλης καλεῖ, καὶ τῆς ἐκείνου ἐνεργείας. ὧν θατέρου μὴ παρόντος ἀδύνατον ἡμᾶς νοεῖν. εὐθὺ μὲν γὰρ τῇ πρώτῃ καταβολῇ τοῦ σπέρματός ἐστιν ὁ ἐνεργείᾳ νοῦς διὰ πάντων γε κεχωρηκὼς καὶ ὢν ἐνεργείᾳ, ὡς καὶ ἐν ἄλλῳ τινὶ σώματι τῶν τυχόντων. ἐπειδὰν δὲ καὶ διὰ τῆς ἡμετέρας δυνάμεως ἐνεργήσῃ, τότε ἡμέτερος νοῦς οὗτος λέγεται καὶ ἡμεῖς νοοῦμεν, ὥσπερ εἴ τις τεχνίτην ἐννοήσαι τοτὲ μὲν ἄνευ ὀργάνων ἐνεργοῦντα κατὰ τὴν τέχνην, τοτὲ δὲ καὶ μετ' ὀργάνων, ὅτε καὶ ἡ κατὰ τὴν τέχνην ἐνέργεια αὐτῷ περὶ τὴν ὕλην γίνεται. τὸν αὐτὸν τρόπον καὶ ὁ θεῖος νοῦς ἀεὶ μὲν ἐνεργεῖ (διὸ καὶ ἔστιν ἐνεργείᾳ), | καὶ δι' ὀργάνου δέ, ὅταν ἐκ 145r
τῆς συγκρίσεως τῶν σωμάτων καὶ τῆς εὐκρασίας γένηται ὄργανον τοιοῦτον. ὑλικὴν γὰρ ἤδη τινὰ τότε ἐνέργειαν ἐνεργεῖ καὶ ἔστιν οὗτος ἡμέτερος νοῦς. καὶ ἐκκρίνεται δή, ὅνπερ τρόπον καὶ εἰσκρίνεται. οὐ γὰρ ἀλλαχοῦ ὢν μεταβαίνει, ἀλλὰ τῷ πανταχοῦ εἶναι μένει καὶ ἐν τῷ ἐκ τῆς ἐκκρίσεως δια-

---

1 τούτου καὶ VKa: τοῦτον καὶ M ποιήματα VM: ποίημά τις K: ποιήματις a παθὼν V: παθῶν corr. in παθὼν M: παθῶν Ka ὑπό τινος καὶ γενόμενος M 2 νοῦς M: νοῦν VKa 3 τελειωθεὶς MKa: τελεωθεὶς V τὰ τῇ φύσει M τὴν om. M 4 τοῦ νοῦ VM: νοῦ Ka νοεῖν VKM ex. Vict.: νοεῖ a 6 τὰς ἐπιφερομένας M ἀνάγκη M post ἔχοντι paululum erasum V 7 δέ M: γε VKa 8 ταῦτα περὶ νοῦ M 9 λεγομένου scripsi: λεγομένῳ VKMa 11 αὐτοῦ V: αὐτοῦ MKa 12 δύνασθαι] cf. Ind. 13 fortasse τοῦτο 14 παντὶ γενομένῳ M 15—16 ἐπὶ usque ad γινομένη om. MKa 17 τότε VKa: τὸ M δι' om. M 19 ἥτις scripsi: ἥ τις VKMa ὃν] fortasse ἣν 20 νοῦ καλεῖ ὁ ἀριστοτέλης M 22 κεχωρικὼς M 23 διὰ VKa: ὁ τὰ M 25 ἐννοῆσαι VMKa 26 τότε M 27 ἐνέργει M τὴν ὕλην M: τῇ ὕλῃ VKa cf. Ind. 27—28 αὐτῷ περὶ τῇ ὕλῃ—καὶ ἔστιν ἐνεργείᾳ bis Ka 30 τότε om. M 32 διαινομένῳ M

λυομένῳ σώματι φθειρομένου τοῦ ὀργανικοῦ, ὡς ὁ τεχνίτης ἀποβαλὼν τὰ ὄργανα ἐνεργεῖ μὲν καὶ τότε, οὐ μὴν ὑλικὴν καὶ ὀργανικὴν ἐνέργειαν. ἔλεγεν δὴ ὅτι εἰ ὅλως ὑπολαμβάνειν χρὴ κατὰ Ἀριστοτέλη θεῖον καὶ ἄφθαρτον εἶναι τὸν νοῦν, οὕτως ἡγεῖσθαι δεῖν, οὐκ ἄλλως. καὶ τὴν λέξιν δὲ τὴν ἐν τῷ τρίτῳ Περὶ ψυχῆς τούτοις προσοικειοῦν ἔλεγεν δεῖν καὶ τὴν ἕξιν καὶ τὸ φῶς ἐπὶ τοῦτον φέρειν τὸν πανταχοῦ ὄντα. οὗτος δὲ ὁ νοῦς ἤτοι μόνος αὐτὸς τὰ ἐνθάδε διοικεῖ πρὸς τὴν τῶν θείων ἀναφορὰν καὶ συγκρίνει τε καὶ διακρίνει, ὥστε αὐτὸς καὶ τοῦ δυνάμει νοῦ δημιουργός, ἢ μετὰ τῆς τῶν οὐρανίων εὐτάκτου κινήσεως. ὑπὸ γὰρ ταύτης γίνεται τὰ ἐνθάδε τῇ προσόδῳ καὶ ἀφόδῳ τοῦ ἡλίου μάλιστα ἢ ὑπ' αὐτοῦ γινόμενα καὶ τοῦ ἐνθάδε νοῦ ἢ ὑπὸ τούτων μὲν καὶ τῆς τούτων κινήσεως ἡ φύσις γίνεται, αὐτὴ δὲ τὰ καθέκαστα μετὰ τοῦ νοῦ διοικεῖ. ἀντιπίπτειν ἐδόκει μοι τούτοις τό τε τὸν νοῦν καὶ ἐν τοῖς φαυλοτάτοις εἶναι θεῖον ὄντα, ὡς τοῖς ἀπὸ τῆς Στοᾶς ἔδοξεν, καὶ τὸ ὅλως εἶναι καὶ ἐν τοῖς ἐνταῦθα νοῦν καὶ προηγουμένην τινὰ πρόνοιαν (καὶ μὴν κατὰ τὴν ἐπὶ τὰ θεῖα ἀναφορὰν τὴν τῶν ἐνταῦθα γίνεσθαι πρόνοιαν), καὶ τὸ μὴ ἐφ' ἡμῖν εἶναι τὸ νοεῖν μηδ' εἶναι τοῦτο ἡμέτερον ἔργον, ἀλλ' εὐθὺ γινομένοις ἡμῖν ἐνυπάρχειν φύσει τήν τε σύστασιν τοῦ δυνάμει καὶ ὀργανικοῦ καὶ τὴν διὰ τοῦ θύραθεν ἐνέργειαν. ἢ οὐκ ἀλλάσσει τόπον τὸ τῷ νοεῖσθαι ἔν τινι γινόμενον. οὐδὲ γὰρ τὰ τῶν αἰσθητῶν εἴδη, ἐπειδὰν αὐτῶν αἰσθώμεθα, ἐν τοῖς αἰσθητηρίοις ὡς τόποις αὐτῶν γίνεται. χωριστὸς δὲ λέγεται ὁ θύραθεν νοῦς καὶ χωρίζεται ἡμῶν, οὐχ ὡς μετιών που καὶ ἀμείβων τόπον, ἀλλὰ χωριστὸς μὲν ὡς καθ' αὑτόν τε ὢν καὶ μὴ σὺν ὕλῃ, χωριζόμενος δὲ ἡμῶν τῷ μὴ νοεῖσθαι, οὐ τῷ μετέρχεσθαι. οὕτως γὰρ ἐγίνετο καὶ ἐν ἡμῖν.

Ὅτι ἀσώματος ἡ ψυχή.

Ὅτι μὲν ἡ ψυχὴ ἀσώματος, ἱκανὸς μὲν παραστῆσαι καὶ ὁ λόγος, καθ' ὃν εἶδος οὖσα δείκνυται παρὰ Ἀριστοτέλους ἡ ψυχή (οὐδὲν γὰρ εἶδος σῶμα), οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶνδε τῶν λόγων δειχθείη ἂν οὖσα ἀσώματος. εἰ παντὸς σώματος αἱ ποιότητες αἰσθηταί, τῆς ψυχῆς δὲ αἱ ποιότητες οὐκ αἰσθηταί (αἱ γὰρ ἀρεταὶ καὶ αἱ κακίαι οὐ τοιαῦται), οὐκ ἄρα σῶμα ἡ ψυχή. ⟨ἔτι⟩ εἰ ἡ ψυχὴ σῶμα, πᾶν δὲ σῶμα μιᾷ γέ τινι αἰσθήσει αἰσθητὸν τῇ αὐτοῦ φύσει (λέγω δὲ περὶ τῶν ἐνεργείᾳ ὄντων σωμάτων καί, ὡς φασιν αὐτοί, πεποιωμένων), εἴη ἂν καὶ ἡ ψυχὴ αἰσθητή (οὐ γὰρ δὴ ἄποιόν γε σῶμα αὐτὴν ἐροῦσιν, ἔσται γὰρ ὕλη)· οὐκ ἔστιν δέ· οὐκ ἄρα σῶμα. οὐ γὰρ δὴ οὕτω ἐστὶν οὐκ αἰσθητὴ ὡς τὰ διὰ σμικρότητα ἀναίσθητα σώματα.

---

1 fortasse τοῦ ὀργάνου 3 post δὴ lacuna trium literarum M ἀριστοτέλην MKa 4—5 τὴν λέξιν δὲ τὴν ἐν τῷ τρίτῳ περὶ Ψυχῆς] Ar. de an. 3,5. 430a 11 sq. 5 προσοικειοῦν VK: προσεικοῦν M: προσοικοῦν a 7 ὁ αὐτὸς M 9 τὰ om. M 12 τότε τούτοις MKa 15 καὶ μὴν καὶ MKa 17 ἐν ὑπάρχει M 18 ἢ ex Vict.: ἤ VKa: ἧτις M cf. p. 82,12 19 τὸ om. M 22 ἀμείβων a 31 ἔτι εἰ scripsi: εἰ VKa αὐτοῦ Ka 32 ἐνεργείᾳ V ex. Vict.: ἐνέργειαν Ka

ἔτι πᾶν σῶμα ἢ ἐνεργείᾳ ἢ δυνάμει αἰσθητόν, ἡ δὲ ψυχὴ οὔτε ἐνεργείᾳ οὔτε δυνάμει αἰσθητόν· ὥστε οὐ σῶμα. ἔτι εἰ ἡ ψυχὴ ὡς αἰσθητῆς αὐτῆς αἰσθάνεται, καὶ ἄλλης αἰσθήσεται. οὐκ αἰσθάνεται δὲ ἄλλης, οὐδ' αὐτῆς ἄρα ὡς αἰσθητῆς. ἔτι εἰ ἡ ψυχὴ σῶμα, ἤτοι ἔμψυχον ἢ ἄψυχον. ἀλλὰ μὴν ἄτοπον τὸ ἄψυχον. εἰ δὲ ἔμψυχον, ζῷόν τε ἔσται καὶ πάλιν ἐκείνου ἡ ψυχὴ ἤτοι ἔμψυχος ἢ ἄψυχος, καὶ τοῦτο εἰς ἄπειρον. ἂν δ' ἐνιστάμενοι πρὸς τὴν διαίρεσιν τῶν σωμάτων τὴν λέγουσαν τὰ μὲν ἔμψυχα εἶναι αὐτῶν, τὰ δὲ ἄψυχα, λέγωσιν μὴ ὑγιῶς διῃρῆσθαι, εἶναι γὰρ τὰ μὲν ἔμψυχα, τὰ δὲ ἄψυχα, τὰ δὲ ψυχάς, ῥητέον, ὅτι τοῖς κατὰ ἀντίφασιν διαιρουμένοις οὐδέποτε ἀντιδιαιρεῖται τοῦτο, οὗ ἐστιν ἡ ἀπόφασις· οἷον εἰ διαιρούμενοι τῶν σωμάτων τὰ μὲν λέγοιμεν εἶναι κεχρωσμένα, τὰ δὲ ἄχροα (ἐν γὰρ τῷ αὐτῷ γένει τῷ τῆς ἕξεως δεκτικῷ ταὐτὸν δύναται τῇ ἀποφάσει ἡ στέρησις), οὐκέτι μέντοι λέγομεν· τὰ δὲ χρώματα. διαφορὰ γὰρ σωμάτων τὸ κεχρῶσθαι ἢ ἄχροα εἶναι, ἀλλ' οὐ τὰ χρώματα. καὶ πάλιν τῶν σωμάτων τὰ μὲν ὀσμὴν ἔχοντά ἐστιν, τὰ δὲ οὐκ ἔχοντα καὶ ἄοσμα, οὐκέτι λέγομεν· τὰ δὲ ὀσμαί. καὶ τὰ μὲν ποιότητα ἔχοντα, τὰ δὲ οὐκ ἔχοντα ποιότητα καὶ ἄποια, οὐκέτι· τὰ δὲ ποιότητες. ἢ [τῶν σωμάτων] τὰ μὲν σύνθετα, τὰ δὲ οὐ σύνθετα, οὐκέτι· τὰ δὲ συνθέσεις. οὐ γὰρ σῶμα ἡ σύνθεσις. ὁμοίως δὲ καὶ τῶν ζῴων τὰ μὲν θνητά, τὰ δὲ οὐ θνητά τε καὶ ἀθάνατα, οὐκέτι· τὰ δὲ θάνατοι. οὐ γὰρ ζῷον ὁ θάνατος. πάλιν τῶν ζῴων τὰ μὲν λογικά, τὰ δ' οὐ λογικά τε καὶ ἄλογα, οὐκέτι· τὰ δὲ λόγοι. οὐ γὰρ λόγοι τὰ ζῷα. τὸν αὐτὸν οὖν τρόπον ἐροῦμεν καὶ τῶν σωμάτων τὰ μὲν εἶναι ἔμψυχα, τὰ δὲ οὐκ ἔμψυχα καὶ ἄψυχα, οὐκέτι δὲ καὶ ψυχάς· οὐ γὰρ αἱ ψυχαὶ σώματα. ἔτι εἰ ἡ ψυχὴ σῶμα, ἤτοι ὑπό τινος συνέχεται ἢ ὑφ' αὑτῆς. ἀλλ' ὑφ' αὑτῆς μὲν οὐχ οἷόν τε ὡς μιᾶς καὶ δι' ὅλης ὁμοίας. ἀδύνατον γὰρ τὸ αὐτὸ κατὰ τὸ αὐτὸ συνέχειν τε καὶ συνέχεσθαι. λείπεται ἄρα μέρος μὲν συνέχειν αὐτῆς, μέρος δὲ συνέχεσθαι. εἰ δὲ τοῦτο, εἴη ἂν τὸ μέρος τὸ συνέχον ἡ ψυχή, οὐ τὸ συνεχόμενον, ὅ, εἰ καὶ αὐτὸ σῶμα, ἤτοι ὑπὸ ἄλλου συνέχεται, ἢ ὑφ' αὑτοῦ, καὶ τοῦτο εἰς ἄπειρον. εἰ γὰρ ὅλην λέγοιεν αὐτὴν συνέχειν τε καὶ συνέχεσθαι ὡς ἕν τι καὶ ταὐτὸν ὄν, δυνήσεταί τι καὶ ἔχειν καὶ ἔχεσθαι ὑφ' αὑτοῦ | καὶ ποιεῖν ταὐτὸ καὶ πάσχειν. οὐδὲ γὰρ ἡ τρίβουσα χεὶρ καὶ ἀντιπάσχουσα κατὰ τὴν αὐτὴν δύναμιν ποιεῖ τε καὶ πάσχει. καὶ καθόλου οὐδὲν τῶν ὑπό τινος ἐχομένων καὶ αὐτὸ ἔχει. οὔτε γὰρ θερμότης οὔτε γλυκύτης, οὔτε σχῆμα οὔτε χρῶμα οὔτε ὑγίεια οὔτε ἁρμονία. ἀλλ' οὐδὲ ἀρετὴ ἢ ἐπιστήμη. τοιοῦτον δὲ καὶ ἡ ψυχή. ἔτι εἰ ἡ ψυχὴ λεπτομερές τι σῶμα οὖσα συνέχει μὲν τὸ σῶμα αὐτή, πάλιν δὲ συνέχεται ὑπ' αὐτοῦ, ἔσται καὶ τοῦτο τὸ παχυμερέστατον σῶμα ψυχή, εἴ γε τὸ συνέχον ψυχή. ὥστε ἔσται τὸ σῶμα ψυχὴ τῆς ψυχῆς, συνέχον γε αὐτήν. ὅτι γὰρ οὐδὲν αὐτὸ συνέχει, δῆλον ἐκ τοῦ μηδὲ

---

3 αὐτῆς Ka 4 ἢ VK: ἡ a 5 ἐκείνου scripsi: ἐκείνει V: ἐκείνη Ka 8 ὑγιῶς Ka 11 εἶναι λέγοιμεν Ka 13 μέντοι] cf. p. 158a30 εἰ .. λέγοιτο, προσδεήσεται μέντοι 16 λέγομεν delendum videtur 17 ἢ VK: ἡ a τῶν σωμάτων delevi 19 τε om. Ka 21 οὐ post τὰ δ'] υ in lit. V 22 οὖν om. Ka 39 αὐτὸ Ka ἐκ τῶν Ka

τὰ δοκοῦντα τοῦτον ἔχειν τὸν τρόπον τοιαῦτα εἶναι. οὔτε γὰρ ἡ κόλλα αὐτὴν συνέχει καὶ τὰ κεκολλημένα. ἕτερον γὰρ αὐτῆς τὸ συνέχον καὶ ἕτερον τὸ συνεχόμενον. ὅσον μὲν γὰρ σωματικόν, συνέχεται, τὸ δὲ συνέχον ἐστὶν ἡ ποιότης καὶ ἡ δύναμις ἀσώματος οὖσα. φθαρείσης γοῦν τῆς τοιαύτης ποιότητος, τὸ ὑλικὸν καὶ σωματικὸν μένον οὔτε αὐτὸ ἔτι οὔτε τὰ ξύλα συνέχειν δύναται. ἔτι εἰ ἡ ψυχὴ σῶμα, ἢ πῦρ ἢ πνεῦμα λεπτομερές ἐστι διὰ παντὸς διῆκον τοῦ ἐμψύχου σώματος. εἰ δὲ τοῦτο, δῆλον ὡς οὐκ ἀργὸν οὐδὲ ὡς ἔτυχεν ἔχον ἐροῦσιν αὐτό. οὐ γὰρ πᾶν πῦρ οὐδὲ πᾶν πνεῦμα ταύτην ἔχει τὴν δύναμιν. μετά τινος οὖν ἔσται εἴδους ἰδίου καὶ λόγου καὶ δυνάμεως καί, ὡς αὐτοὶ λέγουσιν, τόνου. ἀλλὰ εἰ τοῦτο, οὐ τὸ πνεῦμα ἔσται ἢ τὸ πῦρ ἡ ψυχή, ἀλλὰ τὸ ἐν τούτοις εἶδος καὶ ἡ δύναμις καὶ ὁ τόνος, καθὸ τῶν ὁμογενῶν τῶν ἄλλων διαφέρει. ἔτι ὡς σῶμα ἀνείδεον, οὕτως εὔλογον καὶ εἶδος ἄϋλον καὶ ἀσώματον εἶναι. ἐκ τούτων γὰρ τὸ συναμφότερον. ἔτι εἰ σῶμα ἄψυχον, διὰ τί μὴ καὶ ψυχὴ ἀσώματος; ἔτι εἰ σῶμα ἡ ψυχή, ἤτοι ἁπλοῦν ἢ σύγκριμα. ἀλλὰ εἰ μὲν ἁπλοῦν, ἢ γῆ ἢ πῦρ ἢ ἀήρ ἢ ὕδωρ. εἰ δὲ τούτων τι καθ' ἑαυτὸ ψυχή, πᾶν τε τὸ τοιοῦτον ἔσται ψυχή (οἷον πᾶν πῦρ, πᾶς ἀήρ), καὶ πᾶν τὸ τοῦτον περιέχον σῶμα ἔμψυχον. ὥστε εἰ ὁ ἀὴρ ἡ ψυχή, ἔσται ζῷον ἡ ἀρτηρία καὶ ὁ πνεύμων καὶ ὁ πεφυσημένος ἀσκός, καὶ πᾶν τὸ ἀέρα ἔχον ἐν αὑτῷ σῶμα. εἰ δὲ ὕδωρ, ὁ τούτου πλήρης κάδος. ταῦτα δὲ ἄτοπα. ἔτι εἰ μὲν τῶν ἁπλῶν τι σωμάτων ἡ ψυχή, πᾶν σύγκριμα, ἐν ᾧ καὶ τοῦτο ἐνυπάρχει τὸ σῶμα, ἔμψυχόν τε καὶ ζῷον ἔσται. εἰ δὲ σύγκριμα ἐκ τῶν ἁπλῶν ἡ ψυχή, ἔσται καὶ τὸ ἡμέτερον ἡ ψυχή. ἔτι παντὸς σώματος οἰκεία τις κίνησις, οἷον ἁπλῆ μὲν τοῦ ἁπλοῦ, μικτὴ δὲ τοῦ συνθέτου ἢ κατὰ τὸ πλεονάζον, τῆς δὲ ψυχῆς οὐδεμία τοπικὴ κίνησις οἰκεία. οὐκ ἂν οὖν οὔτε τῶν ἁπλῶν, οὔτε τῶν συνθέτων εἴη σωμάτων. οὐδὲ γὰρ αἱ κατὰ αἴσθησιν καὶ φαντασίαν ἢ πάθος, οὖσαι κατὰ ἀλλοίωσιν, οὐ τοπικαὶ τῆς ψυχῆς εἰσι κινήσεις καθ' αὑτήν, ἀλλὰ τοῦ συναμφοτέρου. ἔτι εἰ σῶμα ἡ ψυχή, πῶς μετέχει τὸ σῶμα τῆς ψυχῆς; καὶ πῶς ἐστιν ἡ ψυχὴ ἐν αὐτῷ; ἢ γὰρ ὡς μέρος ἔσται, καὶ οὕτως οὐδὲν τῶν ἄλλων μερῶν τοῦ σώματος ἔμψυχον, μᾶλλον δὲ οὐδὲν ὅλως ἔμψυχον αὐτοῦ, ἀλλὰ ψυχὴ καὶ σῶμα κατ' ἰδίαν. ἀλλὰ οὐδὲ ὡς ἐν ἀγγείῳ τῷ σώματι εἴη ἂν ἡ ψυχή. εἴη γὰρ ἂν καὶ οὕτως οὐχ ὅλον ἔμψυχον τὸ σῶμα. ἀλλὰ οὐδὲ κατὰ παράθεσιν. οὐδὲ γὰρ οὕτως ὅλον ἔμψυχον ἔσται τὸ σῶμα. μᾶλλον δὲ οὐδ' ὅλως ἔμψυχον. οὐδὲ γὰρ ἐπὶ τοῦ σωροῦ ἐν τῇ κριθῇ ὁ πυρός. εἰ δὲ ὅλον δι' ὅλου, ἐπειδὴ πᾶν τὸ σῶμα ἔμψυχον, πῶς σῶμα διὰ σώματος διήκει, δεικνύναι δεῖ. καὶ γὰρ καί, ἐπεὶ αἱ τῆς ψυχῆς ποιότητες σώματα κατ' αὐτούς καὶ αἱ τοῦ σώματος, πολλὰ σώματά ἐστιν ἐν τῷ αὐτῷ καὶ διάφορα δι' ἀλλήλων διή-

---

1 fortasse οὐδὲ 2 αὐτὴν Ka 3 συνέχετεται V 4 ἀσώματα Ka 5 αὐτὸ VKa 8 πᾶν] post ν paululum erasum V 9 ταυτὴν a 10 τόνου ἀλλὰ] υ ἀ in lit. V ἀλλὰ εἰ V: ἀλλ' ἀεὶ K: ἀλλ' αἰεὶ a: ex. Vict. in mg. γρ. ἐν 13 ἀσώματος Ka 14 μὴ καὶ Ka: καὶ μὴ V 19 πεφυσσημένος K αὐτῷ VKa 23 fortasse ἡμέτερον σῶμα 25 οὔτε V ex. Vict: ὄντε Ka 38 fortasse ἔσται

κοντα καὶ ἐν τῷ αὐτῷ τόπῳ, δ λόγου δεῖται καὶ ἀποδείξεως. ἔτι προσγινόμενα καὶ ἀπογινόμενα πῶς οὔτε αὐξήσει οὔτε μειώσει τὸ σῶμα; ἔτι ὑπαλλαγεισῶν τῶν ποιοτήτων, αἱ πρῶται χωρισθεῖσαι σώματα οὖσαι εἰς τὸ μὴ ὂν φθαρήσονται, οὐδαμοῦ γάρ εἰσιν· οὕτω δὲ καὶ ἐκ τοῦ μὴ ὄντος ἔσονται. ἔτι εἰ οὕτως ἡ ψυχὴ τῷ σώματι ὡς ὅλον δι' ὅλου διήκειν καὶ κεκρᾶσθαι τῷ σώματι, οὐκέτι ἔσται τοῦ ζῴου τὸ μὲν ψυχή, τὸ δὲ σῶμα, ἀλλὰ ἐξ ἀμφοῖν ἕν τι ἄλλο συνεφθαρμένον καὶ συνηλλοιωμένον, ὡς τὸ μελίκρατον. καὶ οὐκέτι τι τὸ μὲν ἡγήσεται, τὸ δὲ ὑπηρετήσει, οὐδὲ τὸ μὲν τιμιώτερον, τὸ δὲ ἧττον, οὐδὲ τὸ σῶμα ἕξει ψυχήν, οὐδὲ ἡ ψυχὴ ἔσται ἐν τῷ σώματι. οὐδὲ γὰρ τὴν ἀρχὴν τὸ μὲν ψυχὴ ἔσται τοῦ ζῴου, τὸ δὲ σῶμα, ἀλλὰ μόνον ζῷον τὸ ἐκ τούτων κρᾶμα καὶ ἕν τι καὶ ὅλον ὅμοιον ἑαυτῷ, ὁποῖον τὸ οἰνόμελι, ὅπερ ἄτοπον. ἔστι γὰρ τοῦ ζῴου τὸ μὲν ψυχή, τὸ δὲ σῶμα, ὡς τὸ μὲν ἄλλο, τὸ δὲ ἄλλο. διὸ καὶ χωρίζεται. ἔτι εἰ καὶ αἱ ἀρεταὶ σώματα καὶ αἱ τέχναι, πῶς οὐ προσγενόμενα ταῦτά τινι στενοχωρήσει τὸ σῶμα ἢ αὐξήσει; ἔτι εἰ καθ' δ τὸ εἶναί τινί ἐστι τοῦτο, ὅπερ εἶναι λέγεται, τοῦτο εἶδός ἐστι, κατὰ δὲ τὴν ψυχὴν τῷ ζῴῳ τὸ ζῴῳ εἶναί ἐστιν, ἡ ψυχὴ εἶδος. ὅτι δὲ εἶδος ἡ ψυχή, δῆλον καὶ ἐκ τοῦ μὴ δύνασθαι κατ' ἄλλον τρόπον δεῖξαι τὸ ζῷον ἐκ ψυχῆς ὂν καὶ σώματος. ἔτι εἰ σῶμα σώματος ἢ σῶμα οὐδὲν διαφέρει, τῷ δὲ ψυχὴν ἔχειν διαφέρει, οὐκ ἔστιν ἡ ψυχὴ σῶμα. τὰ γὰρ τῷ γένει τὰ αὐτὰ φύσιν κοινὴν ἔχει. τὰ φύσιν κοινὴν ἔχοντα ἀδιάφορα κατὰ τὸ κοινόν. τὰ τῷ γένει ἄρα κοινὰ ἀδιάφορα κατὰ τὸ γένος, γένος δὲ αὐτῶν τὸ σῶμα· ὥστε τὰ σώματα ἀδιάφορα καθὸ σώματα. οὐκ ἄρα σῶμα σώματος καθὸ σῶμα διαφέρει. ὥστε, οἷς διαφέρει τὰ σώματα ἀλλήλων, οὐ σώματα ταῦτα. τὰ μέντοι ἀσώματα οὐκ ἔστι τῷ γένει τὰ αὐτά. ὥστε οὐδὲ ἀδιάφορα καθὸ ἀσώματα. ὁμώνυμον γάρ τὸ ἀσώματον. ἔστι γὰρ τῶν ἀσωμάτων τὰ μὲν ἐν οὐσίᾳ, τὰ δὲ ἐν ποσότητι, τὰ δὲ ἐν ταῖς ἄλλαις κατηγορίαις. εἰ δέ τις λέγοι, ὅτι σῶμα σώματος οὐ διαφέρει μὲν κατὰ τὸ κοινὸν σῶμα, ἢ δέ τι σῶμα, ἑκάτερον αὐτῶν διαφέρει, ῥητέον, ὅτι τὸ ἑνὶ ἑκάστῳ τῶν σωμάτων εἶναι παρὰ τὰς οἰκείας διαφορὰς καὶ τὰ οἰκεῖα εἴδη, διάφορα ὄντα ἀλλήλων, ἐστίν, ταῦτα δὲ ἀσώματα· ὥστε οἷς διαφέρουσιν ἀλλήλων τά τινα σώματα, οὐ σώματα. πρὸς τούτοις εἰ τὸ πνεῦμα ἢ ἐν τῷ πνεύματι ἢ τῷ πυρὶ τῷ ἐν ἡμῖν ἡ ψυχὴ πρώτη, οἷά τε ἔσται καὶ ἐν χωρισθεῖσιν αὐτοῖς εἶναι. χωριζόμενα γὰρ τοῦ ζῴου διαμένει καὶ πνεῦμα καὶ πῦρ ὄν. εἰ δὲ τοῦτο, ἔσται καὶ τὸ πνεῦμα καὶ τὸ πῦρ ζῷα. εἰ δὲ ἀδύνατον τοῦτο, ἀδύνατον καὶ ἐν τούτων τινὶ εἶναι τὴν ψυχήν, ἀλλὰ ἐν τῷ μικτῷ τῷ ἐκ τῶν τεσσάρων, τῷ οὕτως πως μεμιγμένῳ καὶ συγκειμένῳ ὡς τὸ σῶμα τὸ τῶν ζῴων μέμικται. ἃ δὲ λέ-

---

1 προσγινόμενα Ka: προσγενόμενα V 7 fort. συνεφθαρμένων καὶ συνηλλοιωμένων 8 τι om. K sed cf. 106,19 adn. 11 τὸ ἐκ V: τι Ka 12 τοῦ Va: τι K 14 προσγινόμενα K 23 καθὸ σῶμα m^2, καθὸ σῶμα σώματι m^1 V: καθὸ σῶμα Ka 25 τὸ V: τι Ka 29 τὸ V: τῷ Ka 33 αὐτοῖς V ex. Vict.: αὐταῖς Ka 35 τοῦτο Ka: τοῦτον V ἐν τούτων m^2, ἐν τούτῳ m^1 V: ἐν τούτων Ka 36 οὕτως] ω in lit. V 37 ὡς τὸ m^2, ὡς m^1 V: ὡς τὸ Ka

γουσιν δεικνύναι πειρώμενοι σῶμα τὴν ψυχήν, οὐκ ἔστιν ὑγιῆ. οὔτε γὰρ ἐπεὶ κατηγορεῖται τὸ ὅμοιον αὐτῆς, διὰ τοῦτό ἐστι σῶμα. τὸ γὰρ ὅμοιον οὐκ ἐπὶ σωμάτων. καὶ γὰρ ἐν γραμμαῖς καὶ σχήμασιν καὶ ἐπιπέδοις καὶ ἔτι μᾶλλον ἐν χρώμασιν καὶ ποιότησιν τὸ ὅμοιον, ἅπερ οὐ σώματα. καθόλου δὲ τὸ μὲν σῶμα οὐσία. οὐσίας δὲ ἴδιον τὸ ταὐτὸν κατ' αὐτὴν λέγεσθαι, οὐ τὸ ὅμοιον, ποιότητος δὲ τὸ ὅμοιον οὔσης ἀσωμάτου, ὥστε κἂν τῶν ἄλλων τι ὅμοιον λέγηται, καθὸ ποιότητος μετέχει, ὅμοιον ῥηθήσεται. καὶ ψυχὴ οὖν ψυχῇ ὁμοία, οὐχ ᾗ ψυχή. οὐ γὰρ ᾗ ψυχή, ἀλλ' ᾗ ποιότητός τινος καὶ διαθέσεως κεκοινώνηκεν ὁμοίας. ἀλλὰ καὶ ὁ λόγος ψευδὴς ὁ λέγων ἀσώματον σώματι μὴ συμπάσχειν, ὥστε μὴ εἶναι ἀσώματον τὴν ψυχήν. οὔτε γὰρ τὸ ἀσώματον σώματι μὴ συμπάσχειν ἀληθές (συμπάσχει γὰρ τῶν σωμάτων πασχόντων καὶ τὰ ἐν αὐτοῖς ἀσώματα, τὰ μὲν πλεῖστα κατὰ συμβεβηκός, ἤδη δέ τινα καὶ ἁπλῶς, ὡς ἡ ἐπιφάνεια τοῦ θλωμένου σώματος), ἀλλ' οὐδὲ ἡ ψυχὴ τῷ σώματι συμπάσχει ὡς ἄλλη οὖσα καὶ κεχωρισμένη, ὡς οἱ φίλοι λέγονται συμπάσχειν, ἀλλά ἐστι τὸ πάσχον τὸ συναμφότερον, τὸ γὰρ ζῷον, ὃν ἐκ ψυχῆς καὶ σώματος, κατὰ μὲν τὸ σῶμα τεμνόμενον, ἀλγοῦν δὲ κατὰ τὴν ψυχήν· καὶ ἔστι τὸ ἀλγοῦν τὸ ζῷον, ὥσπερ καὶ τὸ βαδίζον καὶ τὸ ὁρῶν καὶ τὸ ἐπιθυμοῦν καὶ φιλοῦν καὶ μισοῦν, πάθη δὲ τοῦ μὲν σώματός ἐστιν ἴδια, ὥσπερ τὸ θερμαίνεσθαι καὶ τέμνεσθαι, τῆς δὲ ψυχῆς οὐκέτι, διότι σῶμα μὲν καὶ ἄνευ ψυχῆς ὑφίσταται, ψυχὴ δὲ ἄνευ σώματος οὔ. ἐντελέχεια γὰρ καὶ εἶδος τούτου. οὐχ ὑγιὴς δὲ λόγος οὐδὲ ὁ λέγων μηδὲν ἀσώματον σώματος χωρίζεσθαι, τὴν δὲ ψυχὴν τοῦ σώματος χωρίζεσθαι, ὥστε μὴ εἶναι ἀσώματον. τὸ γὰρ χωρίζεσθαι διττόν, τὸ μὲν ὑποστάσει, ὅταν ἑκάτερον χωρισθὲν μένῃ, τὸ δὲ τῇ θατέρου φθορᾷ, ὡς τὸ λευκὸν χωρίζεται τοῦ σώματος μέλανος γενομένου. κατὰ τὸ δεύτερον σημαινόμενον καὶ ἀσώματον σώματος χωρίζεται. οὕτω καὶ ἡ ψυχὴ τοῦ σώματος. ἔστι τινὰ καὶ λόγῳ χωριστὰ ἀσώματα σωμάτων, ὡς τῆς ὕλης τὸ εἶδος, ὡς τοῦ τόπου τὸ σῶμα. οὐκ ἀληθὲς δὲ οὐδὲ τὸ λέγειν ταῦτα χωρίζεσθαι ἀπ' ἀλλήλων, ὅσα ἅπτεται ἀλλήλων. πάντα γὰρ τὰ συμβεβηκότα χωρίζεσθαι μὲν οἷά τε, οὐ μὴν καὶ ἅπτεται. ἔτι οὐκ ἀληθὲς τὸ ᾧ ἀναπνέομεν τούτῳ ἐσμὲν ἔμπνοι, τῇ δὲ ψυχῇ ἔμψυχοι· οὐδὲ εἰ ἄνευ

1 δεικνῦναι V τὴν] ἣν in lit. V οὔτε .. ἀλλὰ καὶ ὁ λόγος ψευδὴς (v. 9)] cf. v. 11 et 14 et p. 12,1 6 ὥστε κἂν] ὥ et ἂν in lit. V 7 ποιότητος] οιο in lit. V 8 ψυχῇ οὖν ψυχὴ Ka 12 ante πασχόντων συμ erasum V πλεῖστα] εῖ in lit. V 13 θλωμένου m¹, τεθολωμένου m² V: τεθολωμένου Ka 14 ἀλλ' οὐδὲ κτλ.] exspectas ἀλλ' οὐδὲ ὡς ἄλλη οὖσα καὶ κεχωρισμένη τῷ σώματι συμπάσχει ἡ ψυχή sed cf. 7,1 οὐ μόνον δὲ παρὰ τοῦ εἴδους τό τε εἶναι κτλ. 16 συναμφότερον m² αμφότερον m¹, sed lit. trium liter. ante α m¹ V: συναμφότερον Ka 19 θερμαίνεσθαι Ka: θερένεσθαι V 21 οὔ om. Ka ὑγιὴς VK: ιγυὴς a 22 χωρίζεσθαι σώματος Ka 24 μένει Ka 25 σώματος om. K κατὰ κτλ.] cf. 122,14 adn. 26 ἀσώματος Ka 29 ἀπ' om. Ka 30 ἔτι οὐκ ἀληθὲς κτλ.] aut argumentatio *(eo, quo respiramus animati sumus. anima autem respirare possumus. spiritus igitur anima)* mutilata est, aut, quod magis placet, hoc tantum dixit Alex. „*non verum est, nos eo, quo respiramus, animatos esse*“ (οὐκ ἀληθὲς τό· "ᾧ ἀναπνέομεν τούτῳ ἐσμὲν ἔμψυχοι"), in margine autem aliquis inter ἔμπνους et ἔμψυχος distinxit, unde verba ἔμπνοι τῇ δὲ ψυχῇ in textum irrepserunt 31 ἔμπνοι m², ἔμπνοιοι m¹ V: ἔμπνοι Ka

τοῦ συμφύτου πνεύματος μὴ δύναιτο τὰ ζῷα εἶναι, διὰ τοῦτο τοῦτό ἐστι ψυχή. καὶ γὰρ ἄλλα τινά ἐστιν, ὧν οὐχ οἷόν τε χωρὶς τὸ ζῷον εἶναι, ἃ οὐδὲ αὐτοὶ ψυχὴν λέγουσιν. οὐδὲ γὰρ αἵματος χωρὶς τὰ ἔναιμα οὐδὲ ὑγρότητος ὅλως.

Ὅτι πλείους αἱ τῆς ψυχῆς δυνάμεις καὶ οὐ μία.

Ὅτι μὴ μία ἡ τῆς ψυχῆς δύναμις, ὡς τὴν αὐτήν πως ἔχουσαν ποτὲ μὲν διανοεῖσθαι, ποτὲ δὲ ὀργίζεσθαι, ποτὲ δ' ἐπιθυμεῖν παρὰ μέρος, δεικτέον ἔκ τε τῆς διαμάχης τῶν παθῶν πρὸς τὸν λόγον τῆς ἐπὶ τοῦ ἐγκρατοῦς καὶ ἀκρατοῦς. οὐ γὰρ τοῦ αὐτοῦ ἐν τούτοις καὶ ἡ νίκη καὶ ἡ ἧττα. ἔπειτα εἰ τὸ μὲν χεῖρον, τὸ δὲ βέλτιον τῆς ψυχῆς, εὔλογον ἄλλο ἑκάτερον αὐτῶν εἶναι, ἔπειτα χωριζομένας τὰς δυνάμεις, καὶ οὐ πάσας ἐν πᾶσιν. ὅτι γὰρ τὸ φυτικὸν ψυχή ἐστι καὶ ψυχῆς μέρος καὶ δύναμις, οὗ μόρια τὸ θρεπτικὸν καὶ τὸ αὐξητικὸν καὶ γεννητικόν, ἀλλὰ οὐχ, ὥς τινές φασιν, φύσις, δείξομεν ἔκ τε τοῦ μὴ πάντα τὰ φύσιν ἔχοντα καὶ κατὰ φύσιν ὄντα ἔχειν τὰς δυνάμεις ταύτας. τά τε γὰρ ἁπλᾶ σώματα φύσει μέν ἐστι καὶ ἔχει φύσιν, οὔτε δὲ τρέφεται δι' αὑτῶν οὔτε αὔξεται οὔτε γεννᾷ. ἔτι εἰ τὸ τρέφειν καὶ τὸ αὔξειν καὶ γεννᾶν φύσεως, οὐ ψυχῆς, τὸ δ' αἰσθάνεσθαι ψυχῆς, ἢ ῥητέον μηδὲ ζῆν ἡμᾶς, ὅταν μὴ αἰσθανώμεθα, ἢ δύο ζωὰς ἐν ἡμῖν ὑπάρχειν, ὅπερ ἄτοπον. ἔτι εἰ τὸ ζῆν ψυχῆς παρουσίᾳ, ζῇ δὲ καὶ τὰ τὴν φυτικὴν δύναμιν ἔχοντα μόνην, ἡ φυτικὴ δύναμις ψυχὴ ἂν εἴη. ζωὴ γάρ ἐστιν ἡ δι' αὑτοῦ τροφή τε καὶ αὔξησις. ἔτι εἰ τὸ φύσει χρῆσθαι ζῆν ἐστιν, τὰ ἁπλᾶ στοιχεῖα κατὰ φύσιν κινούμενα ζῴη ἄν. ἔτι εἰ τὰ ψυχῇ μὲν χρώμενα ζῇ, τὰ δὲ φύσει χρώμενα οὐ ζῇ, ἡ φύσις οὐ ψυχή. ἔτι εἰ τὰ μὲν ψυχῇ χρώμενα ζῇ, τὰ δὲ τὸ φυτικὸν ἔχοντα καὶ θρεπτικὸν ζῇ, ψυχὴ τὸ θρεπτικὸν καὶ φυτικόν. ἔτι εἰ τὸ γεννητικὸν μόριον ψυχικόν φασιν, τοῦτο δὲ ὑπὸ τὸ φυτικόν, εἴη ἂν καὶ τὸ φυτικὸν πᾶν ψυχικόν. χρήσιμος δὲ ἡ τούτου δεῖξις μάλιστα πρὸς ἀπόδειξιν τοῦ ὅτι οὐκ εἰσὶν αἱ ψυχικαὶ διαφοραί, περὶ ἃ τῇ ψυχῇ ἡ ἐνέργεια, ἀλλ' ὅτι αὐταὶ αἱ δυνάμεις τῆς ψυχῆς διαφέρουσιν ἀλλήλων, καὶ οὐχ οἷόν τε τῇ αὐτῇ δυνάμει, οἷον τῇ αἰσθητικῇ νοῆσαι ἢ τῇ νοητικῇ αἰσθάνεσθαι. εἰ γὰρ καὶ τὸ φυτικὸν ψυχικόν, ἀδύνατον δὲ τῇ αὐτῇ δυνάμει ἅμα πλέονα καὶ διάφορα ἐνεργεῖν, ἀεὶ δὲ ἐνεργεῖ ἐπὶ τῶν ζώντων | τὸ θρεπτικόν, ἤτοι οὐδεμίαν ἄλλην ἐνέργειαν ἐνεργήσομεν κατὰ ψυχήν, εἰ μία ἡ ψυχικὴ δύναμις, ἢ εἰ καὶ ἄλλας ἐνεργοῦμεν, οἷον αἰσθανόμεθα κατὰ τὸ αὐτὸ καὶ τρεφόμεθα, οὐ μία ἡ ψυχικὴ δύναμις, οὐδέ πως ἔχον τὸ ἡγεμονικὸν περὶ ἕκαστα ἐνεργεῖ. οὐδὲ γὰρ αἱ τέχναι τῇ τῶν ὀργάνων ἑτερότητι τὴν διαφορὰν ἔχουσιν οὐδὲ τῷ περὶ ἃ καὶ ὧν εἰσιν, ἀλλ' ἔστιν ἡ διαφορὰ αὐταῖς κατὰ τὰς οἰκείας δυνάμεις πρότερον. ἔτι πλείοσιν αἰσθήσεσιν αἰσθανόμεθα ἅμα. ἔτι εἰ πρᾶξίς ἐστιν

8 cf. 27,7 11 τὰ a 14 cf. 105,8 18 αἰσθανόμεθα Va 20 φυτικὴ V: φυτικὴν a 21 τε om. a 22 ζώη Va 25 ψυχικόν V: ψυχὴν a 27 οὐκ εἰσὶν κτλ.] *differentiae non* [*in eis rebus positae sunt*], *de quibus anima agit*, sed cf. v. 36 οὐδὲ τῷ περὶ ἃ 28 αὐταὶ scripsi: αὗται Va 31 πλείονα a 34 θρεφόμεθα a 37 ἀλλ' ἔστιν] λ ἔστιν in lit. V

ἡ μετὰ συγχρήσεως τῶν ὀργανικῶν τοῦ σώματος μορίων ἐνέργεια, ὡς τὸ λαλεῖν, τὸ βαδίζειν, τὸ ταῖς χερσί τι ἐνεργεῖν, οὐκ ἂν εἴη τὸ θεωρεῖν πράσσειν οὐδὲ τὸ νοεῖν, ὥστε οὐδὲ τὸ κριτικὸν πρακτικόν. ἔτι εἰ τοῦ αἰσθητικοῦ τὸ τέλος θεωρητικόν (κριτικὸν γάρ), διὰ σώματος μέντοι (διὸ καὶ μετὰ πάθους), τοῦ δὲ ὁρμητικοῦ τὸ τέλος πρακτικὸν καὶ αἱ πράξεις, διαφέροι ἂν ταῦτα καὶ τῷ τέλει. καὶ τῷ μὴ ἀντακολουθεῖν δὲ μηδὲ ἅμα ἄμφω παραγίνεσθαι καὶ τῷ ἡγεῖσθαι τὸ αἰσθητικὸν καὶ τῷ μὴ ἀεὶ τῇ αἰσθήσει ἕπεσθαι τὴν ὁρμήν, καὶ τῷ ἀεὶ τὴν ὁρμήν, ὅτε ἂν γένηται, μετὰ αἴσθησιν γίνεσθαι. ἔστι δὲ τοῦ ὀρεκτικοῦ καὶ τοῦ ὁρμητικοῦ τό τε ἐπιθυμεῖν καὶ τὸ θυμοῦσθαι καὶ τὸ βούλεσθαι. ἔτι καὶ τὸ λογικὸν κριτικόν, καὶ ὡς ἡγούμενόν γε. τοῦ γὰρ κριτικοῦ ἡγεῖται μὲν τὸ λογικόν, ὃ καὶ νοητικὸν καλοῦμεν. ἕπεται δὲ καὶ ὑποτέτακται τὸ αἰσθητικόν, οὗ καὶ τὸ φαντασιοῦσθαι καὶ τὸ συγκατατίθεσθαι καὶ τὸ μνημονεύειν. ὅτι δὲ καὶ ἡ κοινὴ αἴσθησις ἄλλη παρὰ τὰς καθέκαστα, δῆλον ἐκ τοῦ τὸ ὁρᾶν αἰσθητὸν μὲν εἶναι, μὴ ὁρατὸν δέ. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. ἔτι δὲ ὁ θεωρητικὸς νοῦς οὐκ ἔστι περὶ τὰ πρακτικά, οὐδὲ περὶ τὰ αἱρετὰ καὶ φευκτά. ἔτι τὸ ἐφ' ἡμῖν ἐν τῷ πράττειν καὶ ἐν προαιρέσει, οὔτε δὲ ἐν τῷ ὁρμᾶν οὔτε ἐν τῷ συγκατατίθεσθαι οὔτε ἐν τῷ φαντασιοῦσθαι οὔτε ἐν τῷ αἰσθάνεσθαι. ἀλλ' οὐδὲ ἐν τῷ φυτικῷ. ἔτι κατὰ τὸ ὀρεκτικὸν ὑπὸ ψυχῆς κινούμεθα, οὐ κατὰ ἄλλην τινὰ δύναμιν, ὥστε ἄλλη αὕτη ἐκείνων.

Ὅτι οὐκ ἐν ὑποκειμένῳ ἡ ψυχή.

Λέγει μὲν καὶ Ἀριστοτέλης ἐν ταῖς Κατηγορίαις, μηδεμίαν οὐσίαν ἐν τῷ ὑποκειμένῳ εἶναι. ὥστε, εἰ ἡ ψυχὴ οὐσία, οὐκ ἂν εἴη ἐν ὑποκειμένῳ. ἀλλὰ ἐπεὶ πρὸς τοῦτο δύναται λέγεσθαι, ὡς περὶ τῶν οὐσιῶν εἰρηκότος αὐτοῦ τούτων ὧν ἐμνημόνευσεν ἐν ταῖς Κατηγορίαις (αὗται δέ εἰσιν ἥ τε ἄτομος καὶ τὸ εἶδος καὶ τὸ γένος), οὐκέτι δὲ περὶ τῆς ὕλης καὶ τῆς κατὰ τὸ εἶδος οὐσίας εἴρηκεν (τῇ γὰρ οὐσίᾳ εἴρηκεν ἐκεῖ μηδὲν ἐναντίον εἶναι, καίτοι λέγων τῷ εἴδει τῷ φυσικῷ οὐσίᾳ ὄντι τὴν στέρησιν ἐναντίαν, ἀλλὰ ἐκείνων γε τῶν οὐσιῶν οὐδεμιᾷ ἐναντίον οὐδὲν ἦν), φέρε οὖν αὐτὸ καθ' αὑτὸ ἐπισκεψώμεθα, εἰ οἷόν τέ ἐστιν, ἐν ὑποκειμένῳ εἶναι τὴν ψυχὴν τῷ σώματι, ἢ ὅλως τὸ εἶδος ἐν τῇ ὕλῃ. μήποτε οὖν ἄλλος τις τρόπος τοῦ ἔν τινι παρὰ τὸ ἐν ὑποκειμένῳ ἐστὶν ὁ τοῦ ὡς εἶδος ἐν ὕλῃ. οὐ γὰρ οἷόν τε τὸ εἶδος ἐν ὕλῃ ὡς ἐν ὑποκειμένῳ εἶναι, εἴ γε τὸ ἐν ὑποκειμένῳ ἐστίν, ὃ ἔν τινι μὴ ὡς μέρος ὂν ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστιν (δεῖ γὰρ τὸ ὑποκείμενον τῷ ἐν ὑποκειμένῳ ὄντι τόδε τι εἶναι), οὐδὲν δὲ

---

10 τὸ ante βούλεσθαι om. a 17 ὁρμᾶν V: ὁρᾶν a 21 Cf. Alexandri quaest. nat. 1,8 et 1,17 22 καὶ ὁ Ka ἐν ταῖς Κατηγορίαις] Ar. Cat. 5,3ª7 23 τῷ om. K ὡς ἐν K 25 ὧν om. Ka ἥ τε V: εἴ γε Ka 26 οὐκέτι δὲ] de anacoluthо cf. p. 122,14 27 εἴρηκεν ἐκεῖ] Ar. Cat. 5. 3ᵇ24 28 καίτοι λέγων] saepius cf. Ind. Ar. 700ª20 sq. 29 οὖν om. Ka 31 τις τρόπος V: τις τόπος K: τι τόπος a 35 parenthesin posuit Usenerus τι εἶναι οὐδὲν δὲ (τι supra versum vai ou in marg. δὲν δὲ in lit. m¹ sive vet. corr.) VKa οὐδὲν δὲ κτλ.] „*neque quidquam, si referatur* (πρὸς τὸ) *ad actualem existentiam definitae qualitatis, etiam extra id, in quo inesse dicitur, separatim forma* [corr. εἶδος] *est.*“ Usenerus

πρὸς τὸ εἶναι ἐνεργείᾳ τόδε τι καὶ τοῦ ἐν ᾧ λέγεται εἶναι χωρὶς εἴδους. διὰ τοῦτο γοῦν οὐδὲ ἡ ὕλη αὐτὴ καθ' αὑτὴν ὑπόστασιν ἔχειν δύναται, ὅτι μηδέπω τὸ εἰδός ἐστιν ἐν αὐτῇ. ἕκαστον γὰρ τῶν ὄντων' μετὰ εἴδους ἐστὶ τόδε τι. κατὰ γὰρ τὸ εἶδος πᾶν ἐστι τοῦτο ὃ λέγεται. ὥστε οὐκ ἂν εἴη ἐν ὑποκειμένῳ τῇ ὕλῃ τὸ φυσικὸν εἶδος. τὸ μὲν γὰρ κατὰ τέχνην γινόμενον εἶδος ἐν ὑποκειμένῳ ἐστὶ τῷ τόδε τι εἶναι καὶ εἶδος ἔχειν τὸ ὑποκείμενον, ὡς ὁ τεχνίτης τὸ τεχνικὸν εἶδος ἐμποιεῖ τε καὶ περιτίθησιν. οὐκέτι δὲ τὸ φυσικὸν εἶδος οἷόν τε οὕτως εἶναι ἐν τῇ ὕλῃ λέγειν. οὐ γὰρ τόδε τι οὐδὲ ἐνεργείᾳ ὑποκείμενον ἡ ὕλη καθ' αὑτήν. εἰ οὖν τὸ μὲν φυσικὸν εἶδος οὐκ ἐν ὑποκειμένῳ, καὶ ἡ ψυχὴ δὲ φυσικόν εἶδος, οὐκ ἂν οὐδὲ ἡ ψυχὴ ἐν ὑποκειμένῳ εἴη. οὐ γάρ ἐστιν ἡ ψυχὴ ἐν σώματι ἁπλῶς γινομένη, ἐπεὶ κἂν ἐν παντὶ σώματι ἐγίνετο, ὥστε καὶ ἐν τοῖς ἁπλοῖς, πυρί, ἀέρι, ὕδατι, γῇ· τοῦτο δὲ ἀδύνατον. ἀλλ' ἔστιν ὑποκείμενον αὐτῷ καὶ ὕλη τὸ ὀργανικὸν σῶμα, ὃ οὔτε πρὸ τοῦ τὴν ψυχὴν ἔχειν οἷόν τε ὀργανικὸν εἶναι, οὔτε ἀποβαλὸν τὴν ψυχὴν ὀργανικὸν ἔτι. οὐδὲν γὰρ ἄψυχον σῶμα ὀργανικόν. οὐκ ἄρα ἔστι λαβεῖν διὰ τοῦτο ἐν ᾧ ἐστιν ἡ ψυχή. σὺν γὰρ ταύτῃ ὂν ὀργανικόν, ὡς ὁ μόλιβδος σὺν τῇ βαρύτητι. ἀλλ' οὔτε τὸ πῦρ ἐν τῷ ἄνθρακι ὡς ἐν ὑποκειμένῳ. τὸ μὲν γὰρ πρώτως καὶ κυρίως πῦρ λεγόμενον οὐκ ἔστιν ἐν τῷ ἄνθρακι οὐδὲ ἐν ξύλῳ ἢ ἄλλῃ τινὶ τοιαύτῃ ὕλῃ (καθ' αὑτὸ γὰρ ἡ ὑπόστασις ἐκείνῳ, ὥσπερ ἀέρι τε καὶ γῇ καὶ ὕδατι). τὸ δὲ διακονικὸν πῦρ τὸ τῆς παρ' ἡμῖν ὕλης δεόμενον οὐδὲ αὐτὸ ἐν ὑποκειμένοις τοῖς ξύλοις ἐστὶν ἢ τῷ ἄνθρακι, ἀλλ' ἔστιν τούτων ἕκαστον ὕλη τῷ πυρί. ὅτε γὰρ πῦρ γέγονεν, οὐκ ἄνθραξ ἐστὶν ἔτι οὐδὲ ξύλον, ἀλλὰ ἐνεργείᾳ μὲν πῦρ ἐστιν τότε, δυνάμει δὲ ἄνθραξ, ὡς, εἴ γε ἦν τότε ἄνθραξ, ἦν ἂν ἐν ὑποκειμένῳ αὐτῷ τὸ πῦρ. ὅτι δὲ οὐκ ἔστιν ἄνθραξ, δῆλον ἐκ τοῦ μὴ ἔχειν αὐτὸ τὰ τοῦ ἄνθρακος ἴδια. τὸ δὲ ἔχον ἐν ὑποκειμένῳ τι τὴν οἰκείαν φυλάσσον οὐσίαν ἔχει τοῦτο. ὡς γὰρ ὁ ἀὴρ ἐξ ὕδατος μεταβάλλων δυνάμει μὲν ὕδωρ ἐστίν, ἐνεργείᾳ δὲ οὔ (διὰ τοῦτο οὐδ' ἐν ὑποκειμένῳ τῷ ὕδατι ὁ ἀήρ), οὕτως οὐδὲ ὁ ἄνθραξ πῦρ γενόμενος ἐν ὑποκειμένῳ αὐτῷ τὸ πῦρ ἕξει μηκέτ' ἄνθραξ μένων. οὔτε γὰρ ἐν τούτῳ ἐν ὑποκειμένῳ ἔσται, ὃ ἐν τῷ νῦν τὸ εἶναι ἔχει, οὐδὲ ἐν ἐκείνῳ ὃ πρὸ τοῦ μὲν ἦν ἄνθραξ, νῦν δὲ τοῦ πυρὸς ἐν αὐτῷ γενομένου μηκέτι ἐστίν, ἀλλὰ ἔφθαρται. σημειωτέον ὅτι Ἀριστοτέλης τὴν φύσιν εἶδος οὖσαν ἐν ὑποκει-

---

6 τὸ om. K 7 ὡς] fortasse ᾧ 16 σὺν γὰρ ταύτῃ ὂν ὀργανικόν] cf. 5,10, nisi exciderunt quaedam post βαρύτητι 17 οὔτε] fortasse οὐδὲ, sed cf. v. 31 adn. 18 ἐν om. Ka 19 τῷ ξύλῳ K 22 ξύλοις m¹ in marg. ὑλικοῖς in text. V: ὑλικοῖς Ka 24 τότε om. Ka ἄνθραξ] ἄν in lit. V 26 τι Ka: τινὶ V 31 νῦν (πρ vet. corr. supra lin.) V: πῦρ Ka: fortasse πυρὶ; ἐν τούτῳ enim (v. 30) cum ad carbonem referri debeat, sequitur ut ἐν ἐκείνῳ (v. 31) dictum sit de igni. sensus autem est: *neque in carbone* ὡς ἐν ὑποκειμένῳ *esse id, cuius natura in igni posita est* (ὃ ἐν τῷ πυρὶ τὸ εἶναι ἔχει cf. τὸ δὲ ἐν ὕλῃ τὸ εἶναι ἔχει 88,15) *neque in igni esse* ὡς ἐν ὑκομειμένῳ *carbonem.* carbonem autem ita circumscribit: *id quod antea carbo erat, nunc vero, ubi ignis in eo exstitit, carbo esse desiit et interiit.* quae cum ita sint, poterit aliquis conicere v. 17 excidisse post οὔτε τὸ πῦρ ἐν τῷ ἄνθρακι: οὔθ' ὁ ἄνθραξ ἐν τῷ πυρί 33 σημειωτέον] cf. 122,14 adn. ὁ ἀριστοτέλης K

μένῳ λέγει εἶναι ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς Ἀκροάσεως. ὑποκείμενον γάρ τι καὶ ἐν ὑποκειμένῳ ἐστὶν ἡ φύσις ἀεί. λέγει δὲ καὶ ἀρχόμενος τοῦ δευτέρου Περὶ ψυχῆς· 'οὐ γάρ ἐστι τῶν καθ' ὑποκειμένου τὸ σῶμα', καθ' ὑποκειμένου μὲν λέγων τὸ ἐν ὑποκειμένῳ. λέγων δὲ τὸ μὲν σῶμα μὴ εἶναι τοιοῦτον, τὴν δὲ ψυχήν, ἣ ὄυναται καθ' ὑποκειμένου οὐ τὸ ἐν ὑποκειμένῳ λέγειν νῦν, ἀλλ' ὃ δεῖται πρὸς τὸ εἶναι ὑποκειμένου τινός. οὕτως δὲ ἔχει καὶ τὸ εἶδος τὸ ἐν τῇ ὕλῃ. ὅτι δὲ τὸ εἶδος οὕτως, ἐντεῦθεν ἄν τις ἐπιδείξαι. εἰ τὸ εἶδος σῶμα, ἤτοι χωρὶς εἴδους ἔσται αὐτό, ἢ εἶδος ἕξει τὸ σῶμα τοῦτο. εἰ μὲν οὖν χωρὶς εἴδους, ὕλη ἔσται τὸ εἶδος. εἰ δὲ εἶδος ἕξει τὸ εἶδος, ἐκεῖνο ἤτοι καὶ αὐτὸ σῶμα ἔσται, καὶ ὁ αὐτὸς πάλιν ἐπ' ἐκείνου λόγος, ἤ, εἰ ἀσώματον, ἔσται καὶ τὸ πρῶτον εἰλημμένον εἶδος ἀσώματον. ἔτι, εἰ τὸ εἶδος ἐκεῖνο, ὃ ἦν σῶμα, εἶδος ἕξει, τὸ εἶδος ἐκεῖνο, καθ' ὃ τὸ σωματικὸν εἶδος ψυχή, ἢ ἀσώματον ἢ σῶμα ἔσται. εἰ ἀσώματον, τὸ δὲ ψυχῇ εἶναι κατὰ τὸ εἶδος εἶχεν τὸ σῶμα, ἔσται ἀσώματος ἡ ψυχή. εἰ δὲ καὶ τοῦτο σῶμα, ἐπ' ἄπειρον ὁ λόγος προελεύσεται. διὰ τί δὲ ἡ ψυχὴ ἐντελέχεια οὖσα οὐσία; ἢ πάντων τῶν φυσικῶν οὐσιῶν ἅτινα κυρίως οὐσίαι. καὶ γὰρ τὰ τεχνητὰ οὐσίαι οὐ καθὸ τεχνητά, ἀλλὰ καθὸ ὑπόκειται αὐτοῖς φυσικὰ σώματα· τῶν δὴ φύσει ὄντων τὰ εἴδη καὶ αἱ ἐντελέχειαι οὐσίαι, καθά ἐστιν ἕκαστον αὐτῶν τόδε τι, οἷον γῆ, πῦρ. καὶ τὸ ζῷον δὲ φυσικὴ οὐσία καὶ ἔστιν εἶδος αὐτοῦ καὶ ἐντελέχεια, καθὸ ζῷον, ἡ ψυχή. οὐσία ἄρα καὶ αὕτη. ἐξ οὐσιῶν γὰρ αἱ οὐσίαι. ἐκ γὰρ μὴ οὐσιῶν οὐκ ἂν οὐσία γένοιτο. ὥστε ἐπεὶ ἐξ ὕλης καὶ εἴδους αἱ φυσικαὶ οὐσίαι, ἡ ὕλη καὶ τὸ εἶδος οὐσίαι. ἔτι ἐξ ὕλης καὶ εἴδους φυσικῶν ἡ φυσικὴ οὐσία. ἐξ ὧν δὲ ἡ φυσικὴ οὐσία σύγκειται, οὐσίαι ταῦτα. τὸ εἶδος ἄρα καὶ ἡ ὕλη φυσικαὶ οὐσίαι. ἔτι εἰ οὐσίας ἴδιον τὸ τῶν ἐναντίων παρὰ μέρος εἶναι δεκτικόν, δεκτικὴ δὲ καὶ ἡ ψυχὴ τῶν ἐναντίων παρὰ μέρος (κακίας γὰρ καὶ ἀρετῆς), εἴη ἂν οὐσία. πῶς οὖν ἐκ μὲν μὴ οὐσιῶν ἀδύνατον οὐσίαν γενέσθαι, ἐξ ἀσωμάτων σῶμα γίνεται; οὔτε γὰρ ἡ ὕλη σῶμα, οὔτε τὸ εἶδος, ἐκ τούτων τὸ σῶμα. ἢ εἰ μὲν ἐγίνετο σῶμα, ἔδει αὐτὸ ἐκ μὴ σώματος γενέσθαι, πᾶν γὰρ τὸ γινόμενον ἐκ τοῦ ἀντικειμένου αὐτῷ γίνεται. ὁμοίως καί, εἰ οὐσίας ἦν γένεσις ἁπλῶς, ἐκ μὴ οὐσίας ἂν ἐγίνετο. ἐπεὶ δὲ οὐδὲν τούτων ἁπλῶς γίνεται, οὐδὲ ἡ ὕλη ποτὲ αὐτὴ καθ' αὑτὴν οὐδὲ τὸ εἶδος ὄντα ἰδίᾳ συνελθόντα σῶμα ποιεῖ, ἀλλὰ ἐπινοίᾳ μὲν ταῦτα χωρίζεται, ἀεὶ δέ ἐστιν ἡ ὕλη ἐν εἴδει τινί, καὶ οὐδέποτέ ἐστιν, ὅτε χωρὶς εἴδους ἐστίν, ἡ δὲ γένεσις τοῖς γινομένοις οὐκ ἐξ ὕλης ἁπλῶς καὶ εἴδους, ἀλλὰ ἐκ τοῦδε τοῦ

1 ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς Ἀκροάσεως] Ar. ausc. phys. 2,1 192b34 2 ἀρχόμενος τοῦ δευτέρου περὶ Ψυχῆς] de an. 2,1 412a18 τοῦ περὶ ψυχῆς δευτέρου Ka 4 μὲν om. Ka 5 τὴν δὲ ψυχήν V: δῆλον ὅτι τὴν ψυχὴν εἶναί φησιν Ka 6 λέγει Ka 7 εἶδος] εἴ in lit. V τὸ ante ἐν om. Ka 14 ψυχῇ scripsi: ψυχὴ V: ψυχῆς Ka 16 fortasse πάντων τῶν φυσικῶν ⟨γένεσις ἐξ⟩ οὐσιῶν. ita concludit: *partes, quibus formantur verae substantiae physicae, substantiae sunt. animal autem substantia physica et anima pars animalis. anima igitur substantia physica* 17—19 καὶ γὰρ τὰ τεχνητὰ—αἱ ἐντελέχειαι οὐσίαι om. Ka 21 αἱ om. Ka 22 οὐσίᾳ a 27 μὴ] οὖν Ka 28 ἀσωμάτων V: σωμάτων Ka ἐκ τούτων V: ἐξ ὧν Ka cf. 122,14 adn.

σώματος εἰς τόδε κατὰ τὴν τοῦ εἴδους ὑπαλλαγὴν γίνεται, ὥστε ἐκ τοῦ τινος σώματός τι σῶμα γίνεται, οὐχ ἁπλῶς σῶμα ἐκ σώματος. ἐγίνετο δ' ἂν σῶμα ἁπλῶς, εἴ ποτε ἐνεργείᾳ κεχωρισμένον τὸ εἶδος καὶ ἡ ὕλη συνήεσαν, καὶ οὕτως ἐκ μὴ σωμάτων. πῶς οὖν τὰ μὲν μέρη τῆς οὐσίας οὐσίαν λέγομεν, καὶ διὰ τοῦτο τὸ εἶδος καὶ τὴν ὕλην οὐσίαν φαμέν, τὰ δὲ μέρη τοῦ σώματος οὐκέτι σώματα, εἴ γε καὶ ταῦτα μέρη σώματος, τὸ εἶδος καὶ ἡ ὕλη; ἢ οὐκ ἔστι τὸ εἶδος καὶ ἡ ὕλη ὡς σώματος μέρη. σώματος μὲν γὰρ μέρη τὰ συμπληρωτικὰ τοῦ σώματος, ταῦτα δὲ οὐ συμπληροῖ τὸ σῶμα. ὡς δὲ οὐσίας ἐστὶ μέρη· διὰ ταῦτα, οὗ μέν ἐστι μέρη, τῆς αὐτῆς φύσεως ἐστὶν ἐκείνῳ, οὗ δὲ μή ἐστι μέρη, οὐκ ἔστι ταὐτὰ τούτῳ. ὅτι δὲ ὡς οὐσίας ἐστὶ μέρη, ὅῆλον ἐκ τοῦ τὴν οὐσίαν τὴν συναμφότερον καὶ καθὸ ὑπόκειται οὐσίαν λέγεσθαι καὶ καθὸ τόδε τί ἐστι τὸ εἶδος. ἡ γὰρ οὐσία ὑποκείμενον· οὐδὲν δὲ οἷόν τε ὑποκεῖσθαι μὴ τόδε τι ὄν. εἴη ἂν πρὸς τὸ ὑποκείμενον εἶναι ἡ οὐσία βοηθουμένη ὑπὸ τοῦ εἴδους. ὥστε παρ' ὧν ἔχει τὸ ὑποκεῖσθαι ἡ οὐσία καθό ἐστιν οὐσία, οὐσία ταῦτα.

Ὅτι αἱ ποιότητες οὐ σώματα.

Εἰ ἡ ποιότης σῶμα φυσικόν, πᾶν δὲ σῶμα φυσικὸν οὐσία, ἡ ποιότης οὐσία. ἢ ἡ ποιότης ἑτέρα τῆς ὑποκειμένης αὐτῇ φύσεως, οὐ γὰρ ταὐτὸν ὕδωρ καὶ ἡ περὶ αὐτὸ ψυχρότης, ἐπεὶ ἦν ἂν πᾶν τὸ ψυχρὸν ὕδωρ καὶ πᾶν ὕδωρ ψυχρόν, καὶ ἔστιν ἡ ὑποκειμένη τῇ ποιότητι φύσις οὐσία. ἡ ποιότης οὐκ οὐσία, ἑτέρας γὰρ φύσεως. τοῦτο δὲ τῇ ἐπαγωγῇ πιστωτέον· πάσης γὰρ οὐσίας ἑτέρα ἡ περὶ αὐτὴν ποιότης. ἀλλὰ μὴν τὸ πρῶτον, τὸ ἄρα δεύτερον. ἡ ποιότης οὖν ἕτερον οὐσίας, τὸ ἕτερον οὐσίας οὐκ οὐσία, ἡ ποιότης ἄρα οὐκ οὐσία. ἀλλὰ εἰ πᾶν σῶμα οὐσία, ἡ δὲ ποιότης οὐκ οὐσία, οὐκ ἄρα ἡ ποιότης σῶμα. ἔτι εἰ ἡ λευκότης σῶμα φυσικόν, πᾶν δὲ σῶμα φυσικὸν ἁπτόν, ἡ λευκότης ἄρα ἁπτή. ἀλλὰ μὴν οὐχ ἁπτή. οὐκ ἄρα σῶμα. εἰ γὰρ ἁπτὴ ἡ λευκότης, πάσχοι ἂν ἡ ἁφὴ ὑπ' αὐτῆς. ἀλλὰ μὴν οὐ πάσχει. οὐκ ἄρα ἁπτή. ἔτι ἡ ἁφὴ ὑπὸ τῶν ἐναντίων ἐναντίως διατίθεται καὶ πάσχει, σκληροῦ, μαλακοῦ, θερμοῦ, ψυχροῦ. ὥστε καὶ ὑπὸ λευκότητος καὶ μελανίας, ὅ ἐστιν ἐναντίον τῷ λευκῷ, ὑπεναντίως πάσχοι ἂν καὶ γλυκύτητος καὶ πικρότητος. ἀλλὰ μὴν οὐ πάσχει ἐναντίως. οὐκ ἄρα ἡ λευκότης ἁπτή. ἔτι πᾶν σῶμα φυσικὸν κινοῦν ἢ σῶμα τοπικῶς

---

2 οὐχ ἁπλῶς] incipit apodosis 3 ὕλης Ka κεχωρισμένον scripsi: κεχωρισμένου Va 4 μὲν om. Ka 4.5 fortasse οὐσίας οὐσίας 5 τὴν ὕλην καὶ τὸ εἶδος Ka 12 τὸ εἶδος insiticium videtur 14 ἂν V: ἂν οὖν Ka cf. Ind. s. v. asyndeton quae est hypomnematica in hoc libro scribendi ratio, permulta dissoluti sermonis exempla nolui mutare 20 ἡ ποιότης οὐκ οὐσία] cf. quae dixi ad v. 14, quae nisi obstarent, confidentius totum enuntiatum ita conformarem: ἢ ⟨εἰ⟩ ἡ ποιότης ἑτέρα τῆς ὑποκειμένης αὐτῇ φύσεως (οὐ γὰρ ταὐτὸν ὕδωρ καὶ ἡ περὶ αὐτὸ ψυχρότης, ἐπεὶ ἦν ἂν πᾶν τὸ ψυχρὸν ὕδωρ καὶ πᾶν ὕδωρ ψυχρόν), καὶ ἔστιν ἡ ὑποκειμένη τῇ ποιότητι φύσις οὐσία, ἡ ποιότης οὐκ οὐσία 22 ἀλλὰ μὴν τὸ πρῶτον, τὸ κτλ.] cf. Ind. 28 ἐναντίων ἐναναντίως (sic) V: ἐναντίως K: ἐναντίως ἐναντίως a 30 μελανίας VK: μελανείας a 32 ἁπτή Ka: ἡ (sic) ἁπτή V

κινεῖ καὶ σωματικῶς, τουτέστιν ἁπτόμενον (ἢ γὰρ ὠθοῦν, ἢ ῥιπτοῦν, ἢ ἕλκον, ἢ θλῖβον, ἢ δινοῦν, ἢ ὀχοῦν καὶ φέρον, ἢ εἴ τις ἄλλος τρόπος σωματικῆς κινήσεως), ποιότης δὲ οὐδεμία τοπικῶς κινεῖ καθ' ἑαυτήν. οὐκ ἄρα σῶμα ἡ ποιότης. ⟨ἔτι⟩ εἰ ἡ ποιότης σῶμα, πᾶν δὲ σῶμα ποιότητα ἔχει ἢ οἷόν τε | δέξασθαι ποιότητα, καὶ ἡ ποιότης ἢ ποιότητα ἔχοι ἂν ἢ οἷα 147v τε εἴη δέξασθαι ποιότητα, ὅπερ ἄτοπον. οὐκ ἄρα σῶμα ἡ ποιότης. εἰ γὰρ δέχοιτο, ἐπ' ἄπειρον ἡ πρόοδος. ἔτι εἰ ἡ ποιότης σῶμα, πᾶν δὲ σῶμα ἐνεργείᾳ ὂν ποιότητα ἔχει (ἡ γὰρ ὕλη δυνάμει σῶμα), ἕξει καὶ ἡ ποιότης ποιότητα, ὅπερ ἄτοπον. ἔτι, ἣν ἔχει ποιότητα, ἢ σῶμα ἢ οὐ σῶμα. εἰ μὲν οὖν οὐ σῶμα, οὐκέτι ποιότης σῶμα καὶ τίς ἡ ἀποκλήρωσις τοῦ τὴν 5 μὲν πρὸ αὐτῆς ποιότητα σῶμα εἶναι, ταύτην δὲ μή; εἰ δὲ καὶ αὐτὴ σῶμα, ἕξει καὶ αὕτη ποιότητα, καὶ τοῦτο ἐπ' ἄπειρον. ἔτι πολλὰ ἂν εἴη σώματα ἐν τῷ αὐτῷ. τοῦτο δ' ὅτι ἀδύνατον ἐν ἄλλοις ἐδείξαμεν. ἔτι, εἰ αἱ ποιότητες σώματα, πῶς τῇ παρουσίᾳ αὐτῶν καὶ τῇ ἀπουσίᾳ οὐκ αὔξεται καὶ μειοῦται τὰ σώματα; εἰ δὲ λέγοιεν διὰ τὸ ἄλλας παραγίνεσθαι ἄλλων ἀπιουσῶν, ἄξιον ἀπορῆσαι, πῶς ἴσαι πᾶσαι αἱ παραγινόμεναι ταῖς ἀπιούσαις. ἔτι πόθεν ἔρχονται αἱ ἐρχόμεναι, ἢ ποῦ ἀπίασιν αἱ χωριζόμεναι; δεῖ γὰρ 10 τόπον αὐτῶν εἶναι, εἰ σώματα. ἔτι ἐπὶ τῶν ὁσμὴν ἐχόντων πῶς συνεχῶς τῆς ὁσμῆς ἀπιούσης τὸ ἔχον αὐτήν, ἀφ' οὗ ἄπεισιν, οὐ μειοῦται; οὐ γὰρ δὴ καὶ τότε ἀντείσεισιν ἄλλη. ἔτι ⟨εἰ⟩ προσλαμβάνει τινὰ σώματα ποιότητας χωρὶς τοῦ ἀποβάλλειν ὧν ἔχουσίν τινας, ὡς ὁ ἀὴρ ὁ μὴ ἔχων ὁσμήν, τῶν ὀδωδότων τινὸς παρακομισθέντος δίοσμος γίνεται, καὶ ὁ ἀρετὴν ἢ κακίαν ἀναλαβών, μὴ πρότερον ὢν ἐν κακίᾳ, πῶς οὖν οὐκ αὔξονται; ἔτι εἰ ἡ ποιό- 15 της σῶμα, ἡ ἐν τῷ μήλῳ ἡ κατὰ τὴν ὁσμὴν ποιότης ὅλον ὡς δι' ὅλου διήκει τοῦ σώματος τοῦ μήλου καὶ ἴσον αὐτῷ κατέχει τόπον. ἀλλὰ μὴν μετακομισθέντος τοῦ μήλου καὶ ὁ πέριξ ἀὴρ εὐωδίας ἀνεπλήσθη πολλαπλάσιος ὤν, ὥστε καὶ διὰ τούτου ἡ αὐτὴ ποιότης διῆλθεν καὶ ἴσον αὐτῷ κατέσχεν τόπον, κἂν πάλιν μετακομισθῇ τὸ μῆλον πάλιν ἄλλον ἀέρα ἀναπλήσει. πῶς οὖν τὸ ἴσον σῶμα μένον καὶ διῆκον καὶ διὰ τοῦ μήλου ἐκεῖ- 20 νόν τε μένει κατέχον τὸν τόπον σὺν τῷ μήλῳ καὶ ἅμα πολλαπλάσιον ἄλλον καὶ ἄλλοτε ἄλλον; οὔτε γὰρ ἡ αὐτὴ εὐωδία ἐν τῷ πρώτῳ ἀέρι συμμεταφέρεται τῷ μήλῳ, οὔτε ἐκ τοῦ μήλου ἀεὶ ἄλλη καὶ ἄλλη εὐωδία γεννᾶται. πῶς γὰρ οἷόν τε ἐξ ὀλίγου σώματος πολυπλάσιον προϊέναι μηδενὸς προσγινομένου αὐτῷ; ἔτι οὐδὲν σῶμα εἰς τὸ μὴ ὂν φθείρεται, αἱ δὲ ποιότητες εἰς τὸ μὴ ὂν φθείρονται. οὐκ ἄρα αἱ ποιότητες σώματα. οὐ γὰρ ἡ λευκότης μελανία ἐγένετο ὑπομείνασα. ἔτι εἰ ἡ ποιότης σῶμα, πᾶν δὲ σῶμα ἢ ὕλη ἢ ἐξ ὕλης καὶ ποιότητος, εἴη ἂν καὶ ἡ ποιότης τούτων τι. ὕλη 25 μὲν οὖν ἀδύνατον. λείπεται ἄρα ἐξ ὕλης καὶ ποιότητος λέγειν τὴν ποιότητα.

---

4 ἔτι εἰ scripsi: εἰ VKa 5 ἔχει Ka 13 ἐν ἄλλοις] de mixtione libellum respicere videtur. Cf. 20,18 ἐδείξαμεν VK: καὶ δείξαμεν a 19 ἄπισιν V 20 ἀντείσισιν V ἔτι εἰ scripsi: ἔτι VKa 26 μετακομησθέντος, μ in lit. V, fortasse παρακομισθέντος cf. v. 22 27 ἴσον semper V: ἶσον a 31 fortasse ⟨ἡ⟩ ἐν τῷ πρώτῳ ἀέρι 33 πολυπλάσιον V: πολλαπλάσιον Ka 37—38 εἴη ἂν—ποιότητος om. K

εἰ δὲ τοῦτο, πρῶτον μὲν ἡ ποιότης οὐ ποιότης, ἀλλὰ ὕλη καὶ ποιότης (ἕτερα γὰρ ἀλλήλων ταῦτα), ἔτι δὲ ἡ μετὰ τῆς ὕλης ποιότης καὶ αὐτὴ πάλιν ὕλη καὶ ποιότης εἴη ἄν, εἰ σῶμα, καὶ οὕτως ἐπ' ἄπειρον, καὶ ἄπειροι ὗλαι εἶεν ἂν ἐν ἑκάστῃ ποιότητι. εἰ γὰρ ἡ ὕλη ποιότης, πᾶν ἐνεργείᾳ σῶμα ὂν εἴη ἂν οὐκ ἐξ ὕλης καὶ ποιότητος, ἀλλ' ἐκ ποιότητος καὶ ποιότητος, τουτέστιν ἐξ ὕλης καὶ ὕλης, εἴ γε ταὐτὸν ἡ ὕλη καὶ ἡ ποιότης, καὶ οὐδὲν διοίσει ἡ ὕλη τοῦ κατ' ἐνέργειαν σώματος. εἰ δὲ τοῦτο, ἄποιος δὲ ἡ ὕλη, ἄποιον ἂν εἴη καὶ τὸ κατ' ἐνέργειαν σῶμα καὶ ἢ οὐδ' ὅλως ἔσται ἡ ποιότης ἢ οὐδὲν ἄλλο σῶμα ἢ ποιότης. ἔτι εἰ σῶμα αἱ ποιότητες, καὶ τὸ φῶς ποιότης, καὶ ὡς δοκεῖ αὐτοῖς σῶμα, πῶς ἀπὸ τοῦ λύχνου οὕτως ὄντος μικροῦ σώματος τοσοῦτον ἀπέρχεται σῶμα, ὥστε ἐξισωθῆναι τῷ περιξ ἀέρι τοσούτῳ ὄντι καὶ μετενεχθέντος πάλιν εἰς ἄλλον ἀέρα ἄλλο πάλιν ἄπεισιν τοσοῦτον; ἢ πῶς οὐκ αὔξεται ὁ ἀὴρ τοσούτου προσγινομένου σώματος αὐτῷ, ἢ πῶς διήκει δι' αὐτοῦ μεστοῦ ὄντος καὶ κιρνᾶται αὐτῷ τὸ φῶς; ἤ, εἰ τοῦτο συμμεταφέρεται, πῶς ἥνωται τῷ λύχνῳ τὸ ἐκτὸς ὑπ' αὐτοῦ γινόμενον φῶς; ἔτι πῶς ὁ ἐν τῷ οἰκιδίῳ ἀὴρ ὅταν πολλὰς λάβῃ ποιότητας οὐκ αὔξεται; ἐν ἴσῳ γὰρ τῷ αὐτῷ καὶ φῶς καὶ θερμότης καὶ ὀσμὴ καὶ χρῶμα καὶ ψόφος. ταῦτα δὴ πάντα σώματα ὄντα καὶ δι' ὅλου τοῦ ἀέρος τοῦ ἐν τῷ οἰκιδίῳ ὄντα πῶς οὐκ αὔξει αὐτὸν ἢ πῶς οὐ ῥήγνυσιν τὸν οἶκον; ὁ γὰρ ἐν τῷ ἀσκῷ ἀὴρ ὀλίγον αὐξηθεὶς ῥήγνυσιν τὸν ἀσκόν. ὅτι γὰρ ἄλλο ἐστὶ ποιότης παρὰ τὸ ποιότητα ἔχον καὶ πεποιωμένον σῶμα τῇ τε ἐπινοίᾳ καὶ τῷ λόγῳ, ἐντεῦθεν δῆλον. ἤτοι ταὐτόν ἐστι τὸ σῶμα καὶ τὸ ποιὸν σῶμα ἢ ἕτερον. εἰ μὲν ἕτερον, δῆλον ὡς προσθήκῃ τινὶ καὶ διαφορᾷ τὸ ποιὸν σῶμα τοῦ σώματος ἕτερον. [ἐναργὲς δὲ τὸ εἶναι αὐτὸ ἕτερον. καὶ γὰρ αἱ ὁρισμοὶ αὐτῶν καὶ οἱ λόγοι διαφέρουσιν.] ᾧ δὴ διαφέρει τὸ ποιὸν σῶμα τοῦ σώματος, τοῦτ' ἔστιν ποιότης, ὥστε τὸ σῶμα ποιότητος παρουσίᾳ καὶ προσθήκῃ ποιὸν σῶμα ἐγένετο. ἕτερον δὲ τὸ μετειλῃφός τινος τοῦ πρὸ τοῦ μετειλῃφέναι, καὶ ἕτερον τὸ μεταλαμβανόμενον τοῦ μεταλαμβάνοντος. ᾧ δὴ διαφέρει τὸ ποιὸν σῶμα τοῦ σώματος, τοῦτ' ἔστιν ποιότης, οὐ σῶμα οὖσα δηλονότι. τὸ γὰρ σῶμα κοινὸν τῷ τε σώματι καὶ τῷ ποιῷ σώματι, καὶ οὐ διαφέρει τὸ ποιὸν σῶμα τοῦ σώματος ποιῷ σώματι, ἀλλὰ ποιότητι. ὁριζόμενοι γοῦν τὸ ποιὸν σῶμα καὶ τὸ σῶμα τὴν διαφορὰν αὐτῶν οὐ κατὰ ποιὸν σῶμα, ἀλλὰ κατὰ ποιότητα ποιούμεθα. εἰ δέ τις λέγοι ταὐτὸν εἶναι σῶμα καὶ ποιὸν σῶμα, πρῶτον οἱ λόγοι αὐτῶν οἱ αὐτοὶ ἔσονται, ὥστε ἔσται λευκοῦ σώματος καὶ πάλιν σώματος καὶ μέλανος σώματος ὁ αὐτὸς λόγος. εἰ δὲ τοῦτο, καὶ λευκοῦ σώματος καὶ μέλανος σώματος ὁ αὐτὸς ἔσται λόγος. ἑκάτερος γὰρ αὐτῶν ὁ αὐτὸς τῷ τοῦ σώματος. ἔτι εἰ ταὐτόν ἐστι σώματι εἶναι καὶ ποιῷ σώματι, ταὐτὸν ἔσται

---

1 ἡ—οὐ ποιότης] ἡ ποιότης οὐ ποιότης K: οὐ ποιότης ἡ ποιότης a 4 ἂν om. Ka
15 συμμεταφέρεται] verba respicit: καὶ μετενεχθέντος πάλιν εἰς ἄλλον ἀέρα ἄλλο πάλιν ἄπεισιν τοσοῦτον 19 ὄντα VKa: ὄντος ex Vict.: fortasse διήκοντα 22 ἐπινοίᾳ V
24. 25 ἐναργὲς—διαφέρουσιν] argumentum ex margine inlatum delevi 27 τὸ μὴ μετειλῃφός Ka 34 λέγον Ka 37 σώματος om. Ka τῷ] fortasse ὡς

τὸ σῶμα τὸ ὑποκείμενον τῷ λευκῷ καὶ τὸ ἡδὺ δεδεγμένον τὴν λευκότητα καὶ λευκόν, καὶ θατέρου φθειρομένου φθαρήσεται | καὶ τὸ ὑποκείμενον 148r
σῶμα τῷ λευκῷ. οὐχ ὁρῶμεν δὲ τοῦτο γινόμενον. ὑπομένον γὰρ τοῦτο τὸ τέως λευκὸν ταὐτὸν τῷ ἀριθμῷ δέχεται τὰ ἐναντία.

Πρὸς τοὺς μηδὲν τῶν τεττάρων σωμάτων ἁ στοιχεῖα λέγομεν κατ' ἰδίαν ὑφίστασθαι λέγοντας.

Εἰ τὰ τέσσαρα σώματα ἀεὶ μετ' ἀλλήλων μέμικται καὶ καλεῖται ἕκαστον αὐτῶν τόδε τι ἀπὸ τοῦ πλεονάζοντος ἐν αὐτῷ, μὴ δύναται δὲ κατ' ἰδίαν τι αὐτῶν ληφθῆναι διὰ τὸ εἶναι γῆς μὲν ἴδιον τὸ ἀντιτυπές, πυρὸς δὲ τὸ ὁρατόν, τῶν δὲ ἄλλων ἑκάστου ἄλλο τι, καὶ διὰ τοῦτο ἕκαστον αὐτῶν πλείοσιν αἰσθήσεσιν αἰσθητὸν εἶναι, καθόσον κεκοινώνηκεν καὶ τῶν ἄλλων (καὶ γὰρ τὸ πῦρ ἁπτὸν καὶ ἀντιτυπές, διότι γῆν ἔχει, καὶ ἡ γῆ ὁρατόν. διότι πῦρ ἐστιν ἐν αὐτῇ), τί ποτε ἐροῦσιν ἴδιον εἶναι σώματος καὶ τίνα τὸν λόγον ἀποδώσουσιν τοῦ κοινοῦ καὶ φυσικοῦ σώματος, καθὸ σῶμα; εἰ γὰρ μή ἐστι παντὸς σώματος ἡ ἀντιτυπία μηδέ ἐστιν ὁ λόγος αὐτοῦ τὸ τριχῇ διαστατὸν μετὰ ἀντιτυπίας (τοῦτο γὰρ ἴδιόν φασι τῆς γῆς), τίς ὁ τοῦ κοινοῦ σώματος λόγος; δεῖ γὰρ εἶναί τινα, εἴ γε τῶν γενῶν ἐστίν τις λόγος καὶ ἄλλος τις παρὰ τὸν τῶν εἰδῶν ἑκάστου. ταύτῃ γὰρ τὸ γένος τῶν ὁμωνύμως λεγομένων διαφέρει. ἔτι, εἰ διὰ τοῦτο ὁ ἀὴρ ἁπτός, ὅτι γῆς ἔχει, καὶ διὰ τοῦτο οὐκ ἔστιν ἀντιτυπίαν ἔχων πάνυ τι, διότι ἔλαττον ἔχει γῆς, τί δή ποτε, ἐπειδὰν ἀσκὸν πνεύματος πληρώσῃ τις, ἀντιτυπεῖ τότε μᾶλλον; δεήσει γὰρ αὐτοὺς λέγειν γῆς τότε πλεῖον τὸ πνεῦμα μετειληφέναι, εἴ γε παρὰ τῆς γῆς ἡ ἀντιτυπία. εἰ δέ, ὅτι μὴ χεῖσθαι δύναται συγκεκλειμένος, διὰ τοῦτο ἔχει τὴν ἀντιτυπίαν, οὐ παρὰ τὸ πλέον ἢ ἔλαττον ἔχειν γῆς τὸ ἀντιτυπὲς αὐτῷ, ἀλλὰ παρὰ τὴν οἰκείαν φύσιν. ὁ γὰρ αὐτὸς μένων ποτὲ μὲν μᾶλλον, ποτὲ δὲ ἧττον ἀντιτυπεῖ, ὥστε παρ' ἄλλο τι ἡ ἀντιτυπία. ἔτι, εἰ εἰς ἄλληλα τὰ σώματα μεταβάλλει ταῦτα, κοινῆς ὕλης ὑποκειμένης αὐτοῖς, καὶ ἔστι κατὰ τὸ εἶδος ἐναντίωσιν ἔχοντα πρὸς ἄλληλα, καὶ ἀεὶ τὸ ἐπικρατοῦν μεθίστησιν εἰς τὴν οἰκείαν φύσιν τὸ κρατούμενον, τί δή ποτε ἐπὶ μὲν τῶν ἔξω κεχωρισμένων τὰ παρακείμενα ἀλλήλοις τὰ ἐλάττονα ὑπὸ τῶν πλειόνων, εἰ εἴη ἐναντία, φθείρεται, ἐνυπάρχοντα δὲ ἑκάστῳ τὰ ἐλάττονα ἐν τοῖς μείζοσιν καὶ διὰ τοῦτο λεγομένοις τόδε τι εἶναι, ἀπὸ τοῦ πλεονάζοντος οὐ φθείρεται τὴν αὐτῶν φύσιν; τοῖς γὰρ οὕτως λέγουσιν συμβήσεται κατὰ τὰς ὁμοιομερείας τὰς Ἀναξαγόρου τὴν γένεσιν κατὰ σύγκρισιν καὶ ἔκκρισιν τῶν στοιχείων λέγειν, οὐ κατὰ μεταβολήν. ἔτι, εἰ πᾶν τὸ λαμβανόμενον τὰ τέτταρα ἐν αὐτῷ ἔχει, καὶ μὴ δυνατὸν εἰλικρινές τι ληφθῆναι, ἐπ' ἄπειρον ἡ πρόοδος ἔσται ἀεὶ τοῦ λαμβανομένου καὶ ἀφαιρου-

---

1 τὸ ante ὑποκείμενον om. Ka 5 τεσσάρων a ut solet 9 ἀντιτυπές a: ἄντιπες V 13 ἐν αὐτῷ a 18 ὁμονύμως a 22 τότε om. a πλέον a πνεῦμα τότε a 23 συγκεκλεισμένα a 30 ἔξω V: ἄλλων a 31 εἴη] εἰ in lit. V 33 αυτῶν V: αὐτῶν a 36 αὐτῷ?

μένου τῶν τεττάρων κεκοινωνηκότος. εἰ γάρ, ὅτε ἐκπίπτει τὴν αἴσθησιν διὰ σμικρότητα, τότε ἐροῦσιν αὐτὰ εἰλικρινῆ λαμβάνεσθαι, οὐκ ἔτ' ἔσται μεμιγμένα πάντα. [ἔτι εἰ καὶ μηκέτι ὁρώμενον ἔτι μέμικται πυρί, οὐ διότι ὁρατόν ἐστιν, διὰ τοῦτο πυρὸς ἔχει· καὶ γὰρ μηκέτι ὁρατὸν ὂν μηδὲ ὁρώμενον ἔτι κεκοινώνηκεν πυρὸς τότε.] ἔτι πῶς ἐκ τῆς τῶν τοιούτων συνθέσεως τὸ ὁρατὸν ἔσται; οὐ γὰρ δὴ ἐκ τῶν ἀμίκτων ἡ σύνθεσις μῖξίν τινος τῶν ἄλλων ποιήσει. εἰ δὲ ἡ τῶν τοιούτων σύνθεσις ἀόρατος ἔσται τῷ ἄμικτον ἕκαστον αὐτῶν εἶναι πυρός, δυνήσεταί τι οὕτως συντιθέμενον σῶμα ἐπ' ἄπειρον αὐξόμενον ἀόρατον μένειν. ὁμοίως δὲ καὶ ἀναφές, εἰ ἐκ τῶν καθαρευόντων τῆς γῆς συντίθοιτο. ἔτι πότερον λέγουσιν ἀδύνατον εἶναι τὴν ὕλην θερμότητα καὶ ξηρότητα δέξασθαι καὶ πῦρ γενέσθαι ἄνευ ψυχρότητος καὶ ξηρότητος, ἐν οἷς τῇ γῇ τὸ εἶναι, ἢ οἷά τε καὶ χωρὶς ψυχρότητος δέχεσθαι θερμότητα; εἰ μὲν γὰρ ἀδύνατον ἐροῦσιν, πῶς οὐκ ἄτοπον κατὰ τὸ αὐτὸ αὐτὴν ψυχρότητός τε καὶ θερμότητος εἶναι δεκτικήν, τῶν ἐναντίων, ὧν ἀδύνατός ἐστι τὸ ἕτερον ἰδίᾳ δέξασθαι; εἰ δέ, ὅπερ εὔλογον, χωρὶς τοῦ ἑτέρου θάτερον οἷά τε δέξασθαι (κατὰ γὰρ ταὐτὸν ἀδύνατον), πῶς οὐκ ἔσται τὸ ὑποκείμενον θερμότητα καὶ ξηρότητα ἔχον ἁπτόν; ἔσται γὰρ οὕτως τὸ θερμὸν οὐκ αἰσθητὸν αὐτοῖς κατὰ τὴν αὑτοῦ φύσιν. εἰ δέ γε ἀδύνατόν ἐστιν αὐτὸ ὑφεστὸς ἐνεργείᾳ ὑπ' αἴσθησιν πεσεῖν, εἰ μὴ καὶ ψυχρότητος αὐτῷ μεμιγμένον εἴη· ἐν γὰρ τούτῳ τῇ γῇ τὸ εἶναι, καὶ τούτῳ τοῦ πυρὸς διαφέρει. ὥστε ἔσται παρὰ τοῦ ἐναντίου αὐτῷ τὸ αἰσθητόν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, καὶ οὕτως οὐδὲν ἄμικτον ὂν τοῦ ἐναντίου καὶ εἰλικρινὲς αἰσθητὸν ἔσται.

Ὅτι ὁ ἀὴρ φύσει θερμός.

Εἰ τὸ πῦρ, θερμὸν καὶ ξηρὸν ὄν, φύσει κοῦφόν ἐστιν, εἴη ἂν τὸ μετ' αὐτὸ κοῦφον κοινωνοῦν αὐτῷ κατ' ἐκεῖνο, καθ' ὃ κοῦφον ἦν. ἀλλὰ μὴν τὸ πῦρ κοῦφόν τε καὶ θερμόν ἐστιν, τὸ γοῦν ξηρὸν φύσει ἐν τῇ γῇ ἐστιν, οὖσῃ βαρείᾳ, καὶ ὁ ἀὴρ ἄρα, δευτέρως κοῦφος ὤν, θερμός ἐστιν. ἔτι, εἰ τὰ ἄλλα τὰ γειτνιῶντα ἀλλήλοις στοιχεῖα κατὰ κοινόν τι γειτνιᾷ, εὔλογον καὶ τὸν ἀέρα τῷ πυρὶ ἔχειν τι κοινὸν σύμβολον. ὑγρὸς δ' ὢν τί ἂν ἄλλο

---

1 κεκοινονηκότος a 2 ἔτ' om. a 3 καὶ om. a . verba, quae uncis seclusi, huic loco non potest scriptor destinasse, cum verbis sequentibus (ἔτι πῶς ἐκ τῆς κτλ.) eorum opinionem refellere pergat, qui esse quaedam minima corpora ignis expertia contendant: fortasse igitur post συντίθοιτο v. 10 collocanda sunt 6 μῖξίς a 8 αὐτῶν ἕκαστον a 14 θερμότητος V: ξηρότητος a ἐναναντίων V 15—16 εἰ δέ usque ad δέξασθαι om. a 18 fortasse φύσιν, εἴ γε ἀδύνατόν ἐστιν .. πεσεῖν, εἰ μὴ .. μεμιγμένον εἴη· ἐν γὰρ τούτῳ .. διαφέρει, ὥστε. continent enim haec verba εἰ δέ γε—διαφέρει adversariorum argumenta, quae si cum praecedentibus artius coniunxerimus, et anacoluthon tollitur et sententiae (inde a πῶς οὐκ v. 16) bene sic procedunt: *cur materia cum calido siccoque coniuncta non tactilis est? hoc enim negantibus fatendum erit* (ἔσται γὰρ οὕτως αὐτοῖς), *calidum per se non sensibile esse, quia (secundum eosdem) calidum, licet* ὑφεστὸς ἐνεργείᾳ, *nisi cum frigido mixtum percipi non potest* 21 αὐτοῦ a 24 θερμόν a 27 fortasse κοῦφον καθὸ θερμόν 28 βαρείᾳ a: βαρεία K: βαρεῖα V

κοινὸν ἔχοι πρὸς αὐτὸ ἢ τὸ θερμὸς εἶναι; ἔστιν γὰρ τῇ μὲν γῇ καὶ τῷ ὕδατι τὸ ψυχρὸν κοινόν, τῷ δὲ ὕδατι καὶ τῷ ἀέρι τὸ ὑγρόν, τῷ δὲ ἀέρι καὶ τῷ πυρὶ λείπεται τὸ θερμόν. ἔτι εἰ τὰ ἁπλᾶ ἐστι τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν καὶ ταῦτά ἐστι τὰ εἰδοποιοῦντα τὰ στοιχεῖα, εἴδει ἂν ἀλλήλων διαφέροι τὰ ἁπτικῇ ἁπλῇ διαφορᾷ διαφέροντα. 118v ὥστε εἰ τὸ ὕδωρ καὶ ὁ ἀὴρ εἴδει διαφέρουσιν, ἁπλῇ ἄν τινι διαφορᾷ διαφέροιεν. ἀλλὰ μὴν τὸ ὑγρὸν αὐτοῖς τὸ αὐτό ἐστι, λείπεται ἄρα κατὰ ψυχρὸν καὶ θερμὸν εἶναι τὴν διαφορὰν αὐτοῖς. ἔτι εἰ τὰ κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀλλήλων διαφέροντα εἴδει οὐ διαφέρει, καὶ ὁ ἀὴρ ψυχρὸς καὶ ὑγρός, οὐκ ἂν τοῦ ὕδατος εἴδει διαφέροι· καὶ γὰρ ἐκεῖνο ψυχρόν τε καὶ ὑγρόν ἐστι. καὶ γὰρ εἰ τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον λέγοι τις, ἀλλ' οὖν εἴδει οὐ διοίσει· ἄμφω ἄρα ἕν, καὶ οὐκέτι τὰ στοιχεῖα τέσσαρα. ἔτι εἰ τεττάρων οὐσῶν συμπλοκῶν ἐκ τοῦ ξηροῦ καὶ ὑγροῦ καὶ θερμοῦ καὶ ψυχροῦ αἱ τρεῖς τὰ ἄλλα στοιχεῖα εἰδοποιοῦσιν, εὔλογον τὴν καταλειπομένην συζυγίαν τὸν ἀέρα εἰδοποιεῖν. εἰδοποιεῖ γὰρ τὸ μὲν θερμὸν καὶ ξηρὸν τὸ πῦρ, τὸ δὲ ξηρὸν καὶ ψυχρὸν τὴν γῆν, τὸ δὲ ψυχρὸν καὶ ὑγρὸν τὸ ὕδωρ, τὸ ἄρα θερμὸν καὶ ὑγρὸν εἰδοποιήσει τὸν ἀέρα. ἔτι οὗ ἡ γένεσις διὰ θερμοῦ, τοῦτο θερμὸν τῇ αὑτοῦ φύσει. τῷ δὲ ἀέρι γένεσις ἐξ ὕδατος διὰ θερμοῦ γίνεται. θερμαινόμενον γὰρ τὸ ὕδωρ εἰς ἀέρα μεταβάλλει. ἀλλὰ καὶ ὅσον ἐκ γῆς εἰς ἀέρα μεταβάλλει, θερμαινομένης τρέπεται καὶ μεταβάλλει. ὥστε θερμὸς ὁ ἀὴρ τῇ αὑτοῦ φύσει. ἔτι εἰ κατὰ τὸ σύμβολον ἡ μεταβολὴ τοῖς στοιχείοις εὐκολωτέρα γίνεται εἰς ἄλληλα καὶ ἔστι τοῖς τρισὶν κοινόν τι σύμβολον ἄλλῳ πρὸς ἄλλο, εἴη ἂν καὶ τῷ ἀέρι καὶ τῷ πυρὶ κοινὸν σύμβολον. οὐδὲν δὲ ἄλλο δύναται, ἢ θερμόν. θερμὸς ἄρα ὁ ἀήρ. ἔστι δὲ σύμβολον τὸ κοινὸν γῇ μὲν καὶ ὕδατι τὸ ψυχρόν, πυρὶ δὲ καὶ γῇ τὸ ξηρόν, ὕδατι δὲ καὶ ἀέρι τὸ ὑγρόν, πυρὶ δὲ καὶ ἀέρι τὸ θερμόν.

Πρὸς τοὺς δι' ἀκτίνων λέγοντας γίνεσθαι τὸ ὁρᾶν.

Εἰ κατὰ ἀκτίνων ἔκχυσιν καὶ πρόπτωσιν τὸ ὁρᾶν, δῆλον ὅτι σώματα αὗται. οὐδὲ γὰρ οἷόν τε ἄλλως κινηθῆναι αὐτὰς καὶ προελθεῖν. τοῦτο δὴ τὸ σῶμα τὸ τῶν ἀκτίνων πότερον ἀήρ ἐστιν ἢ φῶς ἢ πῦρ; καὶ πότερον συνεχές ἐστιν, ἢ διῃρημένον; καὶ εἰ συνεχές, πότερον ἐκπίπτει τοιοῦτον, ἢ ἐκπίπτει μὲν διῃρημένον, ἐκπεσὸν δὲ συμφύεται καὶ γίνεται συνεχές; πάντα γὰρ ταῦτα ἄτοπα. εἰ μὲν οὖν ἀήρ ἐστι, τί δεῖ αὐτὸν ἐκπεσεῖν, ὄντος γε καὶ ἔξω ἀέρος; εἰ δὲ φῶς καὶ οἷον ἀὴρ διαυγής (τοιοῦτον γάρ τι τὸ φῶς εἶναι οἰόμεθα), καὶ οὕτως μὲν περίεργος ἡ ἔκπτωσις, ὄντος γε καὶ ἔξω φωτός. καὶ γὰρ οὐδὲ ἄνευ τοῦ ἔξω δυνατὸν ὁρᾶν ἐστιν. εἶτα διὰ τί νύκτωρ καὶ σκότους οὐχ ὁρῶμεν; αὐτὸ γὰρ τὸ διὰ τῶν ὀφθαλμῶν ἐκπῖπτον φῶς ἱκανὸν

---

5 διαφέρει Ka 9 εἴδει ex. Vict.: εἴδῃ VKa 10 διαφέρει Ka 23—24 ἄλλῳ usque ad σύμβολον om. Ka 24 δύναται εἶναι ἢ Ka cf. Ind. 27 διὰ τῶν Ka τὸ ὁρᾶν λέγοντας Ka γίνεσθαι om. Ka 33—34 εἰ μὲν—ἀέρος] cf. Al. de sens. comm. 64,10—11 35 μὲν] fortasse μένει sed cf. Ind. 36 εἶτα διὰ τί κτλ.] cf. Al. de sens. 65,6—11

ἂν ἦν φωτίζειν τὸν θύραθεν ἀέρα, ὅ γε καὶ μέχρι τῶν ἄστρων ἀποτείνεσθαι πέφυκεν· οὕτως ἐστὶν ἰσχυρόν. εἰ δέ ἐστιν ἀσθενέστερον τοῦ μεθημερινοῦ φωτός, ἐχρῆν τοσούτῳ μᾶλλον νύκτωρ μὲν καὶ σκότους ὁρᾶν, ἡμέρας δὲ μή. τὸ γὰρ ἧττον ἀεὶ φῶς ὑπὸ τοῦ λαμπροτέρου φωτὸς μαραίνεται· οὕτως γοῦν καὶ λάμπει ἔνια νυκτός, τῆς ἡμέρας δὲ ἐπισκοτεῖται τὸ λάμπον αὐτῶν, ὡς ὀστέα τινὰ καὶ κεφαλαὶ ἰχθύων καὶ αἱ πυγολαμπίδες λεγόμεναι. ἔτι πῶς, εἰ ἀσθενές ἐστι τὸ ἐκπεμπόμενον, ἅμα πολλῶν εἰς ταὐτὸ συνελθόντων σκότους, τί δή ποτε οὐχ ἱκανὸν γίνεται τὸ ἐκ πάντων μιχθέν, ὥσπερ καὶ τὸ ἀπὸ λύχνων πλειόνων φωτίζει πλέον, ὧν ἕκαστος οὐκ ἦν αὐτάρκης, φωτίζειν τοσοῦτον; ἔτι εἰ τὸ φῶς ὁρατόν ἐστιν, πῶς τὰς ἀλλήλων ὄψεις οὐχ ὁρῶμεν οὔτε ἡμέρας οὔτε ἐν σκότῳ; εἰ δὲ μήτε ἀήρ ἐστι τὸ ἐκπεμπόμενον μήτε φῶς, λείπεται πῦρ εἶναι. εἰ πῦρ ἐστιν, εἴη ἂν θερμόν τε καὶ καυστικόν. οὐκ ἔστι δέ· ὥστ' οὐδὲ πῦρ. εἰ γὰρ μὴ καυστικόν, φῶς πάλιν ἐροῦσιν. τί δή ποτε ἔσται τοῦτο τὸ φῶς; πυρὸς μὲν γὰρ ἀπόρροια οὐκ ἔστιν, ὡς οἴονται· καὶ γὰρ ἄλλα τινὰ φωτίζει οὐκ ὄντα πῦρ. ἔτι εἰ πῦρ ἐστι τὸ ἐκπεμπόμενον, πῶς οὐκ ἀποσβεσθήσεται ἐν ὕδατι; ὁρῶμεν δὲ καὶ ἐν ὕδατι, ὁρᾷ δὲ καὶ τὰ ἐν τῷ ὕδατι ζῷα. ἔτι εἰ πῦρ τὸ ἐκπεμπόμενόν ἐστι, κατὰ φύσιν ἂν εἴη αὐτῷ ἡ εἰς τὸ ἄνω κίνησις. ὥστε ἐχρῆν ἡμᾶς μὴ ὁμοίως ὁρᾶν ἄνω τε καὶ κάτω ὁρῶντας, ἀλλὰ ἄνω μὲν ῥᾷον, κάτω δὲ βιαζομένους καὶ μόγις. ἔτι εἰ δι' ἀκτίνων τὸ ὁρᾶν, ἀφή τις ἡ ὄψις ἔσται καὶ κατὰ ἁφὴν ἡ τῶν ἀκτίνων ἀντιληψις. εἰ δὲ αἱ ἀποτεινόμεναι ὄψεις αἰσθητικαί εἰσιν, διὰ τί οὐχὶ καὶ θερμοῦ καὶ ψυχροῦ αἰσθάνονται; μᾶλλον γὰρ ⟨ἂν⟩ τῶν ἁπτῶν διαφορῶν, ἢ τῶν χρωμάτων αἰσθάνοιντο. ἔτι εἰ συνεχὲς ἐκπίπτοι τὸ τῆς ὄψεως σῶμα, δεήσει πρῶτον μὲν πόρον τινὰ σύμπασαν τὴν κόρην εἶναι, ὅπερ οὐχ οὕτως ἔχειν φαίνεται. ἔπειτα, εἰ καὶ συνεχὲς ἐκπέμπεται, πῶς οὐ σκεδάννυται τοῦτο τὸ ῥεῦμα τὸ τῆς ὄψεως σχιζόμενον περὶ τὸν ἀέρα τὸν ἔξωθεν λεπτότερον ὂν αὐτοῦ; ἢ εἰ μὴ σκεδάννυται, πῶς οὐκ εἰς στενὸν συνάγεται προϊόν; τοιοῦτον γάρ τι ὁρῶμεν καὶ τὰ ἄλλα σώματα πάσχοντα προχωροῦντα· καὶ γὰρ ὕδωρ προχωροῦν ἤτοι χεῖται ἢ στενοῦται, καθάπερ τὸ ἐκ τῶν χρουνῶν ῥέον, καίτοι στερεώτερον ὂν τῶν ἀκτίνων· ἡ δὲ φλὸξ εἰς ὀξὺ ἀπολήγει. τὸ δὲ τῆς ὄψεως σῶμα πῶς εἰς κῶνον πλατύνεται καὶ μείζονα ἐπὶ πλέον προχωροῦν μήτε τῶν παχυτέρων μήτε τῶν λεπτοτέρων σωμάτων τοῦτο πασχόντων; ἔτι εἰ σῶμά ἐστι, τόπον κατέχει. ἤτοι οὖν σῶμα διὰ σώματος δίεισιν ἢ

3 σκότους m^2, σκότος m^1 V: σκότους Ka 4 τὸ γὰρ ἧττον κτλ.] cf. Al. de sens. 47,13sq. φῶς ὑπὸ VK: φωτὸς ὑπὸ a 6 λαμπὸν Va 8 supra ταὐτὸ: τὸ m^2 V 11 ἄλλων Usenerus 12 εἰ m^1 V, εἰ οὖν m^2: εἰ οὖν Ka cf. 122,14 14 δή m^2, δέ m^1 V: δή Ka ἐστι Ka 15 οἴονται Ka: οἷόν τε V 16 ἔτι εἰ κτλ.] cf. Al. de sens. 47,12 εἰ πῦρ ἐστι om. Ka 17 ὁρῶμεν δὲ κτλ.] cf. Al. de sens. 65,3 ἔτι εἰ πῦρ κτλ.] cf. Al. de sens. 64,11 – 65,3 20 εἰ δι' V ex Vict.: ἡ δι' corr. in εἰ δι' K: ἡ δι' a 23 ἂν addidi 24 ἐκπίπτει Ka 25 πόρον] ante ρ 2—3 lit. er. V 27 τὸν ante ἔξωθεν] ante ν una lit. eras. V 29 σώματα Ka: σῶμα V 30 ἤτοι χεῖται V: εἶτα χεῖται K: ἢ ταχεῖται a: ἤτοι παχεῖται ex. Vict. 34 ἔτι εἰ σῶμά ἐστι κτλ.] cf. Al. de sens. 61,6—62,11 δίεισιν m^2, δίεσιν m^1 V

κενόν ἐστιν ἀφωρισμένον ἢ ἀντιπερίστασις γίνεται, εἰ μὲν ἐν ἀέρι ἐκπέμποιτο, ἀέρος, εἰ δὲ ἐν ὕδατι, ὕδατος· εἰς μὲν οὖν τὴν κόρην ἄτοπον λέγειν τὸ ὕδωρ ἀντιμεθίστασθαι, χρὴ δὲ ζητεῖν εἰς τί. οὐδὲ γὰρ εἰς τὴν ἀναπνοήν. οὐδὲ γὰρ ἀναπνεῖ τὰ ἐν τῷ ὕδατι ὁρῶντα, οὐδὲ ὅλως τὰ ἔνυδρα χωρίς τινων. ἔτι εἰ εἰς τὴν κόρην ἀντιμεθίσταται, οὐ πάσῃ αὐτῇ ἐκπέμψομεν, οὐδὲ ὀψόμεθα, ἀλλ' ἔσται τις εὐρυχωρία, | καθ' ἣν τὸ ἀντιμεθι- 149r
στάμενον χώραν ἕξει. κατά τι οὖν αὐτῆς ὀψόμεθα καὶ κατά τι μή. ἔτι διὰ τί τῶν ζῴων τὰ μὴ ἐπιμύοντα ἐν τῷ κοιμᾶσθαι οὐκ ὄψεται, εἴ γε πλήρεις ἔχει τοὺς τοῦ σώματος πόρους; εἰ δὲ μὴ συνεχὲς ἕξεισιν τὸ σῶμα τοῦτο τὸ τῆς κόρης, ἀλλὰ διῃρημένον, ἤτοι διεκπῖπτον συμφύεται καὶ συνεχὲς γίνεται ἢ μένει διῃρημένον. εἰ μὲν οὖν συμφύεται, πῶς πάλιν εἰς κῶνον συμφυόμενον ἐξαπλοῦται καὶ τηλικοῦτον, ὡς ἀποτέμνεσθαί τινος κώνου βάσει τὸ πλεῖστον μέρος τοῦ οὐρανοῦ; ἐχρῆν γὰρ αὐτό, ἀρξάμενον ἅπαξ ξυνιέναι καὶ συμφύεσθαι, ὑπὸ τοῦ περιέχοντος ἀέρος μᾶλλον συστέλλεσθαι καὶ εἰς στενὸν συνάγεσθαι. ἔτι εἰ ὑπ' ἀκτίνων ὁ κῶνος περιέχεται διῃρημένων καὶ κεχωρισμένων, εἰ μὲν εἴη [μὴ] μεῖζον τὸ μεταξὺ τῶν ἀκτίνων, πλέον ἔσται τὸ μὴ ὁρώμενον τοῦ ὁρωμένου, καὶ τὸ μὲν πέριξ ὀφθήσεται, καθὸ αἱ εὐθεῖαι προσβάλλουσιν, τὸ δὲ μέσον οὔ. εἰ δὲ ἴσον, ἴσον οὐκ ὀφθήσεται. ἔλαττον δὲ πῶς ἂν εἴη ⟨τὸ⟩ τῶν εὐθειῶν μεταξύ, τῶν εὐθειῶν τηλικαύτην βάσιν ποιουσῶν; ἔτι τε πῶς οἷόν τε οὕτως τὰς ἀκτῖνας εἶναι παχέα σώματα ἐκ τῆς κόρης προπεμπόμενα ἀπὸ ὀλίγου σώματος; ἔτι δὲ αἱ ἀκτῖνες αἱ ἐκπεμπόμεναι τί δή ποτε οὔτε ὑπὸ τῶν ἀνέμων οὔτε ὑπὸ τῶν ὑδάτων τῶν κινουμένων περιφέρονται, ἀλλ' ἐπ' εὐθείας ἀεὶ καὶ τούτων ὄντων ὁρῶμεν, εἰ ἡ ἐπιφάνεια τοῦ ὕδατος ἐν ταὐτῷ μένοι; ἔτι πῶς διὰ τῶν στερεῶν διαφανῶν αἱ ἀκτῖνες διέρχονται; εἰ γὰρ λέγοιεν πόρους ἔχειν ταῦτα, ἤτοι κενοὺς ἕξει καὶ ἔσται τι κενὸν ἀφωρισμένον ἢ πλήρεις ἀέρος ἤ τινος ἄλλου σώματος, καὶ ποῦ τοῦτο χωρήσει; πῶς δὲ καὶ πλείους διὰ τοῦ αὐτοῦ ὀφθήσονται; πλείω γὰρ σώματα διὰ τῶν αὐτῶν πόρων διελεύσεται. ἔπειτα διὰ τί συνεχῆ τὰ διαφανῆ ὁρᾶται; μόνους γὰρ ἔδει τοὺς πόρους αὐτῶν ὁρᾶσθαι ἢ διαλείπουσάν γε τὴν ἐπιφάνειαν αὐτῶν, καθάπερ τῶν κοσκίνων. ὁμοίως δὲ καὶ τὰ δι' αὐτῶν ὁρώμενα ἐπισκοτεῖσθαι ἔδει, καθὰ μὴ πόρους ἔχει τὰ διαφανῆ. πόθεν δὲ καὶ τὸ τοσοῦτον σῶμα ἐν ἡμῖν, ὥστε καὶ μέχρι τῶν ἄστρων ἐκπέμπεσθαι καὶ τοῦτ' ἐστιν ἐν ἡμῖν

---

9 πλήρεις VK: πληρεὶς a: fortasse εἴ γε ⟨μὴ⟩ πλήρεις 10 τὸ τῆς m^1, τῆς m^2 V: τῆς Ka *(corpus quod in pupilla inesse solet)* cf. τοῦτο τὸ σῶμα τὸ τῶν ἀ. 127,29 τουτὶ τὸ ῥεῦμα τὸ τῆς ὄψεως 128,26 16 supra καὶ v. c. συν scripsit V μεῖζον scripsi: μὴ μεῖζον VKa 19 ἔλαττον m^1, ἐπ' ἔλαττον v. c. V: ἐπ' ἔλαττον Ka τὸ addidit Usenerus 20 ποιοῦσαν Ka ἔτι τε πῶς κτλ.] cf. Al. de sens. 60,2—7 21 ἔτι δὲ αἱ ἀκτῖνες κτλ.] cf. ἔτι πῶς οὐ συγχέονται οἱ τοιοῦτοι τύποι, ἐπειδὰν ῥέῃ τὸ ὕδωρ, τὸ δὲ αὐτό, εἰ καὶ ἐν ἀέρι πνεῦμα πολὺ εἴη 134,9 23 παραφέρονται Usenerus καὶ τούτων κτλ.] de rapidis fluviis dicere videtur, quorum vadum perlucet, dumne superficies perturbata sit. sed plura exciderunt 26 καὶ ἔσται Ka: ἢ ἔσται V ἢ πλήρεις ex. Vict.: ἢ πλῆρες a: πλῆρες V 28 fortasse ὄψονται σώματος Ka 31 ἐπισκοτεῖσθαι] ι in lit. V 32 τὸ om. Ka 33 ἀστέρων Ka καὶ τοῦτ'] fortasse καὶ ποῦ

πρὶν ἡμᾶς ὁρᾶν; πῶς δὲ οἷόν τε οὕτως ταχέως τὸ σῶμα κινεῖσθαι τοῦτο, ὥστε εὐθὺς τῷ ἀναβλέψαι ἅμα τὸν οὐρανὸν ἡμᾶς ὁρᾶν; ἔτι πῶς οἱ ἐξ ἐναντίας ἀλλήλους ὁρῶντες ὀφθήσονται, ἐὰν κατὰ τὸ αὐτὸ αἱ ἀκτῖνες ἀπαντήσωσιν ἀλλήλαις; ἢ γὰρ ἐν μέσῳ στήσονται καὶ οὐκ ἔσται ὄψις ἀλλήλων, ἢ δι' ἀλλήλων ἐλεύσονται καὶ οὕτως πάλιν σῶμα διὰ σώματος δίεισιν, ἢ ἡ ἑτέρα κρατήσει καὶ ὁ ἕτερος τὸν ἕτερον ὄψεται μόνον. ἔτι πᾶν τὸ κινούμενον τοπικῶς ἐν χρόνῳ κινεῖται καὶ ἀδύνατον κατὰ τὸ αὐτό τι τῷ αὐτῷ τάχει χρώμενον τὴν διπλασίαν ἐν τῷ αὐτῷ κινηθῆναι χρόνῳ. ἀλλὰ μὴν ἅμα ὁρῶμεν τά τε ἐγγὺς καὶ τὰ ἀπὸ πολλαπλασίου διαστήματος. τοὺς γοῦν ἀστέρας πλεῖστον ἀπέχοντας ἅμα ὁρῶμεν τοῖς παρεστῶσιν. οὐκ ἄρα κατὰ κίνησίν τινος τὸ ὁρᾶν. εἰ δὲ μὴ κατὰ κίνησιν, οὔτε κατὰ ἀκτίνων προβολὴν οὔτε κατὰ εἰδώλων ἀπόρροιαν οὔτε κατὰ τὴν ἀπ' ἀμφοῖν.

Πρὸς τοὺς διὰ τῆς τοῦ ἀέρος συνεντάσεως τὸ ὁρᾶν ποιοῦντας.

Εἰσὶν δέ τινες, οἳ διὰ τῆς τοῦ ἀέρος συνεντάσεως τὸ ὁρᾶν φασι γίνεσθαι. νυττόμενον γὰρ ὑπὸ τῆς ὄψεως τὸν συνάπτοντα τῇ κόρῃ ἀέρα σχηματίζεσθαι εἰς κῶνον. τούτου δὲ οἷον τυπουμένου κατὰ τὴν βάσιν ὑπὸ τῶν ὁρατῶν τὴν αἴσθησιν γίνεσθαι, καθάπερ καὶ τῇ ἁφῇ διὰ βακτηρίας. πολλὰ μὲν οὖν τὰ αὐτὰ ἔστι καὶ πρὸς τούτους εἰπεῖν τῶν εἰρημένων πρὸς τοὺς δι' ἀκτίνων τὸ ὁρᾶν ποιοῦντας, ἰδίᾳ δὲ παρ' αὐτῶν ἐπιζητήσειεν ἄν τις περί τε τῆς ἐντάσεως αὐτῆς τῆς ὑπὸ τῶν ὄψεων γινομένης τοῦ συνάπτοντος ἀέρος τῇ κόρῃ καὶ τῆς κατὰ τὸ ἕτερον μέρος τυπώσεως ὑπὸ τοῦ ὁρωμένου, ἔτι τε τῆς ἐπερείσεως, πῶς οἷόν τε παραδέξασθαι μανοῦ τοῦ ἀέρος ὄντος, ἄλλως τε καί, εἰ τοιοῦτόν τι ἦν, ἐγίνετο ἂν συναίσθησις ἡμῖν ἀντιβάσεώς τινος. ἀλλὰ καὶ ἀναχωροῦντες εἰς τοὐπίσω οὐδὲν ἧττον ὁρῶμεν· καίτοι ἐπερείδοντας μὲν ὁρᾶν ἔδει, ὑποχωροῦντας δὲ μή. τίς γὰρ τότε ἡ ἐπέρεισις δι' ἡμῶν αὐτῶν; ἢ ἐπέρεισιν φήσουσιν γίνεσθαι; ἀλλὰ καὶ τῆς ὄψεως ἀπὸ τοῦ ἡγεμονικοῦ γινομένης, εἰ καὶ ἐπὶ ταύτης τὰ τῆς τονικῆς κινήσεώς ἐστιν, ὥσπερ λέγεται πρὸς αὐτῶν, πῶς οὐ γίνονται διαλείψεις τινὲς τοῦ ὁρᾶν, ἅτε μὴ συνεχοῦς ἐπὶ τὰ πέρατα τῆς τάσεως γινομένης, δι' αὐτὸ δὲ τοῦτο μηδὲ τῆς ἐπερείσεως; ὅπερ ἄν τις ἐπιζητήσειεν καὶ περὶ τῆς

---

2 ὁρᾶν ἡμᾶς Ka ἔτι πῶς οἱ ἐξ ἐναντίας κτλ.] cf. Al. de sens. 63,4—9 5 σώματος δίεισιν ἢ m², σώματος m¹ V: σώματος δίεισιν ἢ Ka 6—10 ἔτι πᾶν—παρεστῶσιν] cf. Al. de sens. 62,11—63,3 7 κατὰ τὸ αὐτό τι] fortasse τὸ αὐτό τι cf. Al. de sens. ib. ἀλλὰ μὴν ἀδύνατον τὸ αὐτό τι καὶ ἰσοταχῶς κινούμενον ἐν τῷ ἴσῳ χρόνῳ κινηθῆναι τόδε τι τὸ διάστημα καὶ τὸ τούτου πολλαπλάσιον κτλ. 8 fortasse ⟨καὶ⟩ τὴν διπλασίαν 11 τινος m¹, τινα m² V: τινα Ka 17 διὰ βακτηρίας] cf. Galen. de plac. Hipp. et Plat. 642,12 (Iw. Müller) μὴ τοίνυν ὡς διὰ βακτηρίας τοῦ περιξ ἀέρος ὁρᾶν ἡμᾶς οἱ Στωικοὶ λεγέτωσαν. ἡ γὰρ τοιαύτη διάγνωσις ἀντιβαινόντων ἐστὶ σωμάτων, κατὰ συλλογισμὸν ἔτι μᾶλλον, οὐ πιλητοῦ δὲ αἰσθητικὴ ἡ τοῦ ὄμματος αἴσθησις ἡμῖν ἐστιν, οὐδὲ τῆς σκληρότητος ἢ μαλακότητος, ἀλλὰ χρόας καὶ μεγέθους καὶ θέσεως, ὧν οὐδὲν ἡ βακτηρία διαγνῶναι δύναται 21 τυπώσεως] τ in lit. V 25 ἐπερείδοντας] ς in lit. V τό τε Va 26 αὐτῶν a: αὐτῶν V ἢ ἐπέρεισιν—γίνεσθαι] *an tum quoque dicent esse* ἐπέρεισιν? 28 διαλήψεις a 30 ἐπιζητήσεις a

ἀφῆς, καθ' ἣν ἁπτόμεθα τῶν ἑτέρων σωμάτων· οὐδὲ γὰρ ἐπὶ ταύτης διαλείψεις τῆς ἀντιλήψεως γίνονται, ἔδει δέ γε· τοιαύτη γὰρ ἡ τονικὴ κίνησις κατ' αὐτούς. εἰ δὲ τὸ πνεῦμα τοῦτο δή, ὃ καλοῦσιν ὄψιν, μόνον κινεῖται τὴν προειρημένην κίνησιν, ἣν λέγουσι τονικήν, ἄλογον τὸ ἐπὶ μόνου τούτου λέγειν οὕτω, καίτοι γε οὔ φασιν. τὸ δὲ ὅλον ἀπορίας ἔχει πολλὰς ἡ περὶ τῆς τονικῆς κινήσεως δόξα. πρῶτον μὲν γὰρ ὁμοειδές τι ὂν αὐτὸ ἑαυτὸ κινήσει, ὃ ἀδύνατον δείκνυται προχειριζομένοις τὰς καθέκαστα κινήσεις. ἔπειτα, εἴπερ ἕν τι συνέχει τόν τε σύνολον κόσμον ἅμα τοῖς ἐν αὐτῷ, καὶ καθ' ἕκαστον τῶν ἐπὶ μέρους σωμάτων ἐστί τι ὃ συνέχει, πῶς οὐκ ἀναγκαῖον ταὐτὸν ἅμα τὰς ἐναντίας κινεῖσθαι κινήσεις; ὁπότε γὰρ ἀπὸ τοῦ μέσου τοῦ κόσμου πρὸς τὰ πέρατα ἡ κίνησις τῷ διήκοντι πνεύματι γίγνοιτο, τότ' 149v ἀνάγκη καὶ ἑκάστῳ τῶν ἐπὶ μέρους σωμάτων ἤτοι ἀπὸ τοῦ μέσου ἢ πρὸς τὸ μέσον τὴν κίνησιν τῷ τοῦ παντὸς πνεύματος μορίῳ, ὃ δι' ἑκάστου κεχώρηκεν, γίνεσθαι. διαφέρει δὲ οὐδὲν ὁποτερωθενοῦν λέγειν γίνεσθαι. εἰ μέν δὴ καὶ τοῦτο ἀπὸ τοῦ μέσου κινοῖτο, λέγω δὲ τὸ ἕν τινι τῶν ἐπὶ μέρους σωμάτων, ἅμα κάτω καὶ ἄνω κινήσεται τὸ διὰ τῶν κατωτέρω τοῦ μέσου μερῶν τῆς ἕξεως αὐτοῦ διῆκον. καθὸ μὲν τὸ πᾶν εἰς τὸ ἄνω, οὗ μέρος τοῦτο, ἄνω, καθὸ δὲ ἀπὸ τοῦ μέσου τοῦ ἐν ᾧ ἐστιν ἐπὶ τὰ πέρατα κινεῖται τὰ κατωτέρω τοῦ μέσου, εἰς τὸ κάτω κινήσεται δηλονότι. ὥστε ἅμα ἄνω καὶ κάτω τὸ αὐτό. εἰ δὲ ἀπὸ τῶν περάτων ἐπὶ τὸ μέσον, ταὐτὸν συμβήσεται περὶ τὰ τῶν ἀνωτέρω τοῦ μέσου μερῶν αὐτοῦ διεληλυθότος τοῦ πνεύματος. ἀλλὰ εἰ καὶ δοθείη διὰ τῆς τοῦ μεταξὺ ἀέρος ἐπερείσεως τὸ ὁρᾶν γίνεσθαι, ὅπως δηλοῦν ἐχρῆν μᾶλλον σκληρότητος καὶ μαλακότητος καὶ τραχύτητος καὶ λειότητος καὶ ὑγρότητος καὶ ξηρότητος ἀντίληψιν οὕτως ἢ χρώματος γίνεσθαι. τούτων γάρ τι καὶ διὰ βακτηρίας δυνάμεθα γινώσκειν, ἀλλ' οὐχὶ χρώματα οὐδὲ σχήματα ἢ ποσὸν ἤ τι τῷ μεγέθει, ἅπερ ἐστὶ τὰ ὁρώμενα. τὰ γὰρ χρώματα καὶ τὰ σχήματα καὶ τὰ μεγέθη ἐστίν, ὧν ἡ ἀντίληψις διὰ τῆς ὄψεως. ὅλως δὲ ἔσται ἁφή τις ἡ ὄψις. ἁφῇ δὲ τὰ ἁπτὰ ὑπόπτωτα, ὥστ' ἤτοι τὰ σώματα, καθὸ σώματά ἐστιν, ὁρατὰ ἔσται, ἢ τά γε πάθη τὰ κατὰ συμβεβηκός. ἔτι διὰ τί ἐκ μὲν φωτὸς τὰ ἐν σκότῳ ὄντα οὐχ ὁρᾶται, ἐκ δὲ σκότους τὰ ἐν τῷ φωτί; τὸ γὰρ λέγειν τὸν μὲν πεφωτισμένον ἀέρα τῷ διακεκρίσθαι μᾶλλον ἔχειν ἰσχὺν καὶ δύνασθαι τῇ ἐπερείσει τὴν αἴσθησιν κινεῖν, τὸν δὲ ἀφώτιστον τῷ ⟨μὴ⟩ κεχαλᾶσθαι μὴ δύνασθαι ὑπὸ τῆς ὄψεως συνεντείνεσθαι, καίτοι πυκνότερον ὄντα τοῦ πεφωτισμένου, πῶς πιθανόν; τοὐναντίον γὰρ εὔλογον τὸν πυκνότερον ῥᾷον συνεντείνεσθαι, ἄλλως τε καὶ τοῦτο πεφυκότα πάσχειν, ὁπότε ἐκ σκοτεινοῦ τὰ ἐν φωτὶ θεῷτο. εἰ δὲ μὴ ὁ συνάπτων τῇ κόρῃ ἀφώτιστος ὢν ἐντείνεσθαι πέφυκεν, ἀλλὰ μόνον ὁ πεφωτισμένος, τί διαφέρει ἐν-

---

1 διαλείψεις a 4 λέγουσι] σι m² add. V 8 ἕν V: ἐν a 14 ante ὁποτέρωθεν duae lit. erasae V: ὁπωτέροθεν a 21 ἀνωτέρου a 23 ὅπως δηλοῦν] fortasse πως, δῆλον ὡς 26 fortasse ἢ [ποσὸν ἤ τι τῷ] μεγέθη sive ἢ πόσον τι τῷ μ. Diels 28 μεγέθει a ἀντλήψις] ις in lit. V 29 ἡ ὄψις m¹ in mg. V δὲ om. a εἴ τοι a 30 πάθη τὰ scripsi: παθητὰ Va 33 μὴ addidi

τεῦθεν ἢ ἐντεῦθεν εἶναι τὸ κεχαλασμένον τοῦ ἀέρος, λέγω δὲ πρὸς τοῦ ὁρωμένου ἢ πρὸς τοῦ ὁρῶντος; εὔλογον γὰρ καὶ ὅταν ᾖ ἀφώτιστος ὁ πρὸς τῇ κόρῃ, ὁ δὲ πεφωτισμένος πρὸς τῷ ὁρωμένῳ, ἐκλύεσθαι πάλιν τὸν τόνον τὸν ἀπὸ τῆς ὄψεως ἰόντα πρῶτον διὰ τοῦ ἀφωτίστου ὄντος δυσκινήτου, ἐκλυθέντα δὲ μηκέθ' οἷόν τε εἶναι συνεντείνειν τὸν πεφωτισμένον τὰ πρὸς τῷ ὁρωμένῳ. οὐδὲν γὰρ μᾶλλον ἕδει τὰ ἐν τῷ φωτὶ ὑπὸ τῶν ἐν τῷ σκότῳ ὁρᾶσθαι ἢ τὸ ἔμπαλιν. ἔτι ἔστιν, ὅτε δύο οἰκημάτων καταντικρὺ ὄντων καὶ φῶς ἐχόντων, τοῦ δὲ μεταξὺ τῶν οἰκημάτων ἀέρος σκότος ἔχοντος, οὐδὲν ἧττον ἀλλήλους ὁρῶσιν ἐκ τῶν οἰκημάτων, καίτοι τοῦ μεταξὺ μὴ συνεντεινομένου ἀέρος. πῶς οἷόν τε τοῦτο συμβαίνειν; ἔτι τὰ ἄστρα αὐτὰ διὰ τί ἡμέρας μὲν οὐχ ὁρῶμεν, νύκτωρ δὲ ὁρῶμεν; φαινόμεθα γὰρ ἐνταῦθα τὸν ζοφερὸν μὲν ἀέρα καὶ συνεστῶτα δυνατοὶ ὄντες ἐντείνειν μέχρι τῶν ἄστρων, τὸν δὲ διακρινόμενον καὶ ἀλεεινότερον καὶ διὰ τοῦτο μᾶλλον ἰσχὺν ἔχοντα, ὥς φασιν, μήτε ἐντεῖναι μήτε ἐπερεῖσαι δυνάμενοι μέχρι τοσούτου, ἀλλὰ μέχρι πολλῷ ἐλάττονος. ἀλλὰ καὶ τῆς σελήνης ὑπελθούσης τὸν ἥλιον καὶ ἔκλειψιν παντελῆ αὐτοῦ ποιησάσης δυνατοὶ γινόμεθα συστάντα καὶ ζοφωθέντα τὸν ἀέρα ἐντείνειν ἕως τῶν ἄστρων πρὸ τοῦ μὴ δυνάμενοι. ἀλλὰ καὶ ἐν ὕλῃ συσκίῳ ὄντες ἢ ἐν βαθεῖ φρέατι τὸ αὐτὸ ποιοῦμεν. φαίνεται γὰρ ἀπὸ τῶν τοιούτων τόπων ἡμῖν ἄστρα καὶ μεθ' ἡμέραν. ἔτι ὅταν ὁρῶμεν τὰ ἐν τῷ ὑγρῷ, καὶ τὸ ὕδωρ τῷ ἀέρι συνεντείνεται ἢ οὔ; εἰ μὲν γὰρ μὴ συνεντείνεται, οὐχ οὕτως τὸ ὁρᾶν. ὁρᾶται γὰρ καὶ τὰ ἐν τῷ ὕδατι. εἰ δὲ συνεντείνεται καὶ τὸ ὕδωρ, πολὺ εὐλογώτερον τὸν ζοφερὸν ἀέρα. πυκνότερον γὰρ τὸ ὕδωρ μακρῷ τούτου. εἰ δέ, ὅτι μανός, ὁ ζοφερὸς οὐ συνεντείνεται, πολλῷ μᾶλλον τοῦ ὕδατος ὁ πεφωτισμένος μανὸς ὢν οὐ συνεντείνεται. ἔτι ἐν αὐτῷ τῷ ὕδατι ὄντες ὁρῶμεν ἔσθ' ὅτε τὰ ἐν βυθῷ, καίτοι μηδενὸς ἀέρος συνάπτοντος τῇ κόρῃ· ὥστε καὶ τοῦτο ψεῦδος τὸ λέγειν διὰ τῆς τοῦ μεταξὺ ἀέρος συνεντάσεως τὸ ὁρᾶν γίνεσθαι. ἔτι τὰ ἔνυδρα πῶς οἷόν τε ὁρᾶν, εἴπερ μή ἐστιν ἐν τῷ ὕδατι ἀήρ; εἰ δὲ φήσουσιν καὶ ἐν ἐκείνοις εἶναι ἀέρα, πῶς οὐκ ἐκπυρηνίζεται οὗτος ἐκ τοῦ ὕδατος ἐπιπολάζειν αὐτῷ πεφυκώς; ἔτι εἰ τὸ φῶς σῶμα ὂν καὶ δι' ὕδατος καὶ διὰ τῶν ἄλλων κεχωρηκέναι λέγουσιν, δῆλον ὡς, ἂν φανῇ τὸ φῶς μὴ ὂν σῶμα, κενὸς ὁ λόγος ἂν εἴη. εἰ γάρ, διότι σῶμα, ἐπέρεισις αὐτῷ γίνεται, ἂν μὴ σῶμα ᾖ, δῆλον ὅτι οὐκ ἐπερεισθήσεται. ἔτι πῶς οὐ συγκρίνεται τῇ τοῦ ὕδατος ψυχρότητι τὸ φῶς τοῦτο καὶ παύεται τοῦ φῶς εἶναι, εἴπερ διακρίσει φῶς ἐστιν; ἔτι καὶ ἐν τοῖς πάγοις ἐχρῆν ἧττον φῶς γίνεσθαι, καθάπερ καὶ ἀλέαν. τὸ γὰρ μὴ συγκρίνεσθαι τὸ πνεῦμα ὕδατος συγκρινομένου καὶ κρυστάλλου γινομένου παράλογον, εἰ γέ ἐστιν ἀὴρ διακρινόμενος τὸ φῶς. τοῦ γὰρ ὕδατος συγκρινομένου καὶ πηγνυμένου τὸν ἀέρα εὐπαθέστερον ὄντα μὴ

---

5 τὰ] fortasse τὸν 7 κατ' ἀντικρὺ a: κατ' ἄντικρυ V 8 τοῦ δὲ V: τοῦ μὴ δὲ a 8—9 ἀέρος usque ad τῶν οἰκημάτων om. a 13 ἀλεεινότερον K: ἀλαιτινότερον Va 17 ἐκτείνειν Ka 19 ἡμῖ V 20 τὰ V: τε Ka μὲν om. K 23 ὅτι V: ἄρα Ka οὐ om. Ka 30 πεφυκώς K: πεφυκῶς a: πεφυκός V 34 τοῦ om. a 36 ἀλαίαν Va χρυστάλον a

λέγειν συγκρίνεσθαι παράλογον. ὁρῶμεν δὲ καὶ τὴν φλόγα πάσχουσάν τι ὑπὸ τῶν πάγων. καὶ πρὸς τοὺς λέγοντας δὲ ἐν τῇ χιόνι φωτοειδές τι πνεῦμα ἀπειλῆφθαι καὶ τοῦτο τῆς λευκότητος αἴτιον εἶναι ῥητέον· πῶς οὐ συγκρίνεται τοῦτο ὑπὸ τῆς ψυχρότητος; ἔτι πῶς μετὰ τὴν κλάσιν ἤτοι τὴν ἀπὸ τοῦ κατόπτρου ἢ τὴν ἀπὸ τῶν διαφανῶν ἔτι τὸ τῆς ἐπερείσεως σώζεται; οὐδὲ γὰρ ἐπὶ βακτηρίας τοῦτο δυνατόν· πάντα γὰρ τὰ κεκλασμένα, ὥσπερ τὰ πηρὰ σώματα πρὸς τὰς ἐνεργείας, κἀκεῖνα πρὸς τὰς ἐπερείσεις ἐκλύεται. ἔτι εἰς φρέαρ βαθὺ καὶ ζοφερὸν ἀποβλέψαντες τί δή ποτε τὸ μὲν ὕδωρ οὐχ ὁρῶμεν, τὴν δ' ἑαυτῶν ἔμφασιν ὁρῶμεν; γελοῖον γὰρ | τὸ 150r
λέγειν τῷ μὲν ὕδατι μὴ γίνεσθαι ἐπέρεισιν, κλασθέντος δὲ τοῦ μὴ ἐπερείσαντος τῷ ὕδατι ἐπέρεισίν τινα μετὰ τὴν κλάσιν γίνεσθαι τῷ κεκλασμένῳ. ὅμοιον γὰρ τῷ φάναι κλασθείσης ῥάβδου καὶ διπλωθείσης τὸ μὲν κατὰ τὴν κλάσιν ἀντέρεισιν ἡμῖν αἰσθητὴν μὴ παρέχειν, διὰ δὲ τῆς κλάσεως θατέρῳ τῶν περάτων ἀντερείδειν δύνασθαι. ἔτι εἴπερ διὰ πάντων κεχώρηκεν τὸ πνεῦμα, δῆλον ὅτι καὶ διὰ τῶν τοίχων, ὥσπερ καὶ διὰ τῶν διαφανῶν. τί δή ποτ' οὖν τὸν μὲν ἐν τοῖς διαφανέσιν ἀέρα συνεντείνομεν καὶ ὁρῶμεν δι' αὐτῶν, τὸν δὲ ἐν τοῖς μὴ διαφανέσιν οὔτε συνεντείνομεν οὔτε ὁρῶμεν δι' αὐτῶν; εἰ δὲ λέγοιεν τὸ στερεὸν ἐπιπροσθεῖν, στερεὰ καὶ ἡ ὕαλος καὶ τὸ κέρας καὶ οἱ διαφανεῖς λίθοι. εἰ γὰρ ταῦτα λέγοιεν μὴ στερεά, διότι εὔθραυστα, καὶ διὰ τοῦτο δι' αὐτῶν ὁρᾶν ἡμᾶς, εὔθραυστος οὐδὲν ἧττον τούτων καὶ ὁ κέραμός ἐστιν, ὥστε ἐχρῆν ἡμᾶς ὁρᾶν καὶ διὰ τούτου. τί ποτ' οὖν τὸ ἐπιπροσθοῦν τοῖς τοιούτοις καὶ διὰ τί ὁ μὲν ἀὴρ διήκει διὰ πάντων, τὸ δὲ φῶς λεπτότερον αὐτοῦ ὂν οὐ διήκει; ἐχρῆν γάρ, ὅπερ εἰ ἐγίνετο συνέβαινεν ἄν, μηδαμοῦ γίνεσθαι σκιὰν διὰ παντὸς ἰόντος τοῦ φωτὸς καθάπερ καὶ τοῦ ἀέρος. πῶς δέ φασι κατὰ τὸ πέρας τυποῦσθαι τὸν ἀέρα προσπίπτοντα τοῖς ὁρωμένοις; τὰ γὰρ μάλιστα λεπτὰ καὶ ὑγρὰ τῶν σωμάτων οὐ δυνατά ἐστι τὸ ἐνσημαινόμενον δέχεσθαι, ὥσπερ δι' ὑγρότητα ὕδωρ καὶ πηλὸς [ἢ ἀὴρ] ὑγρός. ἔτι, εἰ καὶ δοθείη τυποῦσθαι καὶ δέχεσθαι τὸ ἀποματτόμενον, πῶς ἄλλο τι παρὰ τὸ σχῆμα δύναται δέξασθαι; χρῶμα γὰρ οὐδενὸς οὔτε ἐνσημαίνεσθαι πέφυκεν οὔτε ἐν τοῖς ἐκτυπουμένοις ἐγγίνεσθαι, ὥστ' ἔδει χρόας ἡμᾶς μὴ ὁρᾶν, σχῆμα δὲ μόνον. τάχα δὲ οὐδὲ σχῆμα. νῦν μὲν γὰρ διὰ βακτηρίας τινὰ τῶν σχημάτων γνωρίζομεν, οἷον τὰ μὲν κυρτά, ὅτι περιολισθάνει περὶ αὐτὰ ἡ βακτηρία, τὰ δὲ κοῖλα, ὅτι προσπίπτει ταῖς ἑκατέρωθεν ἐξοχαῖς αὐτῶν, τὰ δὲ εὐθέα, ὅτι τούτων οὐδέτερον, ἃ οὐκ ἂν ἐγινώσκομεν διὰ βακτηρίας, εἰ συνέβαινεν τὸ πέρας τῆς βακτηρίας μετασχηματίζεσθαι ψαῦον ὁτουοῦν σώματος οἷον περιπλαττόμενον, περὶ δὲ τὸν ἀέρα τοῦτο συμβαίνει, ὥστε οὐδὲ τῶν σχημάτων ἂν ἀντίληψις οὕτω γίνοιτο δι' αὐτοῦ. ἔτι ὁ τύπος πρὸς τῷ πέρατι γίνεται. πῶς οὖν

---

12 τὸ μὲν κατὰ τὴν κλάσιν] scil. πέρας, quod nisi excidit certe supplendum est (cf. 63,24), i. e. *baculi in fractura terminus.* hoc enim dicit: *absurdum esse dicere nos in baculi termino per fracturam orto niti non posse, posse in altero eius termino, i. e. in eo, qui ante fracturam proprius erat baculi terminus* (δύνασθαι cf. Ind.) 19 εὔθραστα a 22 τὸ in lit. V
28 ἢ ἀὴρ insiticium videtur 33 περιολισθαίνει a βατηρία a 34 παραπίπτει a

ὁρῶμεν κατὰ θάτερον πέρας; οὐδὲ γὰρ ἐπὶ τῶν ἄλλων αἱ τυπώσεις δι' ὅλων γίνονται. εἰ δὲ λέγοιεν, ὅτι διαφανὴς ὁ ἀὴρ καὶ διὰ τοῦτο δι' ὅλου τετύπωται καὶ ὁρῶμεν οὕτως, ἄλλο ἄν τι τοῦ ὁρᾶν αἴτιον λέγοιεν, τὴν διαφάνειαν γάρ, καὶ οὐ τὴν ἐπέρεισιν. ἔτι θαυμαστόν, πῶς τοῖς μὲν μάλιστα τυποῦσθαι δυναμένοις οὐ συμβαίνει τὸ διὰ βάθους τυποῦσθαι, τῷ δ' ἀέρι τῷ ἥκιστα ὄντι τοιούτῳ δι' ὅλου ἡ τύπωσις ἐγγίνεται. ἔτι εἰ πέφυκεν ὁ ἀὴρ οὕτως τυποῦσθαι, τί δή ποτε οὐχὶ καὶ ἀπελθόντος τοῦ τυποῦντος ἔτι μένει ἐν αὐτῷ ἡ τύπωσις, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων, ὥστε καὶ μὴ παρόντα τὰ ὁρατὰ ἐχρῆν ἡμᾶς ἔτι ὁρᾶν; ἔτι πῶς οὐ συγχέονται οἱ τοιοῦτοι τύποι, ἐπειδὰν ῥέῃ τὸ ὕδωρ, τὸ δὲ αὐτό, εἰ καὶ ἐν ἀέρι πνεῦμα πολὺ εἴη; ἔτι ἔμπαλιν φαίνεται, ἢ ὡς ἔχει τῶν ὁρατῶν ἔνια, τὰ μὲν κυρτὰ κοῖλα, τὰ δὲ κοῖλα κυρτά, καὶ ἁπλῶς τὰ μὲν ἐξέχοντα εἰσέχοντα, τὰ δὲ εἰσέχοντα τοὐναντίον ἐξέχοντα; οὕτως γὰρ ἡ τύπωσις γίνεται. εἰ δὲ λέγοιεν τῇ μὲν κοιλότητι τῆς βάσεως τοῦ κώνου τὸ κυρτὸν κρίνεσθαι, τῇ δὲ κυρτότητι τὸ κοῖλον, καθάπερ καὶ ἐπὶ τῆς διὰ τῶν χειρῶν ἁφῆς, τὰ ἐπὶ τῆς γραφῆς συμβαίνοντα μάλιστα τοῦτο ἐλέγξει. ὁμαλοῦς γὰρ οὔσης αὐτῆς τὰ μὲν ἐξέχοντα, τὰ δὲ εἰσέχοντα φαίνεται, καίτοι ὁμαλεῖ τῇ τοῦ κώνου βάσει κρινόμενα. ἔτι περὶ τῶν δι' ἀνακλάσεως ὁρωμένων τί φήσουσιν; τὸ γὰρ πέρας τοῦ κώνου ἐπὶ τούτων τῇ τοῦ κατόπτρου ἐπιφανείᾳ τυποῦται, ὅπερ ἐνδέχοιτ' ἂν ἐναντίως ἐσχηματίσθαι τῷ ἐμφαινομένῳ, οὐχ ὁμοίως, ἀλλὰ φέρε εἰπεῖν κυρτοῦ ὄντος τοῦ ἐμφαινομένου ἢ εὐθέος κοῖλον εἶναι τὸ κάτοπτρον. θαυμαστὸν δὲ καὶ τὸ μὴ τὴν ἀπὸ τούτου τύπωσιν ἐπιπροσθεῖν τῇ ἀπὸ τοῦ ἐμφαινομένου γινομένῃ, ἢ κωλύειν τὴν ἐκείνου μορφὴν ἐμφαίνεσθαι. ἔτι ἄπορος ἡ ἀπὸ τοῦ κατόπτρου πρὸς τὸ ὁρώμενον ἀνάκλασίς τε καὶ ἔντασις τοῦ ἀέρος, ὡς εἰρήκαμεν. πῶς γὰρ μετὰ τὴν κλάσιν οἷόν τε ἔτι τὴν ἐπέρεισιν γίνεσθαι; ἔτι τί δή ποτε τὰ ἐγγυτάτω τῆς κόρης οὐχ ὁρῶμεν; καίτοι ἔδει· καὶ γὰρ καὶ ἡ ἐπέρεισις δι' ὀλίγου καὶ ἡ τύπωσις ἐγγύθεν.

Πρὸς τοὺς διὰ τῆς τῶν εἰδώλων ἐμπτώσεως τὸ ὁρᾶν λέγοντας γίνεσθαι.

Πρὸς δὲ τοὺς διὰ τῶν εἰδώλων τὸ ὁρᾶν λέγοντας γίνεσθαι πρῶτον μὲν προσαπορήσειεν ἄν τις, πῶς οὐκ ἀναλίσκεται τοσούτων ἀπορρεόντων ἕκαστον τῶν ὁρωμένων ταχέως, εἰ δὲ λέγοιεν ἀντιπροσκρίνεσθαι αὐτοῖς ἄλλα, ἀλλ' οὖν τῶν ἀπορρεόντων καὶ τῶν προσκρινομένων οὐκ ὄντων ἀλλήλοις ὁμοιοσχημόνων (τὰ μὲν γὰρ ἀπορρέοντα εἴδωλα καὶ ὁμοιόμορφα, τὰ δὲ προσκρινόμενα οὐχ οὕτως προσκρίνεται) οὐκ ἔδει τὰ ὑποκείμενα καὶ ὁρώμενα ὁμοιοσχήμονα μένειν, ἀλλὰ ἄλλοτε ἀλλοῖον ἴσχειν σχῆμα. ἔτι πῶς συνεχοῦς τῆς ἀπορροίας γινομένης καὶ πανταχοῦ καὶ πανταχόθεν οἷόν τε

---

2 γίνεται a 4 γὰρ] cf. Ind. 6 διόλου V 12—13 εἰσέχοντα τοὐναντίον] α τούναν in lit. V 16 ἐξελέγχει a 18 ἔτι περὶ τῶν δι' ἀνακλάσεως] cf. 133,12 21 εὐθέως a 25 τὴν post ἔτι om. a 26 τί supra lin. V δήποτε τὰ m^2, δήποτε ταῦτα m^1 V: δήποτε τὰ a 27 ἡ post γὰρ καὶ om. a 29 γίνεσθαι om. a 33 ἀπορρεόντων] ante ν una litera erasa V

τὴν πρόσκρισιν γίνεσθαι; ἀλλήλοις γὰρ ἂν τὰ ἀποκρινόμενα τοῖς προσκρινο- 50
μένοις ἐμποδίζοι ἀδιαλείπτου ἀμφοτέροις τῆς φορᾶς οὔσης. ἔτι πῶς οἷόν
τε τοῦ διαστήματος ἀντίληψιν γίνεσθαι, εἰ τὰ εἴδωλά ἐστι τὰ ὁρώμενα;
ἀνεπαίσθητος γάρ, ὃν λέγουσιν προεμπίπτειν, ὁ ἀήρ, οὐ τῇ ποσότητι τὸ
διάστημα ἀναμετρεῖσθαι. καὶ τί τὸ μετροῦν τὸν ἀέρα τοῦτον; | καὶ πῶς 150r
ἔτι εὐθὺ τῷ ἀναβλέψαι καὶ τὰ πόρρωθεν ὁρᾶται; πῶς δὲ οἷόν τε καὶ τῶν
σχημάτων καὶ τῶν μεγεθῶν ἀντίληψιν γίνεσθαι διὰ τῶν εἰδώλων (ἃ βου-
λόμενοι σώζειν τὰ εἴδωλα ποιοῦσιν), εἴ γε κατὰ βραχὺ ἡ ἔμπτωσις εἰς τὸν
ὀφθαλμὸν αὐτῶν γίνεται; οὐ γὰρ δὴ μεῖζόν ἐστι τὸ τῆς κόρης, ᾗ ὁρῶμεν,
μέγεθος τοῦ εἰδώλου, ὃ δεχόμεθα κατ' αὐτοὺς εἰς τὴν κόρην. εἰ γὰρ 5
καὶ συγχωρήσειέ τις αὐτοῖς διὰ τὸ τάχος συνεχῶς ἄλλο καὶ ἄλλο δέχε-
σθαι, ἀλλὰ πόθεν γε ὅτι τὸ ἑξῆς λήψεται τοῦ εἰδώλου, καὶ ⟨οὐχὶ⟩ πολλάκις
τὸ αὐτὸ ἢ ἄλλο τι μόριον πόρρω τούτου κείμενον καὶ διεσπασμένον εἶτα
συντιθέμενον; πῶς οἷόν τε τὸ σῶμα σωθῆναι τοῦ ὁρωμένου; πῶς δὲ τὸ
μέγεθος τὸ οἰκεῖον ἑκάστου; δύναται γὰρ καὶ τὰ τῶν ἄλλων τοῖς πρώτοις
προστίθεσθαί τε καὶ μίγνυσθαι καὶ μὴ κατ' οἰκείαν περιγραφὴν ἕκαστον
αὐτῶν ὁρᾶσθαι, μηδὲ σημεῖον τοῦ ταῦτα μὲν τούτου τὰ εἴδωλα, ταῦτα δὲ
μὴ τούτου εἶναι. ὅλως δὲ τί γίνεται τὰ προεισελθόντα; τὸ γὰρ φυλάσσε- 10
σθαι αὐτὰ λέγειν καταβυσσούμενα καὶ συντίθεσθαι ἐν τῷ ὀφθαλμῷ λίαν
ἐστὶ μυθώδες. ποῦ γὰρ καταβυσσοῦται ἢ μένει, τίς δὲ ὁ οἰκοδομῶν αὐτὰ
ἐμβαδὸν καὶ συντιθείς; ἢ πῶς ἑκάστου αὐτῶν κατ' ἰδίαν κειμένου ἡ συν-
έχεια καὶ τὸ μέγεθος καὶ τὸ σχῆμα φαίνεται; πῶς δέ, εἰ οὕτως ἐστὶ τὰ
εἴδωλα εὐπαθῆ, τῇ ἐμπτώσει τῇ εἰς τὸν ὀφθαλμὸν μένει αὐτῶν τὸ σχῆμα
καὶ ἡ ἐξοχὴ καὶ εἰσοχὴ καὶ οὐ συγχεῖται; πῶς δὲ καὶ ἀπὸ τῶν λείων
τοίχων ὡς ἐσχηματισμένα λαμβάνει τὰ εἴδωλα οὐκ ἐχόντων ἐξοχὰς καὶ 15
εἰσοχάς; πῶς δὲ ἀπὸ τῶν κατόπτρων ὑδάτων ἐμφαινομένων ἐκείνοις τὰ
σχήματα λείων ὄντων; πῶς δὲ εἰδώλου ὄντος τοῦ ἐν τῷ κατόπτρῳ εἴδωλα
πάλιν ἀπορρεῖ τοσαῦτα, καὶ διὰ τί τὰ ἐν τοῖς κατόπτροις εἴδωλα παχύτερα,
ὡς τοσαύτην ἀπ' αὐτῶν ἀπορροὴν γίνεσθαι; διὰ τί δὲ καὶ μένει ταῦτα καὶ
οὐ κινεῖται; διὰ τί δὲ καὶ μένοντα οὐχὶ καὶ ἀπελθόντος τοῦ ὁρῶντος αὐτὰ
κἂν ἐπ' ὀλίγον μένει; διὰ τί δὲ οὐκ ἐπὶ τῆς ἐπιφανείας τῶν κατόπτρων τὰ 20
εἴδωλα, ἀλλὰ ἐν βάθει; πῶς δὲ οὐχὶ καί, εἰ οὕτως ἐστὶν εὐπαθῆ καὶ
εὐκίνητα, ἀνέμου πνέοντος οὐ παρασύρονται τῷ ἀέρι ἐν ᾧ εἰσιν; τὸ γὰρ
λέγειν διεκπίπτειν δι' αὐτῶν τὰ ἄλλα φερόμενα οὐ σωζόντων ἐστὶ τὴν

---

5 ἀναμετρεῖσθαι] cf. 158r34 6 τῷ V ex. Vict.: τὸ a 8 κατὰ βραχὺ] cf. 136,26 ἡ scripsi: ἢ ex. Vict.: ἢ Va 9 fortasse τοῦ τῆς κόρης 11 fortasse αὐτὴν διὰ 12 οὐχὶ addidi cf. Al. de sens. 121,1 sq. . . καὶ γὰρ εἰ πολλάκις καὶ πολλὰ δέχεται, πῶς καὶ διὰ τί ἄλλο τε καὶ ἄλλο μέρος τοῦ εἰδώλου δέξεται καὶ οὐχὶ ἀεὶ τὸ αὐτὸ καὶ ἐκ διαστημάτων; 14 συντιθέμενον (ο supra ω m¹) V 17 αὐτῶν om. a 18 φυλάσεσθαι V 22 πῶς δέ κτλ.] cf. Al. de sens. 122,1 sq. 24 πῶς δὲ καὶ κτλ.] cf. Al. de sens. 121,14 sq. 26 fortasse ⟨ἡ⟩ ὑδάτων ἐμφαινόμενα cf. 62,13 29 ἀπ' αὐτῶν om. a 30 διὰ τί δὲ κτλ.] fortasse τοῦ ὁρωμένου cf. Al. de sens. 122,3 διὰ τί δὲ κἂν ὀλίγον ἀπελθόντος τοῦ ὁρωμένου ταῦτα (ταὐτὰ Thurot) μένει ἢ ἐξ ὧν ἐν τῇ ὄψει; 31 φανείας a 32 πῶς δὲ οὐχὶ κτλ.] cf. Al. de sens. 120,11 καὶ ante εἰ add. v. c. V 34 φερόμενα] supra ερ: ѵ ut videtur v. c. V

συνέχειαν τοῦ εἰδώλου, προσέτι δὲ καὶ στερεότητά τινα καὶ ἀντιτυπίαν καταλιπόντων. οὕτως γὰρ αὐτὰ μένοι, διεκπίπτοι δὲ διὰ τῶν κενῶν τὰ φερόμενα. εἰ δέ ἐστιν εὔκολος αὐτῶν ἡ κίνησις ἐκ φλοιωδῶν καὶ ὑμενωδῶν, ὡς φασιν, καὶ πᾶσα ῥοπὴ ἱκανὴ παρασῦραι αὐτά, ἔδει μὴ ὁρᾶν τοὺς κατὰ τὸν ἄνεμον βλέποντας. ἔτι εἰ τὰ εἴδωλά ἐστιν αὐτὰ τὰ ἐμπίπτοντα καὶ ὁρώμενα, διὰ τί τὰ ὁρώμενα πόρρω ὄντα φαίνεται; τὸ γὰρ μυωπίζεσθαι λέγειν ⟨τὴν ὄψιν⟩ ὑπὸ τῶν εἰδώλων οὐ τῶν εἰδώλων ἐστὶ τὸ ὁρᾶν ποιεῖν, ἀλλὰ ἄλλον τινὰ χρὴ τρόπον ζητεῖν αὐτούς, δι' οὗ μυωπισθεῖσα ἡ ὄψις τὸ ὁρατὸν ὄψεται κἀκείνῳ προσβαλεῖ· πῶς γὰρ ὁρατὸν ἔτι τὸ εἴδωλον γίνεται, εἴ γε μόνον πρὸς τὸ παρασκευάσαι τὴν ὄψιν αὐτὴν καὶ διεγεῖραι τὸ εἴδωλον χρήσιμόν ἐστιν; τὸ δὲ λέγειν τῷ ποσῷ τοῦ ἀέρος τοῦ μεταξὺ τοῦ τε ὁρωμένου, ἀφ' οὗ τὰ εἴδωλα, καὶ τοῦ ὀφθαλμοῦ τὴν ἀντίληψιν γίνεσθαι τοῦ διαστήματος (τοῦτο γὰρ ὑπὸ τοῦ εἰδώλου προωθούμενον προεμπίπτειν τῇ κόρῃ πρὸ τοῦ εἰδώλου) ἀτοπίαν οὐδεμίαν ὑπερβάλλει. πῶς γὰρ τὸ εἴδωλον δύναται τὸν πρὸ αὐτοῦ προωθεῖν ἀέρα, ὃν οὕτως εὐπαθές; καὶ πῶς τοῦτον ἡ κόρη δέχεται, προσέτι τε πολλάκις τοσοῦτον δέξεται; οὐ γὰρ ἑνὸς εἰδώλου ἐμπτώσει τὸ ὁρᾶν· ἕκαστον οὖν τῶν ἐμπιπτόντων τοσοῦτον ἀέρα προπέμψει αὐτοῦ εἰς τὴν κόρην, εἰ μὴ ἄρα τὰ φερόμενα εἴδωλα ἀπὸ τοῦ ὁρωμένου οὐχ ὅτε τις βλέπει τότε φέρεται, ἀλλὰ παρακείμενα τῷ ὀφθαλμῷ· οὐ γὰρ δή, ὅτε ὁρᾷ ὀφθαλμός, τότε ἀπορρεῖ τὰ εἴδωλα. πῶς οὖν τὰ παρακείμενα ἔτι προώσει τὸν μεταξὺ ἀέρα; ἔτι εἰ ὑπὸ τῶν ἀνέμων μὴ σκίδναται τὰ εἴδωλα διὰ τὸ ὑποκάτω καὶ λεπτότερα καὶ ἀραιότερα τὴν φύσιν εἶναι τοῦ φερομένου ἀέρος ὑπὸ τῶν ἀνέμων, πῶς ἅμα τὸν ἀέρα τοῦτον οἷόν τε ἔσται προωθεῖν; ἔτι εἰ ἄχροά ἐστι τὰ εἴδωλα καὶ τοιαῦτα αὐτὰ δέχεται ἡ ὄψις, πῶς χρωμάτων ἀντιλαμβάνεται; πῶς δὲ τῶν σχημάτων κατ' ἐλάχιστον αὐτὰ δεχομένη; ὥστε οὔτε χρωμάτων οὔτε σχημάτων ἂν γίνοιτο ἡ ὄψις, εἴ τις ἀκριβῶς ἐξετάζοι καὶ μὴ πάντα αἰτουμένοις αὐτοῖς διδοίη· τίνος οὖν ἔτι ἡ ὄψις ἔσται;

Πρὸς τοὺς διὰ τῆς ἀπορροίας τῆς ἀπ' ἀμφοῖν τὸ ὁρᾶν λέγοντας.

Πρὸς δὲ τοὺς λέγοντας τὸ ὁρᾶν γίνεσθαι ἐξ ἀμφοτέρων, ἀπορροίας γινομένης ἀπό τε τῆς ὄψεως καὶ ἀπὸ τῶν ὁρωμένων, καὶ κατὰ τὴν τούτων μῖξιν γίνεσθαι τὴν ἀντίληψιν τῇ ὄψει (φῶς γάρ τι ἐκπέμπεσθαι ἀπὸ τῆς ἡμετέρας ὄψεως, ὃ τῇ ἀπορροίᾳ τῇ ἀπὸ τοῦ ὁρωμένου συμμιγὲν ἐχούσῃ

---

2 fortasse ⟨ἂν⟩ αὐτὰ μένοι a διεκπίπτει a 3 εὐκόλως a 6 ὁρώμενα καὶ ἐμπίπτοντα a 7 τὴν ὄψιν addidi, cf. Al. de sens. 122,4sq. τὸ δὲ λέγειν μυωπίζεσθαι τὴν ὄψιν ὑπὸ τῶν φερομένων ἐπ' αὐτὴν εἰδώλων καὶ διορίζεσθαι καὶ πρὸς τὸ ὁρᾶν παρασκευάζεσθαι οὐκέτι τηρούντων ἐστὶ τὸ διὰ τῶν εἰδώλων γίνεσθαι τὸ ὁρᾶν. δῆλον γὰρ ὅτι μυωπισθεῖσα ἡ ὄψις ὑπὸ τοῦ εἰδώλου ἄλλο τι οὐκ ὄψεται, εἰ μὴ τὸ εἴδωλον. τί οὖν ταῦτα καὶ πῶς 11 τὸ δὲ λέγειν κτλ.] cf. Al. de sens. 120,5sq. huc pertinet etiam de sens. 120,12—121,1, quo summovetur Thuroti aporia 14 ἀτοπίαν] το supra lin. V 15 αὐτοῦ V: τοῦ αὐτοῦ a 17 ἐμπιπτόν| V 18 fortasse τὸν πρὸ αὐτοῦ 21 προώσει] ante ω una lit. eras. V 24 ἃ χρόα a 25 αὐτὰ om. a 27 ἐξετάζει a 29 fortasse λέγοντας ⟨γίνεσθαι⟩ cf. 127,27 134,28 136,30 33 συμμιγὲς a

τὸ εἶδος τοῦ ὁρωμένου ἀναλαμβάνον καὶ ἀναμασσόμενον τὸ παρ' ἐκείνου εἶδος ἀναγγέλλειν τῇ αἰσθήσει), πρὸς δὴ τούτους χρὴ λέγειν πρῶτον μὲν ὅτι, εἰ τὸ ἀφ' ἑκατέρου ἐκπέμπεσθαί τι σῶμα κατ' ἰδίαν ἢ ἀπὸ τῆς ὄψεως ἢ ἀπὸ τοῦ ὁρωμένου ἄτοπον, δῆλον ὡς ἄτοπον καὶ τὸ ἐξ ἀμφοτέρων τὴν ἀπόρροιαν αὐτῶν ποιεῖν (ἀπαντήσει γὰρ καὶ τούτοις ἄτοπα, ὅσα ἑκατέροις ἐκείνων· καὶ γὰρ τὸ ἐν χρόνῳ δεῖν γίνεσθαι τὴν ἀντίληψιν διαφέροντι τῶν ἐγγὺς καὶ πόρρωθεν ὁρωμένων, καὶ τὸ ἀναλίσκεσθαι τά τε ὁρῶντα καὶ τὰ ὁρώμενα | καὶ μειοῦσθαι ἐν τῇ ἐνεργείᾳ ταύτῃ ἑκάτερον 151r αὐτῶν τοσαύτης ἀπορροίας ἀπ' αὐτῶν γινομένης), καὶ τὸ μέχρι πόσου δὲ ἄπεισι τὸ ἐκπεμπόμενον, ἔπειτα συμμίγνυται τῷ ἀπὸ τοῦ ὁρωμένου ἀπορρέοντι, ὡρίσθαι δεῖ. ἦν γὰρ ἂν ἀναλογίαν ποιήσωσιν, δεήσει ἐν πλείονι χρόνῳ τὰ μακρὰν ὁρᾶν τῶν ἐγγύς, ἅτε πλείονα κίνησιν κινουμένου τοῦ ἐκπεμπομένου ἀφ' ἡμῶν ἐν τῇ πρὸς ἐκεῖνα προσβολῇ, τὴν δὲ πλείονα κί- 5 νησιν ἐν πλείονι γίνεσθαι χρόνῳ. οὐδὲ γὰρ τὸ ἀπορρέον θᾶττον ἀφικνεῖσθαι πρὸς τὴν ὄψιν αὔταρκες πρὸς τὸ μὴ ἐπὶ πλέον προχεῖσθαι τὸ ἀπὸ τῆς ὄψεως ἐκπεμπόμενον ὑπὸ τῶν πόρρωθεν ὁρωμένων. ἐπὶ γὰρ τῶν ἐγγὺς ὁρωμένων, εἰ τὸ μὲν πληκτικώτερον ἐγγυτέρω τεθείη, οἷον τὸ πῦρ, τὸ δ' οὐχ ὁμοίως πληκτικὸν πορρωτέρω, οἷον ἄνθρωπος (ἐλάττω γὰρ τὸ τούτου χρῶμα πληκτικόν), ὡς τὸ μὲν ἀπὸ πήχεως ἑνός, τὸ δὲ ἀπὸ δύο ἢ τεσ- σάρων πηχῶν εἶναι, ἔπειτα ἀναβλέψαιμεν, ἅμα ἂν ἴδοιμεν καὶ οὐ θᾶττον 10 τὸ πληκτικὸν καίτοι πλησίον κείμενον, ὥστ' οὐδὲν τὸ πληκτικὸν ἢ μὴ πρὸς τὸ ἐλάττονα τὴν πρόοδον γίνεσθαι ἢ πλείονα τὴν ἀπὸ τῆς ὄψεως συντελεῖ. ἔτι εἰ ἑκάτερον τῶν ἐκπεμπομένων ἐπ' εὐθείας φέρεται, τίς ἡ χρεία τοῦ ἀπ' ἀμφοτέρων ἐκπέμπεσθαι; ἐδύνατο γὰρ ἢ ἀπὸ τοῦ ὁρωμένου ἐπὶ τὴν ὄψιν ἀφικνεῖσθαι ἢ τὸ ἀπὸ τῆς ὄψεως ἐπὶ τὸ ὁρώμενον. ἔτι τίς ἡ ἀνάμαξις τοῦ εἴδους, καὶ πῶς γίνεται τῷ ἐκπεμπομένῳ ἀπὸ τῆς ὄψεως παρὰ τοῦ ἀπορρέοντος ἀπὸ τοῦ ὁρωμένου τύπωσις, ἀλλὰ οὐκ ἀλλοίωσις; δεῖ γὰρ 15 καὶ τοῦτο διωρίσθαι. ἔτι ποδαπόν ἐστι τὸ ἀπὸ τοῦ ὁρωμένου φερόμενον; εἰ μὲν γὰρ καὶ τὸ σχῆμα καὶ τὸ χρῶμα ὅμοιον τῷ ἀφ' οὗ φέρεται ἔχει, οὐδὲν ἄλλ' ἢ εἴδωλον ἔσται ἢ καὶ πλέον ἔχον τι. ἐκεῖνα γὰρ οὔ φασιν ἔχειν χρῶμα. εἰ δὲ τὸ μὲν χρῶμα ἔχον, τὸ δὲ σχῆμα μή, πῶς τῶν σχημάτων ἡ ἀντίληψις, ἐχρῆν λέγειν. εἰ δὲ τὸ μὲν σχῆμα ἔχει, τὸ δὲ χρῶμα μή, οὐ χρωμάτων ἔτι ἡ ὄψις ἀντιληπτική. τίς δὲ καὶ ὁ τρόπος τῆς μετὰ τὸ παθεῖν τὸ ἐκ τῆς ὄψεως ἐκπεμφθὲν μηνύσεως τῇ ὄψει; ἔτι εἰ φῶς ἐστι 20 τὸ ἐκ τῆς ὄψεως ἐκπεμπόμενον, δῆλον ὅτι ὁρατόν ἐστιν. διὰ τί οὖν ἐν τῷ σκότῳ ἀναβλέποντες οὐχ ὁρῶμεν ἄλλος τὸ ἄλλου; ὡς γὰρ ἐν τοῖς σκοτεινοῖς οἰκήμασιν, κἂν διὰ βραχείας ὀπῆς εἰσέλθῃ φῶς, ὁρατὸν γίνεται καὶ

---

2 ἀναγγέλλειν] cf. 158r34 9 δὲ πόσου a 10 ἄπεισι corr. ex. ἄπισι V 16 fortasse ἐπὶ τῶν πόρρωθεν 19 πήχεως m^2, πῆχος m^1 V: πήχεως a 24 fortasse ἢ ⟨τὸ⟩ ἀπὸ 25 ἀνάμαξις V: ἀνάμιξις a. Cf. φῶς .. δ τῇ ἀπορροίᾳ συμμιγὲν .. ἐχούσῃ τὸ εἶδος τοῦ ὁρωμένου ἀναλαμβάνον καὶ ἀναμασσόμενον τὸ παρ' ἐκείνου εἶδος 136,32 27 ἀλλὰ οὐκ m^2, ἀλλὰ m^1 V: ἀλλὰ οὐκ a 29 μὲν om. a 30 ἀλλ' Va οὔ φασιν V ex. Vict.: ὃν φασιν a 36 τὶ ἄλλου Ka 37 τὸ φῶς Ka

εὐθὺς ὁρᾶται, οὕτως ἕδει καὶ ἀπὸ τῶν ὀμμάτων ἀπιὸν ὁρᾶσθαι, ἐπειδὰν ἐν σκότῳ ἀναβλέψωμεν. ἔτι καὶ κατὰ τούτους σῶμα ἔσται τὸ φῶς.

Ὅτι μὴ σῶμα τὸ φῶς.

Εἰ σῶμα τὸ φῶς, ἤτοι πῦρ ἐστι ἢ πυρὸς ἀπορροή, ἣν αὐγήν τε λέγουσιν καὶ τρίτον τι πυρὸς εἶδος. πῦρ μὲν οὖν οὐκ ἂν εἴη. φῶς μὲν γάρ ἐστι μᾶλλον καὶ ἧττον, πῦρ δὲ μᾶλλον καὶ ἧττον οὐκ ἔστιν. οὐκ ἄρα πῦρ τὸ φῶς. ἢ εἰ ἦν τὸ μᾶλλον πῦρ, μᾶλλον ἂν ἦν καὶ φῶς, εἴ γε ταὐτὸν πῦρ τε καὶ φῶς. μᾶλλον δὲ πῦρ ἡ φλὸξ τοῦ φωτὸς ὁμολογεῖται καὶ οὐκ ἔστι μᾶλλον φῶς. ἔτι τὸ μὲν πῦρ θερμαίνει τε καὶ καίει, τὸ δὲ φῶς οὐδέτερον. ἔτι τὸ φῶς καὶ ἐν ὕδατί ἐστιν, πῦρ δὲ οὐχ οἷόν τε ἐν ὕδατι, καὶ φῶς μὲν καὶ ἐν κρυστάλλοις, πῦρ δὲ ἀδύνατον, εἴ γε ἐν ὑπερβολῇ ψυχρότητος ὁ κρύσταλλος. ἔτι εἰ πῦρ τὸ φῶς, παρὰ φύσιν αὐτῷ ἡ ἄνωθεν κάτω κίνησις καὶ βίαιος. ὁρῶμεν δὲ οὐδὲν ἧττον τὸ φῶς κάτωθεν ἄνω ἢ ἄνωθεν κάτω φερόμενον κατὰ φύσιν. εἰ δὲ ἀπορροήν τις λέγοι πυρός, πῶς καὶ μὴ ἀπὸ πυρὸς φῶς γίνεται; πολλὰ γὰρ φωτίζει καὶ μὴ τοιαῦτα, ὡς ἡ λαμπυρίς. ἔτι εἰ ἔστιν ἀπορροή, διὰ τί οὐδὲ πρὸς ὀλίγον ὑπομένει παραφερομένων τούτων, ἀφ' ὧν ἀπορρεῖ; ἐπὶ γὰρ ὧν εἰσιν ἀπόρροιαι, ἐπὶ τούτων ὑπομένει πρός τινα χρόνον καὶ ἀπελθόντων τὸ ἀπορρεῦσαν. εἰ δέ ἐστιν εὔφθαρτον οὕτως, ὡς μηδ' ὅλως ὑπομένειν, ἀλλὰ πρὸς τὸ εἶναι συνεχοῦς δεῖσθαι χορηγίας, διὰ τί οὐ ταχέως καταναλίσκεται τὰ φωτίζοντα τοσαύτης ἀπ' αὐτῶν γινομένης ἀπορροῆς; πόση γὰρ ἡ ἐκ τῆς τροφῆς προσθήκη; πῶς δὲ οἱ λίθοι, μὴ τρεφόμενοι, φωτίζοντες δέ, οὐκ ἀναλίσκονται; πόσης δὲ δεῖ χορηγίας καὶ τροφῆς ταῖς λαμπυρίσιν; ὅλως δὲ εἰ τὸ φῶς σῶμα, δῆλον ὅτι τόπον καθέξει καὶ ἔσται που. τίς οὖν ὁ τοῦ φωτὸς τόπος; ἢ γὰρ ὁ αὐτὸς ἔσται τοῦ φωτὸς καὶ τῶν διαφανῶν, καὶ ἤτοι ἐκεῖνα οὐ σώματα ἢ σῶμα διὰ σώματος διελεύσεται καὶ δύο σώματα τὸν αὐτὸν καθέξει τόπον, ἤ, εἰ ταῦτα ἄτοπα, οὐκ ἔσται τὸ φῶς σῶμα. γελοῖον γάρ τοι τὸν μὲν λίθον τὸν διαφανῆ ἢ τὴν ὕαλον μὴ λέγειν εἶναι σῶμα, τὸ δὲ φῶς λέγειν. ἔτι τὸ σκότος σῶμα καὶ αὐτὸ ἐροῦσιν ἢ ἀσώματον; ἀλλὰ τὸ μὲν σῶμα λέγειν σκιὰν λέγοντας ἄτοπον, εἰ δ' ἀσώματον, εὔλογον καὶ τὸ φῶς ἀσώματον λέγειν, ἐναντίον ὂν τῷ σκότῳ. ἔτι εἰ τὸ σκότος σῶμα, πότερον ὑπομένον δέχεται τὸ φῶς ἢ ἀντιπερίσταται; εἰ μὲν γὰρ ὑπομένει, ἔσται οὐ δύο μόνον ἐν αὐτῷ σώματα, ἀλλὰ καὶ τρία, ὅ τε γὰρ ἀὴρ καὶ τὸ σκότος καὶ τὸ φῶς. εἰ δὲ ἀντιπερίσταται, ποῦ ἀντιπεριστήσεται; ἢ δηλονότι ὅθεν ἔπεισιν τὸ φῶς; ἔσται ἄρα τὸ σκότος ἐν τῷ ἡλίῳ καὶ τοῖς ἄστροις καὶ τῷ πυρί. τοῦτο δὲ παντάπασιν ἄτοπον. ἔτι εἰ τὸ σκότος, σῶμα ὄν, ὑπομένον δέχεται τὸ φῶς, ἔσται τὸ ἐναντίον τοῦ ἐναντίου δεκτικόν. τοῦτο δὲ ἀδύνατον. εἰ γὰρ ἀλλοιοῦσθαί τις λέγοι τὸ ὑποκείμενον, οὔτε τὸ φῶς ἔσται

---

4 ἔσται Ka 7 τὸ] τι Usenerus 9 fortasse φῶς· ⟨οὐκ ἄρα πῦρ τὸ φῶς⟩. Usenerus
11 γε om. Ka 12 τὸ πῦρ φῶς Ka 14 λέγει Ka 24 ἔσται Diels: ἔστι VKa
25—26 οὐ σώματος Ka 27 γάρ τι Ka 29 ἀσώματος a 31 τῷ om. Ka
33 fortasse ⟨τῷ⟩ αὐτῷ καὶ ante τρία om. Ka

σῶμα οὔτε τὸ σκότος. ἔτι εἰ σῶμα τὸ σκότος, ὁ ἀήρ, ἐν ᾧ γίνεται τὸ φῶς, ἤτοι δι' ὅλου σῶμα ὢν δέξεται τὸ φῶς, καὶ οὕτω σῶμα διὰ σώματος χωρήσει, ἢ ἕξει πόρους, δι' ὧν δίεισιν τὸ φῶς. οὗτοι δὴ ἤτοι, ὅταν μὴ ᾖ φῶς, ἔσονταί τινος | ἄλλου σώματος πλήρεις, ὃ τί ποτε ἐροῦσιν εἶναι, 151v
ἢ ποῦ μεθίστασθαι; δεήσει γὰρ αὐτὸ λεπτότερον ἀέρος εἶναι, ἀλλὰ καὶ τοῦ φωτὸς αὐτοῦ, εἴ γε καὶ τούτῳ ὑποχωρεῖ καὶ μεθίσταται· τί δ' ἂν εἴη σῶμα κατ' αὐτοὺς τοῦ φωτὸς λεπτότερον; εἰ δὲ λέγοιεν πῦρ εἶναι τοῦτο, πυρὸς ἔσται πλήρης, ὃ ἀτοπώτατον, εἴ γε τοῦ πυρὸς τό τε φωτίζειν καὶ τὸ θερμαίνειν, ὧν οὐδέτερον ἐν τῷ σκότῳ. εἰ δὲ οἱ τοῦ ἀέρος πόροι κενοὶ μένουσιν ὄντος σκότους, πρῶτον μὲν ἔσται κενόν τι ἐνεργείᾳ ἐν τῷ κόσμῳ κατ' αὐτούς, ὅπερ οὐ θέλουσιν, ἔτι καὶ μανότερος ὁ ἀὴρ ἔσται τῆς νυκτός, ἅτε ἔχων ἐν αὑτῷ κενά (δοκεῖ δὲ πυκνότερος γίνεσθαι τότε), ἔτι τὸ φῶς οὐκ ἔσται διακριτικὸν καὶ λεπτυντικὸν τοῦ ἀέρος, ὡς λέγουσιν, ἀλλὰ τοὐναντίον. ἔτι πῶς ὁμαλὲς ἔσται τὸ φῶς ἐν τῷ ἀέρι, μόνων τῶν πόρων ἐχόντων αὐτό, εἴ γε, ἔνθα μέν ἐστι τὸ φῶς, τοῦτο πεφώτισται (τοῦτο δ' εἰσὶν οἱ πόροι), ἔνθα δὲ ὁ ἀὴρ ἢ ἄλλο τι τῶν διαφανῶν σῶμα, μὴ πεφώτισται. ἔτι εἰ σῶμα τὸ φῶς, πῶς ἐὰν διὰ βραχείας ὀπῆς εἰς οἰκόν τινα σκότους ὄντος εἰσέλθῃ ἀπό τινος φωτίσαντος, ἀπολῃφθείσης ἀθρόως τῆς ὀπῆς οὐχ ὑπομένει οὐκ ἔχον ἄλλην ἔξοδον; ἔτι εἰ σῶμα τὸ φῶς, πῶς οἷόν τε ἅμα φωτίζεσθαι καὶ τὰ πόρρω καὶ τὰ ἐγγύς, τὰ δυνάμενα ἀπὸ τοῦ αὐτοῦ διαστήματος φωτισθῆναι; ἔδει γὰρ ἐν πλείονι χρόνῳ τὰ πλέον ἀφεστῶτα, εἴ γε παντὸς σώματος ἡ τοπικὴ κίνησις ἐν χρόνῳ. ὅτι δὲ ἅμα τὸ φῶς καὶ ἐν τῷ ἐγγυτάτῳ καὶ ἐν τῷ πορρωτάτῳ γίνεται διαστήματι τῷ οἵῳ τε φωτίζεσθαι, ἐν ταὐτῷ τοῦ φωτίζοντος μένοντος, ἐναργές. ἔτι εἰ τὸ φῶς σῶμα ὂν ἐστιν ἐν τοῖς τοῦ ἀέρος πόροις ἢ τοῖς τοῦ ὕδατος, πῶς ἢ τοῦ ὕδατος ῥέοντος ἢ τοῦ ἀνέμου μετακινουμένου οὐ συμμεταφέρεται καὶ συγκινεῖται καὶ αὐτό, ἀλλ' ἀεὶ ἐν τῷ αὐτῷ μένει τῶν ἐν οἷς ἐστιν οὐ μενόντων;

Ὅτι σῶμα διὰ σώματος ἀδύνατον διήκειν.

Τὸ σῶμα διὰ σώματος διήκειν, εἰ μὲν ὡς ἐχόντων κενὰ τῶν σωμάτων καὶ διὰ τούτων χωροῦντος θατέρου διὰ θατέρου, ἄλλος ὁ λόγος (ἀτοπίας δ' ἔχει, καὶ ἅμα οὐ σῶμα διὰ σώματος γίνεται, ἀλλὰ σῶμα διὰ κενοῦ διῆκον), εἰ δὲ μὴ διὰ κενῶν (οὐδὲ γὰρ εἶναί φασιν κενὸν ἐν τῷ κόσμῳ ἐνεργείᾳ οἷς τοῦτο ἀρέσκει), ἀλλὰ μεστόν τι ὂν αὐτοῦ σῶμα ἄλλο δεξάμενον αὐτοῦ σῶμα κἀκεῖνο μεστὸν ὂν ὁμοίως ἐν αὐτῷ οὐδὲν ηὐξήθη, ἀλλ' ἔμεινεν ἐν τῷ αὐτῷ τόπῳ, τί δή ποτε τόδε μὲν τὸ σῶμα δέξεται ἐν αὐτῷ ἄλλο σῶμα, τόδε δὲ οὔ, εἴ γε τὸ σῶμα δέξεται καὶ παρεκταθήσεται καὶ ἰσω-

---

4 ὃ τί scripsi: ὅτι VKa 8 ἀτοπώτατον V: ἄτοπον K ex. Vict.: ὃ τόπον a 12 αὐτῷ VKa 18 ἀπολειφθείσης Ka 19 οὐχ K: οὐ Va 20 τὰ δυνάμενα κτλ.] cf. 143,22 34 μεστόν V: μέσον Ka ὂν αὐτοῦ VKa δεξάμενον αὐτοῦ scripsi: δεξάμενον αὐτοῦ m¹, δεξάμενον m² V: δεξάμενον Ka 35 αὐτῷ VKa 36 ἐν αὐτῷ VKa

θήσεται αὐτῷ, οἷον τὸ πῦρ, ὕδωρ δὲ οὐ δέξεται; οὐδὲ γάρ, διότι λεπτότερον τὸ πῦρ τοῦ ὕδατος, διὰ τοῦτο ἐκεῖνο μένον οὐσίαν προσδέξεται, τὸ δὲ ὕδωρ παχύτερον ὂν οὐκέτι. ἐπίσης γὰρ πλῆρες τὸ λεπτομερέστερον τῷ παχυμερεστάτῳ, εἰ μηδαμοῦ χώρα κενοῦ σώματος. ἔτι εἰ παχύτερος χαλκὸς ὕδατος, πῶς χρυσῷ χαλκὸς μὲν μίγνυται, ὕδωρ δὲ οὔ; καὶ καττίτερος χαλκῷ, ἔλαιον δ' οὔ; καὶ μολίβδῳ χαλκὸς μὲν μίγνυται, κηρὸς δὲ οὔ; ὅσον γὰρ ἐπὶ τῷ λόγῳ, ἢ πᾶν παντὶ ἐχρῆν μίγνυσθαι, ἢ ταῦτα μᾶλλον ἐκείνων, ἢ, ὅπερ εὔλογον, μηδὲν μηδενί. εἰ γὰρ πόρους αἰτιῶνται, οὐκέτι γίγνεται πᾶν παρεκτεινόμενον παντί, ἀλλὰ παράθεσις ἂν εἴη καὶ τὸ κενὸν αἴτιον ἂν οὕτως λέγοιεν. ἔτι εἰ ὅλα ὅλοις παρεκτείνεται καὶ τὰ βραχύτατα τοῖς μεγίστοις μέχρι τῆς ἐσχάτης ἐπιφανείας, ὃν κατέχει τὸ ἓν τόπον, τὸ συναμφότερον καθέξει. τὰ μὲν γὰρ μόρια τοῦ ὅλου, ἔστ' ἂν ἐν τῷ ὅλῳ ᾖ, πέρασιν οἰκείοις μὴ περιεγεγραμμένα εἰκότως οὐκ ἔστιν ἐν τόπῳ καθ' αὑτά, τῶν δὲ μεμιγμένων ἑκάτερον ὁμοίως τῷ ὅλῳ τῷ ἐξ ἀμφοτέρων ὑπὸ πέρασιν περιγέγραπται, εἴ γε δι' ὅλων κεχωρήκασιν ἀλλήλων. ἑκάτερον γὰρ αὐτῶν τὸν πάντα καθέξει τόπον, ὃν καὶ θάτερον κατεῖχεν πρὸ τῆς μίξεως καὶ μετὰ τὴν μῖξιν τὸ συναμφότερον. καὶ γὰρ τὸ μεμιγμένον, τῷ ἑτέρῳ ἴσον αὐτῷ γινόμενον, ἀνάγκη τὸν αὐτὸν καὶ ἴσον ἐκείνῳ κατέχειν τόπον. ἔσται ἄρα ἐν τῷ αὐτῷ τόπῳ πλείω σώματα, καὶ ἕκαστον αὐτῶν τὸν ὅλον καθέξει τόπον. εἰ δέ, ὧν ὁ τόπος ἴσος, καὶ αὐτὰ ἴσα, τά τε, ἐξ ὧν τὸ συναμφότερον, ἴσα ἀλλήλοις ἔσται, καὶ τὸ συναμφότερον ἑκατέρῳ αὐτῶν· καὶ ὁ κύαθος ἄρα τοῦ οἴνου εἰς πέλαγος ἐκχυθεὶς ἴσος ἔσται τῷ πελάγει, καὶ τὸ πέλαγος μετὰ τοῦ κυάθου τῷ κυάθῳ μόνῳ. τὸ γὰρ λέγειν, ὅτι τῇ δυνάμει οὐκ ἴσον, οὐδὲν πρὸς τὸν λόγον. ἀρκεῖ γὰρ εἰς τὴν τοῦ προκειμένου δεῖξιν τὸ κατὰ τὸ ποσὸν ἴσα αὐτὰ πεφυκέναι. ἔτι τε οὐδὲν μᾶλλον τὸ πῦρ διὰ τοῦ σιδήρου δίεισιν, ἢ ὁ σίδηρος διὰ τοῦ πυρός· καὶ γὰρ καὶ ἡ ψυχὴ διὰ τοῦ σώματος καὶ ἡ φύσις διὰ τῶν φυτῶν καὶ ἡ ἕξις διὰ τῶν ἄλλων σωμάτων, καὶ ἀνάπαλιν ταῦτα δι' ἐκείνων. οὐδὲν γὰρ τὸ λεπτότερόν τι εἶναι καὶ παχύτερον εἰς τοῦτο συντελεῖ, εἴ γε ἀμφότερα ὁμοίως ἐστὶ πλήρη· εἰ δὲ καὶ τοῦτο συγχωρηθείη, ἐπὶ οἴνου καὶ ὕδατος πότερον διὰ ποτέρου διελεύσεται; ἔτι τίς αἰτία, δι' ἣν ἔκ τινων μὲν μιγνυμένων ὁ ὄγκος γίνεται μείζων, ἔκ τινων δὲ ὁ αὐτὸς μένει; τὸ γὰρ λέγειν τὸν σίδηρον παχύτερον γεγονέναι τῇ μίξει τοῦ πυρὸς παράλογον. τὰ μὲν γὰρ παχυνόμενα συγκρίνεται, ὁ δὲ σίδηρος ὑπὸ τοῦ πυρὸς διακρίνεται. ἔτι ὅτι λεπτύνεται ὑπὸ τοῦ πυρὸς δῆλον. θερμανθεὶς γὰρ ἐλαύνεσθαι δύναται πρὸ τούτου μὴ δυνάμενος. ἔτι εἰ τὸ χεόμενον ὑπό τινος λεπτύνεται, μᾶλλον χεῖται δὲ ὑπὸ τοῦ πυρὸς τὰ οἷά τε χεῖσθαι, οὐκ ἂν εἴη παχυντικὸν τὸ πῦρ. ἀκολουθήσει δὲ λέγειν καὶ τὸν ἄνθρακα τοῦ ξύλου παχύτερον, ἀλλὰ καὶ τὸν πεφωτισμένον ἀέρα τοῦ μή. | καίτοι δοκεῖ λεπτότερος ὁ ἡλιούμενος εἶναι 152c

3 παχυμερεστέρῳ Ka 5—6 ὕδωρ usque ad μίγνυται om. Ka 6 δὲ] ε in lit. V 8 γίνεται a 10 εἰ om. Ka 11 ὃν VK: ὂν a 13 αὐτό K 14 τῷ ἐξ V ex. Vict.: τὸ ἐξ Ka ὑπὸ delendum videtur cf. v. 12 23 μόνον Ka 25 τὸ ποσὸν V: τόπον Ka 29 τοῦτο m², τοῦ m¹ V: τοῦτο Ka 30 συγχωρηθείη] ρι m¹ ρη m² V 38 τὸν post ἀλλὰ καὶ] ante ν una liter. erasa V 39 εἶναι om. Ka

τοῦ μή. ἔτι εἰ ἐν μικρῷ οἴκῳ πολλάς τις δᾷδας στήσειεν ἢ λύχνους ἅψειεν, παχύτερος ἂν ὁ ἀὴρ μελανθεὶς γίνοιτο καὶ ὅσα τὰ φωτίζοντα, τοσαῦτα ἅμα σώματα δι' ἀλλήλων χωρήσει καὶ τὸν ἴσον καθέξει τόπον· ταῦτα δὲ ἄτοπα. ἔτι, εἰ ἴσον τόπον κατέχει ἥ τε ψυχὴ καὶ τὸ σῶμα σὺν αὐτῇ, καὶ χωρισθείσης τὸ σῶμα μηδὲν ἐλάττονα, τίς ἔσται τόπος τῆς ψυχῆς; ἢ γὰρ κενὸν ἔσται, ὃ καθέξει, ἢ ἄλλο τι ἐξ ἀνάγκης ἔσται ζῴου σῶμα, εἰς ὃ μεταβήσεται, καὶ οὕτως οὐδέποτε ψυχὴ ἔξω σώματός τε καὶ ζῴου ἔσται. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ πυρὸς τοῦ ὄντος ἐν τῷ σιδήρῳ. ἔτι, ὅταν οἴνου κοτύλη δύο κοτύλαις ὕδατος μιχθῇ, γίνεται μὲν τὸ πᾶν κρᾶμα καὶ μῖγμα τρικοτυλιαῖον. πῶς δὲ κατ' ἐκείνους οἷόν τε; εἰ γὰρ ἡ τοῦ οἴνου κοτύλη διὰ παντὸς τοῦ ὕδατος ἐχώρησεν καὶ παρισώθη αὐτῷ, ἢ τέσσαρες ἔσονται κοτύλαι τὸ πᾶν (καὶ γὰρ ὁ οἶνος τῷ ὕδατι ἴσος γέγονεν κατὰ τὸ ποσόν, ὥστε δύο κοτυλῶν· οὐ γὰρ δὴ ἰσωθεὶς κοτύλαις δύο κοτυλιαῖος ἔτι ἔσται· ἀδύνατον γὰρ ἦν τὸ διπλάσιον ἴσον τῷ ἡμίσει εἶναι), ἢ ἀνάπαλιν τὸ ὕδωρ τῷ οἴνῳ ἴσον ἔσται καὶ ἔσται κοτύλης· καὶ οὕτως πάλιν τὸ μῖγμα δύο κοτυλῶν. τὸ γὰρ λέγειν τὸν μὲν οἶνον ἐκτείνεσθαι, τὸ δὲ ὕδωρ συστέλλεσθαι καὶ οὕτως εἰς τὸ μέσον ἥκειν, τοῦ μὲν ὕδατος ἀποβάλλοντος ἡμισυ κοτύλης, τοῦ δ' οἴνου προσλαμβάνοντος τὸ τοσοῦτον, λίαν ἄτοπόν ἐστιν αἰτούμενον. καὶ ὁ σταλαγμὸς δὲ ὁ μεμιγμένος τῇ θαλάττῃ αὐτὸς ἴσος ἔσται κατὰ τὸ ποσὸν τῇ πάσῃ θαλάττῃ, ἢ πᾶσα ἡ θάλασσα τῷ σταλαγμῷ. ἄλλως γὰρ οὐχ οἷόν τε παρισωθῆναι αὐτὰ καὶ μιχθῆναι ἀλλήλοις κατ' αὐτούς. ἔτι πῶς ὁ σταλαγμὸς τοῦ ὕδατος ὁ τῇ θαλάττῃ παρεκτεινόμενος ἐπὶ τοσοῦτον λεπτυνόμενος ὕδωρ ἔτι μένει; διακρινόμενος γὰρ καὶ ἐπιτεινόμενος εἰς τοσοῦτο φθάσαι ἂν πῦρ γενόμενος. πολλῷ γὰρ ἧττων ἡ διάκρισις ταύτης ἀέρα μὲν ἐξ ὕδατος, ἐκ δὲ ἀέρος πῦρ ποιεῖ· ἔτι ὡς ἄτοπον τὸ ἐξ ἀμεγεθῶν μέγεθος ποιεῖν, οὕτως ἄτοπον καὶ τὸ ἐκ μεγεθῶν μηδὲν μέγεθος ποιεῖν, ὃ ἕπεται τοῖς δύο σώματα ἐν ταὐτῷ τόπῳ ποιοῦσιν. μεγέθη γὰρ ὄντα οὐδὲν συναυξήσει.

Πῶς κατὰ Ἀριστοτέλη τὸ ὁρᾶν γίνεται.

Δοκεῖ τοίνυν Ἀριστοτέλει, ὥσπερ καὶ αἱ ἄλλαι αἰσθήσεις πασχόντων γίνονται τῶν αἰσθητηρίων, οὕτως δὲ καὶ τὸ ὁρᾶν πασχούσης τῆς ὄψεως γίνεσθαι, ἀλλ' οὐχὶ ἐκπεμπούσης τι καὶ ποιούσης, εἰ μὴ καὶ τὸ πάσχειν ποιεῖν τις λέγοι. πάσχει δὲ οὐκ ἀπορρέοντά τινα ἀπὸ τῶν ὁρατῶν δεχομένη, ἀλλὰ τοῦ μεταξὺ τῆς τε ὄψεως καὶ τοῦ ὁρωμένου διαφανοῦς ἀλλοιουμένου πως ὑπὸ τοῦ ὁρατοῦ καὶ τὸ εἶδος τὸ ἀπὸ τοῦ ὁρατοῦ τῇ ὄψει διαγγέλλοντος. πᾶν γὰρ τὸ διαφανές, ὅταν ᾖ κατ' ἐνέργειαν τοιοῦτον, του-

---

1 δάδας Va 2 παχύτερος] χ in lit. V 4 εἰ supra lin. V 5 χωρισθείσης] cf. 156 r 11 7 μεταβήσεται V 11 παρισωθῆ Ka 13 κοτυλῶν] post ο una lit. er. V ἰσοθεὶς a 14 ἔτι om. Ka ἡμίσει VK: ἥμισυ a 21 αυτά V: αὐτοὺς Ka 25 αὕτη ταύτης Ka 26—27 οὕτως usque ad ποιεῖν om. Ka 28 μεγέθη V ex. Vict.: μεγέθει Ka 29 ἀριστοτέλην a ut solet 34 τε om. a

τέστιν, ὅταν ᾖ πεφωτισμένον (τὸ γὰρ φῶς ἐστιν ἐνέργεια τοῦ διαφανοῦς, ᾗ διαφανές), τὸ δὴ κατ' ἐνέργειαν διαφανὲς τρέπεταί πως καὶ πάσχει πρὸς τῶν χρωμάτων τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ τὸ κατὰ δύναμιν διαφανὲς τῇ τοῦ φωτίζειν πεφυκότος παρουσίᾳ τρεπόμενον φωτίζεται. ἔστι δὲ τὸ φωτίζειν πεφυκὸς τό τε τῶν ἄστρων σῶμα καὶ τὸ πῦρ καὶ εἴ τις τοιαύτη ἐστὶν ἐν διαφέρουσιν σώμασιν κοινὴ φύσις ἡ τοῦτο δυναμένη. ἡ γὰρ τούτων παρουσία ἐν τῷ διαφανεῖ φῶς, καὶ τοῦτό ἐστι τὸ κατ' ἐνέργειαν διαφανές. τότε γὰρ τὴν αὐτοῦ τελειότητα τὸ διαφανὲς ἴσχει, λέγω δὲ τὸ δυνάμει διαφανές, ἐπειδὰν ᾖ πεφωτισμένον, καὶ ἔστι κυρίως διαφανὲς τὸ πεφωτισμένον. ὡς οὖν ἡ τῶν φωτίζειν πεφυκότων παρουσία ποιεῖ τὸ διαφανὲς δυνάμει κατ' ἐνέργειαν διαφανές, οὕτως πάλιν τὸ κατ' ἐνέργειαν διαφανὲς τὸ χρῶμα τῶν ὁρωμένων ὡς δεύτερόν τι φῶς τῇ παρουσίᾳ αὐτῶν λαμβάνει δευτέραν τινὰ ταύτην ἐνέργειαν δεχόμενον· ἔστι γὰρ τὸ χρῶμα τοῦ κατ' ἐνέργειαν διαφανοῦς κινητικόν, ὡς τὸ φῶς τοῦ κατὰ δύναμιν, παντὸς ἀθρόως τοῦ δυναμένου ἀπὸ τῆς τοιᾶσδε τοῦ χρώματος παρουσίας τραπῆναι τρεπομένου τε καὶ χρωματιζομένου τρόπον τινά. ἔστιν δὲ τῶν διαφανῶν καὶ ἡ κόρη, καὶ αὕτη δὴ σὺν τῷ μεταξὺ ἀέρι τῷ πεφωτισμένῳ καὶ αὐτὴ οὐδὲν ἔλαττον ἐκείνου τὸ φῶς δεχομένη, εἴ γε καὶ αὐτὴ διαφανὴς ἔκκειται, τῇ τροπῇ τῇ ὑπὸ τῶν χρωμάτων, ὑφ' ὧν τρεπομένη πως ὁμοιοτρόπως τῷ ἐκτὸς διαφανεῖ, ὁρατική τε καὶ αἰσθητικὴ ψυχὴ γίνεται. τὸ δὲ χρῶμα ἐν μὲν τῷ ἀέρι οὐκ ἐμφαίνεται ὄν, ἐν δὲ τῇ κόρῃ, ὅτι τῶν διαφανῶν τὰ μέν ἐστι διαφανῆ μόνον, τὰ δὲ πρὸς τῷ εἶναι διαφανῆ καὶ ἐμφανῆ ἐστιν, διὰ λειότητα καὶ πυκνότητα στέγειν καὶ ἀθροίζειν τὴν ἔμφασιν δυνάμενα. τὰ μὲν οὖν διαφανῆ μόνον οὐχ οὕτως ἐν αὐτοῖς σώζει τὸ ὁρώμενον, ὥστε καὶ ἐμφαίνεσθαι ἐν αὐτοῖς (τοιαῦτα δέ ἐστιν, ὅσα λεπτὰ τῶν διαφανῶν, ὡς ὁ ἀήρ), ὅσα δὲ πυκνότητός τινος καὶ στερρότητος μετέχει, ταῦτα διαδείκνυσιν ἐν αὐτοῖς καὶ σώζει τὴν ἀπὸ τοῦ ὁρωμένου εἰκόνα καὶ σκιάν. τοιαῦτά ἐστι τῶν διαφανῶν τά τε κάτοπτρα καὶ αἱ ὕελοι καὶ αἱ διαφανεῖς λίθοι καὶ δὴ καὶ τὸ ὕδωρ· στερεώτερον γὰρ καὶ παχύτερον τοῦτο τοῦ ἀέρος καὶ μᾶλλον στέγειν τε καὶ ἀθροίζειν τὰς ἀπὸ τῶν ὁρωμένων εἰκόνας τε καὶ σκιὰς δυνάμενον. ὑδατώδης δὲ οὖσα καὶ ἡ κόρη δέδεικται, καὶ ὁ ἀπὸ τῆσδε διήκων πόρος ἐπὶ τὸ πρῶτον αἰσθητικὸν τοιοῦτος

---

4 τρεπόμενον] ρ in lit. V 6 τις φύσις ἡ τοῦτο δυναμένη] cf. 43,1 ἀλλ' ἔστι τις ἡ ἀπ' ἀμφωτέρων κίνησις γινομένη 11 διαφνὲς m¹, διαφανὲς v. c. V fortasse ⟨τὸ⟩ δυνάμει 13 δευτέραν v. c., δευτέρα m¹ V: δευτέραν a ταύτην V: ταύτης a 14 τοῦ κατὰ m², κατὰ m¹ V: τοῦ κατὰ a τὸ φῶς] suspectum. exspectas τὸ φωτίζειν πεφυκὸς τοῦ κατὰ δύναμιν cf. v. 4 18 δεχομένη a: δεχομένῃ V 20 ὁρατικὴ τε καὶ αἰσθητικὴ ψυχὴ γίνεται] pupillam animam ὁρατικὴν fieri dici nequit, ὅτι μή ἐστιν ἡ ψυχὴ καὶ ἡ ὁρατικὴ δύναμις ἐν τῷ ὀφθαλμῷ (Al. de sens. 76,3). itaque aut scribendum erit ⟨ἧς⟩ τῇ τροπῇ aut prius enuntiatum (καὶ αὕτη—δεχομένη) per absolutum quem dicunt nominativum constructum est (*inter perspicua corpora etiam pupilla est; et quia haec, sicut aer, lumen accipit, siquidem ipsa quoque perspicua est, per mutationem, quae fit coloribus, quibus (pupilla) sicut perspicuum externum mutatur quodammodo, anima* ὁρατικὴ *fit et* αἰσθητική) 24 et 27 αὐτοῖς? 26 ὁ ἀήρ m², ἀήρ m¹ V: ὁ ἀήρ a 28 αἱ scripsi: οἱ Va ὕαλοι a

ὧν τὸ ἀπὸ τοῦ ὁρωμένου εἶδος καὶ χρῶμα διαγγέλλει τῷ αἰσθητικῷ. τοῦτο δὲ κρίνει τῇ προσβολῇ τῇ ἀπὸ τούτων τὸ προσπεσὸν χρῶμα. αὕτη γὰρ φύσις αἰσθήσεως τὸ διὰ τῶν αἰσθητηρίων τὰ | διαγγελλόμενα κρίνειν πάθη. 152v
ἔστι δὲ οὐ τοιαύτη ἡ ἐν τῷ ἀέρι καὶ τῷ διαφανεῖ τῷ κατὰ δύναμιν ὑπό τε τοῦ πυρὸς καὶ τῶν χρωμάτων τροπή, ὁποίαν φαμὲν ἐν τοῖς ἀλλοιουμένοις γίνεσθαι. ἡ μὲν γὰρ ἀλλοίωσις κίνησίς ἐστιν καὶ ἐν χρόνῳ γίνεται καὶ κατὰ μεταβολήν, τὸ δὲ διαφανὲς οὐχ οὕτως τὸ φῶς καὶ τὰ χρώματα δέχεται, ὡς ἠλλοιῶσθαι καὶ ταῦτα, ἀλλ' ἔστιν οὕτως λεγόμενον πάσχειν τὸ διαφανές, ὡς εἰ καὶ τὸν δεξιὸν γενόμενόν τινος πεπονθέναι λέγοι τις μήτε κινηθέντα αὐτὸν μήτε τι πάθος ἀναδεξάμενον ἐν αὐτῷ. τοιαύτη γὰρ καὶ ἡ τοῦ διαφανοῦς τροπὴ κατά τε τὸ φῶς καὶ τὰ χρώματα· τῇ γὰρ τοῦ φωτίζοντος ἢ κεχρωσμένου παρουσίᾳ τοιοῦτον τὸ διαφανὲς γίνεται, ὡς καὶ τῇ τοῦ ἐξ ἀριστερῶν παραστάντος σχέσει ὁ δεξιός· σημεῖον δὲ τοῦ τοῦτον ἔχειν τὸν τρόπον, ὅτι ὡς ὁ δεξιὸς παύεται δεξιὸς ὢν μεταστάντος τοῦ ἀριστεροῦ, οὕτως καὶ τὸ φῶς παύεται μεταστάντος τοῦ φωτίζοντος, ὁμοίως δὲ καὶ τοῦ ὁρᾶσθαι πεφυκότος παύεται τοιοῦτον εἶναι ὡς οὐδὲν πάθος ἀναδεξάμενον κατὰ τὴν ἐν αὐτῷ μεταβολήν, ἀλλὰ γενομένης αὐτῷ τῆς δοκούσης ἀλλοιώσεως κατὰ σχέσιν. καὶ ἔοικεν καὶ τὸ φῶς καὶ τὰ χρώματα ἐν τῷ διαφανεῖ γίνεσθαι ὥσπερ καὶ ἡ σκιὰ τρόπον τινά. ὡς γὰρ ἡ σκιὰ τῇ τοῦ ἐπισκοτεῖν πεφυκότος παρουσίᾳ ἐν τοῖς ἐπισκοτουμένοις γίνεται, οὕτως δὲ καὶ τὸ φῶς καὶ τὰ χρώματα. ἀθρόως γοῦν καὶ ταῦτα τοσοῦτον καὶ οὕτως τοῦ ἀέρος ἐπιλαμβάνει, ὅσον δύναται ἀπὸ τοῦ τοσούτου διαστήματος ἐπιλαβεῖν, ὥσπερ καὶ ἡ σκιά. καὶ δ μέγιστόν ἐστι σημεῖον τοῦ μὴ ἀλλοίωσιν μηδὲ κίνησιν εἶναι διαφανοῦς τὸ γινόμενον· πᾶν γὰρ τὸ κινούμενον ἐν χρόνῳ κινεῖται καὶ πρῶτον ἐπὶ τὰ ἐγγυτέρω πρόεισιν καὶ ἐν ἐλάττονι χρόνῳ, εἶθ' οὕτως ἐπὶ τὰ πορρωτέρω καὶ ἐν πλείονι, τὸ δὲ φῶς καὶ τὰ εἴδη τῶν ὁρωμένων ἀθρόως καὶ ὁμοίως ἐν παντὶ τῷ κατὰ ταῦτα διαφανεῖ γίνεται, ὥσπερ καὶ ἡ σκιὰ καὶ τὸ σκότος. καὶ γὰρ ἅμα ἐξ ἅπαντος τοῦ διαφανοῦς ἄπεισιν τὸ φῶς καὶ ἅμα ἐν παντὶ γίνεται. διὰ τοῦτο δὴ καὶ ἀχρόνως δείκνυσιν ὁ Ἀριστοτέλης γινόμενον τὸ ὁρᾶν. τοῦ γὰρ χρόνου, ἐν ᾧ τις ὁρᾷ, τούτου ἐν ᾧτινιοῦν μορίῳ καὶ τῷ τυχόντι τοῦτο ὁρᾷ. ἃ δὲ μὴ δεῖται χρόνου πρὸς τὸ συμπληρωθῆναί τε καὶ τελειωθῆναι, ταῦτα ἀχρόνως γίνεται. οὐ γὰρ τὸ εἶναι, ἀλλὰ τὸ δεῖσθαι χρονικοῦ διαστήματος πρὸς τὸ τελειωθῆναί τε καὶ γενέσθαι ὅλον ἢ οὕτως οὐδὲ τὸ ἥδεσθαι ἐν χρόνῳ γίνεται. τῶν δὲ διαφανῶν τὰ μέν ἐστιν ἐνεργείᾳ διαφανῆ, τὰ δὲ δυνάμει. ἐνεργείᾳ μὲν ἀεὶ τὸ ἐν τοῖς θείοις καὶ αἰδίοις διαφανές· ἀνεπίδεκτα γὰρ

---

3 κρίνειν V ex. Vict.: κρίνει a πάθει a 5 ἀλλοιουμένοις m², ἠλλοιωμένοις m¹ V: ἀλλοιουμένοις a 10 ἐν αὐτῷ m², ἐν ταὐτῷ m¹ V: ἐν αὐτῷ a 16 τοῦ ὁρᾶσθαι πεφυκότος] sc. μεταστάντος 17 μεταβολήν] cf. οὐδ' αὐτὰ κατὰ τὴν ἐν αὐτοῖς μεταβολὴν ἀλλοιωθέντα 144,18 22 τοσούτου V: τοιούτου a 26 οὕτως] ω in lit. V πορωτέρω V 29 ἄπισιν V 30 δείκνυσιν ὁ Ἀριστοτέλης] cf. Praef. γινόμενον] ν post ο in lit. V 30—31 τοῦ γὰρ—ὁρᾷ] *in quavis particula eius temporis, per quod quis videt, id (quod videt) videt* 32 τε om. a

τὰ ἀΐδια τοῦ δυνάμει. δυνάμει δέ ἐστι διαφανὲς τὸ ἐν τοῖς ἐν γενέσει. τοῦτο γάρ, ὥσπερ οὖν καὶ τὰ ἄλλα τὰ ἐν γενέσει, ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ πρόεισιν, καὶ ἔστιν ὁ ἀὴρ καὶ ὅσα παρ' ἡμῖν διαφανῆ πρὸ τῆς παρουσίας τοῦ φωτίζειν πεφυκότος ὕλη τοῦ κατ' ἐνέργειαν διαφανοῦς τοῦτέστιν τοῦ φωτός, ἡ δὲ τοῦ φωτίζοντος παρουσία διαφανές τε αὐτὸ ποιεῖ καὶ χρώννυσιν τρόπον τινά. τὸ γὰρ φῶς οἷον χρῶμα τοῦ διαφανοῦς ἐστιν. ἔστι δὲ διαφανὲς οὔτε ὁ ἀὴρ καθὸ ἀὴρ οὔτε τὸ ὕδωρ καθὸ ὕδωρ. ἔστι γὰρ πλείω σώματα διαφέροντα κατ' εἶδος ἀλλήλων κοινόν τι τὸ τῆς διαφανείας πάθος ἔχοντα. καὶ γὰρ τὸ ἀΐδιον σῶμα καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ, καὶ αἱ ὕελοι δὲ καὶ λίθοι τινὲς ταύτης κεκοινωνήκασιν τῆς φύσεως. τὸ μὲν οὖν ἀΐδιον σῶμα ἀεὶ κατ' ἐνέργειάν ἐστι διαφανές, ὥσπερ εἴρηται, τὰ δ' ἄλλα ποτὲ μὲν δυνάμει, ποτὲ δὲ ἐντελεχείᾳ, καὶ ἡ μὲν τοιαύτη φύσις δεκτικὴ φωτός. ὅσα δὲ μὴ κεκοινώνηκεν τῆς τοιᾶσδε φύσεως, ἀνεπίδεκτα τούτου. διὰ τοῦτο οὔτε διὰ τοίχου τὸ φῶς οὔτε διά τινος ἄλλου τῶν μὴ διαφανῶν χωρεῖ, ὅτι μόνη ἡ τοῦ διαφανοῦς φύσις πέφυκεν ταυτὶ πάσχειν, τρόπον τινά, καθάπερ εἰρήκαμεν, ὡς οἰκεῖον χρῶμα τὸ φῶς δεχομένη. χρωματίζεται δὲ ταῦτα καὶ φωτίζεται οὐ σώματός τινος χωροῦντος δι' αὐτῶν, ἀλλ' οὐδ' αὐτὰ κατὰ τὴν ἐν αὐτοῖς μεταβολὴν ἀλλοιωθέντα δέχεται τὸ φῶς, παρουσία δὲ πυρὸς ἢ τοιούτου τινὸς ἐν διαφανεῖ ἡ αἰτία γε αὐτοῦ. οὐ γὰρ πυρὸς παρουσία μόνον φωτίζει τὸ διαφανές, ἀλλ' ἔστιν καὶ τὸ αἰθέριον σῶμα τοιοῦτον καὶ ἄλλα τινὰ μόρια ζῴων θαλαττίων τε καὶ χερσαίων καὶ πτηνῶν καὶ λίθων τινῶν γένη, ἃ πάντα, ἢ τοιαῦτά ἐστιν, οὐ ῥᾴδιον ἑνὶ περιλαβεῖν ὀνόματι. διὸ ῥητέον τὸ φῶς πυρὸς ἢ τοιούτου τινὸς παρουσίαν ἐν τῷ διαφανεῖ εἶναι. ἔτι εἰ τὸ σκότος, στέρησις ὂν φωτός, ἀπουσία τούτων ἐστὶν ἢ γίνεταί γε τῇ τούτων ἀπουσίᾳ, εὔλογον καὶ τὸ φῶς τὴν τούτων λέγειν εἶναι παρουσίαν. ἢ γὰρ τοῦτ' ἐστι τὸ φῶς καὶ τὸ σκότος, ἢ αἰτιά γε ταῦτα τούτων. οὐ γὰρ πᾶν ὑπὸ παντὸς πάσχειν τε καὶ διατίθεσθαι φύσιν ἔχει, ἀλλὰ ἄλλα ὑπ' ἄλλων παθητικά, ὥσπερ οὖν καὶ τὸ διαφανὲς ὑπὸ τῶν προειρημένων. εἰ δέ ἐστιν ἐντελέχεια τοῦ διαφανοῦς τὸ φῶς, ἀσώματον ἂν εἴη. κοινότερον δὲ φῶς καὶ τὸ πεφωτισμένον λέγομεν, ὅπερ ἤδη σῶμα. δεδειγμένου δέ, ὅτι οὐκ ἔστι πάθος τὸ φῶς τοῦ διαφανοῦς (ἀλλ' οὐδὲ τὸ χρῶμα πάθος οὐδ' αὐτό, ἀλλὰ σχέσει τινὶ ἡ τούτων ἐν τῷ διαφανεῖ παρουσία), οὐκέτι γίνεται οὐδὲ τὸ θεῖον σῶμα παθητόν, εἰ δι' αὐτοῦ τὰ ἄστρα ὁρᾶται. οὐ γὰρ πάσχει τὸ διαφανὲς ὑπὸ τῶν ὁρατῶν, ὥσπερ οὖν οὐδ' ὑπὸ τοῦ φωτός· οὐδὲ γὰρ ἡμῖν παθεῖν ἐστι τὸ ἐν φωτὶ εἶναι, ἀλλ' ἔοικεν τὸ φωτίζεσθαί τε καὶ τὸ χρώννυσθαι τοῖς διαφανέσιν παραπλησίως γίνεσθαι τῷ θεωρεῖν, ὃ ἅμα τε εὗρεν ὁ ζητῶν καὶ ἐπι-

---

1 διαφανὲς m^2, διανὲς m^1 V 3 πρόισιν V 10 ὕελοι] ὕ in lit. V ταύτῆς sic V 13 τοιᾶσδε V: τοιούτης a 14 διὰ τοῦτο om. a 15 ταυτὸ a πάσχειν] π in lit. V 16 καθάπερ εἰρήκαμεν] cf. v. 6 τρόπον τινά] cf. ὅσα μὲν οἰκεῖον πέρας οὐκ ἔχει, ταῦτα δὲ μηδὲ χρῶμα ἔχειν οἰκεῖον 46,8 18 δέχεται τὸ] ἔχεται τ in lit. V 19 παρουσία a: παρουσίᾳ V ἡ a: ἢ V 20 παρουσία ι v. c. (?) adscripsit 22 πάντα] ν in lit. V 24 τῷ V: τὸ a 31 ὅτι V: ἄρα a 32 sc. τῶν χρωμάτων 36 χρώνυσθαι a 37 εὗρεν V ex. Vict.: εὗρον a

στήμων ἐστίν, οἷον θιγόντος τοῦ νοῦ καὶ διὰ παρουσίαν τοῦ ἐπιστητοῦ ἐπιστήμονος γενομένου. οὕτω καὶ τὸ δυνάμει διαφανὲς διὰ παρουσίαν πυρὸς ἢ τοιούτου τινὸς ἀθρόως φωτίζεται, τὸ δὲ πεφωτισμένον πάλιν καὶ κατ' ἐνέργειαν διαφανὲς ὑπὸ τῆς τῶν χρωμάτων παρουσίας εἰδοποιεῖταί πως τῶν | χρωμάτων ὁμοίως τῷ φωτὶ γινομένων ἐν αὐτῷ. οὕτως δὲ οὐδὲ ἡ σελήνη. 153r εἰ καὶ φωτίζεται ὑπὸ τοῦ ἡλίου, πάσχειν ἂν λέγοιτο. ὡς γὰρ τὸ ἐπισκιαζόμενον οὐ πάσχει, οὕτως οὐδὲ τὸ φωτιζόμενον. τὸ δὲ ἀπελθόντων τῶν ὁρωμένων ἔτι τινὰ δοκεῖν καταλείπεσθαι τῶν χρωμάτων ἐν τοῖς ὀφθαλμοῖς τοῖς ἰδοῦσιν οὐκ ἔστιν σημεῖον ἀλλοιώσεως. τοῦτο γὰρ οὐχ ᾗ διαφανὲς πάσχει, ἀλλ' ᾗ ἔμψυχόν τε καὶ φαντασιοῦσθαι δυνάμενον. διὰ γὰρ τοῦτο δύναται φυλάττειν μέχρι τινὸς τὰς γενομένας κινήσεις ἔτι ἀπὸ τῶν ἔξωθεν ἐν τοῖς αἰσθητηρίοις. καὶ γὰρ καὶ ἐν ὑστέρῳ χρόνῳ πρὸ ὀμμάτων τίθεσθαι τὰ ἔμψυχα δυνατά ἐστιν τὰ γενόμενα αὐτοῖς φαντάσματα. τὰ γοῦν κάτοπτρα καίτοι λεῖα ὄντα καὶ διαυγῆ οὐδὲν ἐν αὑτοῖς φυλάττει τῶν ἐμφαινομένων χρωμάτων ἤτοι τοῦ φωτὸς ἀπελθόντος ἢ τῶν φωτιζόντων ἢ τῶν ὁρατῶν, ὅτι μήτε πάσχει μήτε ἐστὶν ἔμψυχα. ὅτι δὲ ἡ ὄψις καὶ ἡ κόρη, διαφανὴς οὖσα, ὡς ὑπὸ τοῦ φωτὸς διατίθεται, οὕτως δὲ καὶ ὑπὸ τῶν χρωμάτων κινητικῶν ὄντων τοῦ κατ' ἐνέργειαν διαφανοῦς καὶ πεφωτισμένου ἐπ' εὐθείας, καὶ τὸ ὁρᾶν οὕτως γίνεται, ἀλλ' οὐ πρὸς τῷ ὁρωμένῳ ἐκπεμπομένου τινὸς ἀπὸ τῆς ὄψεως, σημεῖον τὸ καὶ ὑπὸ τῶν πάνυ λαμπρῶν δάκνεσθαι τῶν ὁρώντων τοὺς ὀφθαλμούς, ὥσπερ γε καὶ τὰς ἀκοὰς ὑπὸ τῶν μεγάλων ψόφων. τὸ γάρ, διότι [ἐπεὶ] ἀφεστῶτες αἰσθανόμεθα τοῦ ὁρωμένου, ἐκεῖ καὶ τὴν ἀντίληψιν ἡγεῖσθαι γίνεσθαι, κενόν. καὶ γὰρ ἐπὶ τῶν ἄλλων αἰσθήσεων, καίτοι κατὰ πάθος ἀντιλαμβανομένων αὐτῶν τῶν οἰκείων αἰσθητῶν, ὅμως ἀφεστώτων ἡ ἀντίληψις γίνεται. ἀλλὰ καὶ ἐμφαίνεταί τινα χρώματα καὶ ἐν τῷ μεταξὺ διαφανεῖ ὡς αὐτῷ δεχομένῳ τε τὰ εἴδη καὶ διακονουμένῳ. φαίνεται γοῦν ἐπιχρώννυσθαί τινα ταῖς τῶν παρακειμένων χροιαῖς· φοινικοῦν γοῦν τὸ ἐπὶ τούτου τοῦ χρώματος φαίνεται ἢ ἁλουργόν, εἰ εἴη τοιαῦτα παρακείμενα χρώματα ὡς διαπεμπομένων τῶν χρωμάτων διὰ τοῦ ἀέρος, ἀλλ' οὐχὶ ὁρωμένων ἐκεῖ. ἔτι δὲ τῶν χρωμάτων τὰ μὲν ἀμυδρότερα ἧττον, τὰ δὲ λαμπρότερα μᾶλλον καὶ σφοδρότερον κινεῖ τὴν ὄψιν. ἔτι δὲ καὶ παρὰ τὰς διαφόρους αὐγὰς καὶ παρὰ τὸ διάφορον φῶς καὶ παρὰ τὰς θέσεις τὰς πρὸς τοὺς ὁρῶντάς τε καὶ τὸ φῶς ἀλλοῖα τὰ ὁρώμενα φαίνεται. ἀλλὰ καὶ ταὐτὸν χρῶμα ἐγγύθεν τε καὶ πόρρωθεν φαινόμενον διάφορον φαίνεται· οὐ γὰρ ὁμοίως λευκὸν τὸ πόρρωθεν ὁρώ-

---

3 ἀθρόον a 10 ἀλλ ᾗ—δυνάμενον] oculum imaginari dici nequit (cf. 68,5sq.); quare fortasse ἐμψύχου et δυναμένου: *quia (oculus) pars est hominis animati et phantasia praediti.* eadem de causâ δύναται (v. 11) aut impersonaliter (cf. Ind.) aut de homine dictum est, non de oculo 14 λεῖα V ex. Vict.: λία a οὐδὲν scripsi: οὐδὲ Va αὐτοῖς Va 17 τῶν om. a 19 fortasse πρὸς τὰ ὁρώμενα 20 ante ὑπὸ una lit. erasa V 22 ἐπεὶ delendum videtur 24 τῶν om. a 27 ταῖς] α in lit. V 28 ἁλουργόν Va 30 χρωμάτων] χρω in lit. V 31 ἀμυδρότερα] μυ in lit. V λαμπρότερα] μ in lit. V.

μενον. παρὰ δὴ τὰς τοιαύτας διαφορὰς τῶν ὁρωμένων σχημάτων ἡ ὄψις ἀντιλαμβάνεται. τὴν μὲν γὰρ ἔξωθεν περιγραφὴν τῶν ὁρωμένων τῇ διαφορᾷ τῆς χρόας πρὸς τὸ περιέχον κρίνει· διὸ καὶ δυσόρατα ἢ ὁρατὰ καθ' αὑτά, ὅσοις ὁμόχρουν τὸ περιέχον. τὴν δὲ μεταξὺ τῆς ἔξωθεν περιγραφῆς ἐπιφάνειαν ὁμόχρουν μὲν οὖσαν καὶ ἐπίπεδον τοιαύτην καὶ ὁρᾷ, ὁμοίως ὑπὸ τοῦ χρώματος κινουμένου τοῦ αὐτοῦ καὶ ὁμοίως κινουμένου διὰ τοῦ μεταξύ. εἰ δὲ μὴ ἐπίπεδον εἴη τὸ μεταξύ, ἀλλὰ ἀνώμαλον, εἰ καὶ μὴ ἀνομοιόχρουν, τῇ ἀνομοιότητι τῆς τοῦ χρώματος ἀντιλήψεως κρίνει. οὔτε γὰρ τὸ φῶς ὁμοίως ἐπὶ πάντα τὰ μόρια τοῦ ἀνωμάλου πίπτει διὰ τὸ τὰ μὲν αὐτῶν εἶναι κοῖλα, τὰ δὲ κυρτά, καὶ τὰ μὲν ἐκ πλαγίου τοῦ φωτίζοντος, τὰ δὲ καταντικρύ. διὰ γὰρ ταύτας τὰς διαφοράς, κἂν ὁμοιόχρουν ᾖ τὸ ὁρώμενον, τὰ μὲν ἀχλυωδέστερα αὐτοῦ, τὰ δὲ εὐσημότερα φαίνεται, οὕτως δὲ τὰ μὲν εἰσέχοντα, τὰ δὲ ἐξέχοντα ὁραθήσεται. ὃ μιμούμενοι καὶ οἱ ζωγράφοι, ὅταν βούλωνται ἄνισον δεῖξαι ἐν τῷ αὐτῷ ὂν ἐπιπέδῳ, τὰ μὲν φωτίζουσιν, τὰ δὲ ἐπισκιάζουσιν. οὕτω γὰρ τὰ μὲν ἐξέχοντα, τὰ δὲ εἰσέχοντα αὐτῶν φαίνεται, καὶ ἐξέχοντα μὲν τὰ μᾶλλον πεφωτισμένα, εἰσέχοντα δὲ τὰ ἐπεσκιασμένα. μέγεθος δὲ ὁρᾷ καὶ κρίνει τῇ τοῦ κώνου γωνίᾳ τῇ πρὸς τῇ ὄψει συνισταμένῃ. κατὰ κῶνον γὰρ ὁρᾷ τὰ ὁρώμενα κορυφὴν μὲν τὴν κόρην ἔχοντα, βάσιν δὲ τὴν ὁρίζουσαν γραμμὴν τό τε ὁρώμενον τοῦ αἰσθητοῦ σώματος καὶ μή. γίνεται δὲ ὁ κῶνος οὗτος οὐ κατὰ ἀκτίνων ἔκχυσιν, ἀλλ' ἀπὸ τοῦ ὁρωμένου. τῆς γὰρ χρόας κινητικῆς οὔσης τοῦ κατ' ἐνέργειαν διαφανοῦς καὶ τῆς ἐν τούτῳ γινομένης ὥσπερ χρώσεως ἐπ' εὐθείας γινομένης παραπλησίως τῷ φωτὶ παντί τε τῷ καταντικρὺ προσκαθημένης, μάλιστα δὲ τοῖς λείοις καὶ λαμπροῖς προσιζούσης τε καὶ προσλαμπούσης (τοιαύτη δὲ καὶ ἡ κόρη), συνίστανταί τινες πρὸς ταύτῃ κῶνοι ἀπὸ τοῦ ὁρωμένου, οἷοι τὴν ἔμφασιν δέχεσθαι τὴν ἀπ' αὐτοῦ. κατὰ γὰρ κῶνον ἑκάστου τῶν ἐπ' εὐθείας ὁρωμένων τὸ εἶδος τοῦ ὁρατοῦ ἐμφαίνεται. ὧν κώνων ταῖς γωνίαις τὰ μείζω καὶ τὰ ἐλάττω καὶ τὰ ἴσα κρίνει· τὰ μὲν γὰρ ἴσαις ὁρώμενα γωνίαις ἴσα, τὰ δὲ μείζοσιν μείζω ὁρᾷ. ἀποστήματος δὲ τοῦ ἀφ' αὑτῆς πρὸς τὸ ὁρώμενον καὶ διαστήματος τοῦ μεταξὺ τῶν ὁρωμένων ἀντιλαμβάνεται ἡ ὄψις τοῦ μὲν διαστήματος τῇ τοῦ κώνου γωνίᾳ, ὃς ἀπὸ τοῦ μεταξὺ τῶν ὁρωμένων καὶ αὐτοῦ συνίσταται πρὸς τῇ κόρῃ (τῷ ταύτης δὴ μεγέθει τῆς γωνίας κρίνει τὸ διάστημα τῶν ὁρωμένων· τότε γὰρ ἀφεστῶτα ἀλλήλων τινὰ φαίνεται, ὅταν ἐν τῷ μεταξὺ αὐτῶν ὁρατόν τι ᾖ). τοῦ δὲ ἀφ' αὑτῆς ἀποστήματος αἰσθάνεται διὰ συνη-

3 fortasse ἢ ⟨μὴ⟩ ὁρατὰ 5 ὁμόχρω– sic in medio versu V: ὁμόχρω a 6 fortasse ὑπὸ τοῦ χρώματος κινουμένη (scil. ἡ ὄψις) διὰ τοῦ μεταξύ] intellegas de aere intermedio. hoc enim dicit: *risus animadvertit superficiem unicolorem talem, qualis est, quia aequabiliter per colorem movetur* (ὁμοίως ὑπὸ τοῦ χρώματος κινουμένη), *quippe qui et (in quavis superficiei particula) idem sit* (ὑπὸ τοῦ χρώματος τοῦ αὐτοῦ) *et aequabiliter moveatur per spatium intermedium* (καὶ ὁμοίως κινουμένου διὰ τοῦ μεταξύ) 12 ἀχλυωδέστερα scripsi: ἀλλοιωδέστερα Va 13 ὃ μιμούμενοι κτλ.] cf. p. 50,26 14 βούλονται a fortasse ⟨τι⟩ ἄνισον 16 αὐτῶν om. a 17 τε καὶ a 18 γωνίᾳ a 26 δέχεται a 35 τι in lit. V

θείας τινός. ἐπεὶ γὰρ τῶν ὁρωμένων ῥέμα μὲν ἡμᾶς τὰ πόρρωθεν κινεῖ, σφοδρῶς δὲ τὰ ἐγγύς, διὰ τῆς περὶ τὰ τοιαῦτα συνηθείας τὰ μὲν ἀχλυωδέστερα φαινόμενα πόρρω ἡγεῖται εἶναι, τὰ δὲ εὐσημότερα καὶ ἐναργέστερα ἐγγύς. τὸ δὲ αὐτὸ γίνεται καὶ περὶ τὴν φωνήν τε καὶ τὴν ἀκοήν· διὸ καὶ οἱ μιμούμενοι τοὺς πόρρω ὄντας ἀδρανῆ τὴν φωνὴν προίενται. κινήσεως δὲ αἰσθάνεται τῷ διαστήματός τε καὶ ἀποστήματος αἰσθάνεσθαι. ὅταν γὰρ ἤτοι πρός τι ὡρισμένον ᾖ μὴ τὴν αὐτὴν ἔχον διάστασιν φαίνηταί τι ἢ πρὸς αὐτὴν τὴν ὄψιν μὴ τὴν αὐτὴν ἀπόστασιν, ἤτοι μὴ | κινουμένου τοῦ 153v ὁρῶντος ἢ λανθάνοντος αὐτὸν· ὅτι κινεῖται, τότε ὡς κινούμενον ὁρᾷ τὸ ὁρώμενον. ὅλως γὰρ τοῦ κινουμένου αἰσθάνεται τῷ πρός τι μένον καὶ ὡρισμένον αὐτὸ συγκρίνειν. διὸ καὶ τῶν μὲν ἐν ἀχανεῖ κινουμένων ἥκιστα ὡς κινουμένων ἀντιλαμβάνεται, τῶν δὲ ἐν στενωποῖς καὶ παρά τινα κινουμένων μάλιστα. θᾶττον γὰρ αὕτη παραλλάττειν δοκεῖ. στάσεως δὲ καὶ ἀριθμοῦ αἰσθάνεται, τῆς μὲν στάσεως τῇ τῆς κινήσεως ἀποφάσει, τοῦ δὲ ἀριθμοῦ τῇ τοῦ συνεχοῦς στερήσει. τὰ γὰρ διοριζόμενα διαστήματι σωμάτων ἄλλων τῷ εἴδει πλείω λέγει. οὕτως δὲ τοῦ ὁρᾶν γινομένου, οὐ κατὰ πάθος καὶ ἀλλοίωσιν τοῦ μεταξύ, ἀλλὰ κατὰ σχέσιν, λύεται καὶ ἡ ἀπορία, ἣν ἀποροῦσίν τινες, πῶς οἷόν τε τοὺς τὰ διαφέροντα ἢ καὶ ἐναντία ὁρῶντας ἀλλήλοις διαγώνια κείμενα ὁρᾶν. ὁ γὰρ μεταξὺ ἀὴρ καθὸ συμβάλλει ἀλλήλοις τὰ χρώματα, τοῦτο δέ ἐστι καθὸ τέμνουσιν ἄλληλα, αὐτῶν τὰ διαγώνια ὁρώντων, ἅμα δόξει τὰ ἐναντία χρώματα ἀναδέχεσθαι. τοῦτο δὴ λύεται τῷ μὴ χρώννυσθαι τὸν ἀέρα, ἀλλὰ κατὰ σχέσιν τὴν τοῦ ὁρωμένου πρὸς αὐτὸν ἐμφαίνεσθαι ἐπ' εὐθείας τοῦ ὁρωμένου τὸ χρῶμα. οὐδὲν γὰρ κωλύει τὸ αὐτὸ πρὸς ἄλλο καὶ ἄλλο μὴ τὴν αὐτὴν σχέσιν φυλάττειν, ὥσπερ οὖν καὶ τὸ αὐτὸ οὐδὲν κωλύει τοῦ μὲν ἥμισυ εἶναι, τοῦ δὲ διπλάσιον.

Ὅτι τὸ χρῶμα πέρας τοῦ διαφανοῦς.

Ἡ διαφάνεια κοινή τις φύσις καὶ κοινὸν πάθος ἁπάντων ἐστὶ τῶν σωμάτων, ἀλλὰ τὰ μὲν μᾶλλον αὐτῆς μετέχει, τὰ δὲ ἧττον, πῦρ μὲν καὶ ἀὴρ καὶ ὕδωρ μᾶλλον, ἧττον δὲ γῆ, πλὴν ἐν πᾶσίν γέ ἐστι τοῖς σώμασιν. ἔστι γὰρ ἡ διαφάνεια ὕλη πως χρώματος. ὡς γάρ ἐστι μεγάλου καὶ μικροῦ ὕλη τις, καὶ κούφου καὶ βαρέος καὶ τῶν ἄλλων ἐναντιοτήτων ὁμοίως, ὃ δεκτικὸν αὐτῶν ἐστι παρὰ μέρος, οὕτως καὶ τῆς ἐν χρώμασιν ἐναντιότητος

---

1 ἐπεὶ Va: ἐπὶ ex. Vict. ῥέμα ut solet V 2 περὶ ταῦτα a ἀχλυωδέστερα V: ἀχαιωδέστερα a 7 ᾖ] expectamus ὡρισμένον ῥεμοῦν vel ὡρισμένον καὶ μένον, ut v. 10. hoc enim dicit: *si quid aut a certa stabilique re aut ab ipso visu (sive manet sive manere videtur) idem intervallum videtur non tenere, id moveri putamus* φαίνεται a 8 μὴ τὴν ἀπόστασιν τὴν αὐτὴν a 9 αὐτὸν a 11 αὐτῷ a 13 αὕτη] fortasse ταῦτα nisi ἀντιπαραλλάττειν (Usenerus) latet παραλάττειν V 16 λέγει] scil. ἡ ὄψις 17 ἀπορία] cf. 62,9, de sens. 63,11 20 τέμνουσιν] fortasse τέμνει, nisi pauca exciderunt: τέμνουσιν ἀλλήλους (οἱ κῶνοι οἱ ἀπὸ) τῶν τὰ διαγώνια ὁρώντων cf. Al. de sens. 64,3 21 τὰ in lit. V 23 αὐτὸν] ante ν una lit. erasa V 26 ὅτι τὸ χρῶμα πέρας τοῦ διαφανοῦς] cf. Al. de sens. 91,8 sq. 32 δεκτικὸν αὐτῶν] ὂν αὐ in lit. V τοῖς ἐν Ka

ὕλη τὸ διαφανές. εἴπερ οὖν πᾶν σῶμα χρώματός ἐστι δεκτικόν, πᾶν καὶ διαφανές ἐστιν. ἔστι γὰρ τὸ τοῖς χρώμασιν ὑποκείμενον τοῦτο, καὶ ἔστιν ἐν τῷ πέρατι τοῦ ὡρισμένου διαφανοῦς κατάδηλος ἡ τῶν χρωμάτων φύσις. τῶν γὰρ ἀδιόπτων σωμάτων, ἅπερ ἐστὶν ὡρισμένα καὶ στερεά, μόνον τὸ πέρας φανερόν ἐστι, ὅπερ ἐστὶ τὸ χρῶμα. τῶν δὲ διαφανῶν ἐναργέστατόν ἐστι τοῦτο, κρινόμενον τῇ πρὸς τὸ περιέχον ἑτερότητι καὶ ἀνομοιότητι. διαφανῆ δὲ καλεῖται μόνα τῶν σωμάτων τὰ δίοπτα, ἐπεὶ ὄψει ληπτὸν αὐτῶν ἐστι τὸ χρῶμα. δι' οὗ δὲ τοῦτο φαίνεσθαι πέφυκεν δέξασθαι δυναμένου τὸ εἶδος αὐτοῦ, τοῦτο διαφανὲς ἰδίως καλεῖται καὶ ἔστι. τί ποτ' οὖν, εἰ ἐν ἅπασιν τοῖς σώμασίν ἐστιν ἡ διαφάνεια, οὐ πάντα ἐστὶ διαφανῆ: ἢ διαφέρει τὰ σώματα τῷ μᾶλλόν τε καὶ ἧττον ἔχειν τήνδε τὴν φύσιν. τὸ δὲ μᾶλλόν τε καὶ ἧττον μίξει τοῦ ἀντικειμένου γίνεται. ἐναντίον δὲ τὸ ἐλάχιστον διαφανές. τοῦτο δέ ἐστιν ἡ γῆ. τὸ γὰρ ἐναντίον τῷ μάλιστα διαφανεῖ γῇ. δῆλον δὲ τοῦτο ἐντεῦθεν· φαμὲν γὰρ τὸ δυνάμει διαφανὲς λεγόμενον ἐνεργείᾳ γίνεσθαι τοιοῦτον διὰ πυρὸς ἢ τινος τοιούτου παρουσίαν. κατὰ λόγον οὖν λήψομεν ἐγγὺς τοῦ πυρὸς τήν τε φύσιν καὶ τὴν θέσιν, ὃ μάλιστα καὶ τάχιστα ἀναπίμπλαται φωτός (καὶ τοῦτ' ἔστιν τὸ μάλιστα διαφανές), τὸ δὲ πορρωτάτω ἥκιστα, τῶν δὲ ἄλλων ἄλλο ἄλλου μᾶλλον, ὡς ἂν ἔχωσιν ἀποστάσεως πρὸς τὸ πῦρ καὶ πᾶν τὸ φωτίζειν πεφυκός. ἐγγυτάτω μὲν οὖν ἐστιν τοῦ πυρός τε καὶ τοῦ φωτίζειν πεφυκότος σῶμα τῶν ἐν γενέσει τὸ ὑπὸ σελήνην, ὃ καὶ ὑπέκκαυμα καλοῦμεν, μετὰ δὲ τοῦτο ἀήρ, καὶ τρίτον τὸ ὕδωρ, πορρωτάτω δὲ ἡ γῆ. διὸ κἀκεῖνα μὲν τοῦ μάλιστα ὁρατοῦ, λέγω δὲ τοῦ φωτός ἐστι δεκτικὰ μάλιστα, ὄντα διαφανῆ, ἡ δὲ γῆ οὐχ ὁμοίως. ἐναντία γὰρ αὕτη τῷ τε φωτίζειν καὶ τῷ μάλιστα φωτίζεσθαι δυναμένῳ, ὅπερ φαμὲν ὕλην· ὥσπερ γὰρ πᾶσιν τοῖς ἐν ἄλλῳ πεφυκόσιν γίνεσθαί ἐστί τι ὑποκείμενον, ἐπιτηδειότητα ἔχον πρὸς τὸ κατ' αὐτὸ εἰδοποιεῖσθαι, ὃ καὶ ὕλη ἐστὶν αὐτῶν (καὶ γὰρ βαρεῖ καὶ κούφῳ καὶ μεγάλῳ καὶ μικρῷ καὶ θερμῷ καὶ ψυχρῷ καὶ τοῖς ἄλλοις τοῖς ἀνάλογον τούτοις ἔχουσιν ὑπόκειται), οὕτως δὲ καὶ τοῖς χρώμασιν καὶ τῇ ἐν τούτοις ἐναντιώσεώς ἐστί τις ὕλη καὶ ἔστιν αὕτη τὸ διαφανὲς σῶμα. τὸ γὰρ τοιοῦτο πᾶν κατὰ τὴν δύναμιν ταύτην, καθ' ἣν διαφανές ἐστι, δεκτικόν ἐστι χρωμάτων. εἴη δ' ἂν ἡ δύναμις αὕτη διαφάνεια. ἔστι δὲ ἡ

---

1 χρώματί Ka 7 δίοπτρα Ka ὄψει V: ὄψι a ἐπεὶ ὄψει ληπτὸν αὐτῶν ἐστι τὸ χρῶμα] haec non pertinere ad praecedentia (τὰ δίοπτα), et res ipsa et verba docent quae sequuntur δι οὗ δὲ τοῦτο φαίνεσθαι πέφυκεν et q. s. agitur enim de differentia quae interest inter φαίνεσθαι et διαφαίνεσθαι, de qua cf. Al. de sens. 95,1 ἰδίως δὲ διαφανῆ, ὡς εἴθισται λέγεσθαι, τῶν σωμάτων μόνα τὰ δίοπτα, ἀπὸ τοῦ φαινόμενον μὲν ἰδίως λέγεσθαι τὸ τῇ ὄψει ἀντιληπτὸν παρὰ τὸ φῶς. ὧν δὴ τοῦτο χρῶμα, ταῦτα ἰδίως διαφανῆ. τὰ γὰρ δεχόμενα τὸ φάος ἤτοι φῶς, δι' οὗ πάντα τὰ ὁρώμενα ὁρᾶται, ταῦτα λέγεται συνήθως διαφανῆ. quare fortasse legendum est τὰ δίοπτα· ⟨φαινόμενα γὰρ καὶ τὰ ἄλλα σώματα παρὰ τὰ δίοπτα⟩, ἐπεὶ ὄψει ληπτὸν κτλ. 12 γίνεται V: λέγεται Ka 14 διαφανεῖ] φ in lit. V 16 λήψομεν v. c., λείψομεν m¹ V: λείψομεν Ka 20 οὖν om. Ka τε καὶ V: τὰς Ka 21 ὑπέκκαυμα] cf. 149,14 τὸ δυνάμει πῦρ, τοῦτο δέ ἐστι τὸ ὑπέκκαυμα et Arist. met. 1,4. 371ᵇ17 sq. 22 καὶ om. Ka πορρωτάτω corr. ex. ποαρωτάτω V κἀκεῖνα (sic) V

δύναμις αὕτη ἐν ἅπασιν μὲν τοῖς σώμασιν, ἀλλὰ τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον. ἐφ' ὅσον δὲ ἕκαστον αὐτῶν μετέχει, ἐπὶ τοσοῦτον καὶ τοῦ χρώματός ἐστι δεκτικόν. ἔστιν δ' ἐναντία αὐτοῖς οὐ κατὰ τὰς ἁπτὰς δυνάμεις. τὸ γὰρ ὕδωρ μᾶλλον οὕτω γε καὶ κατὰ ταύτας ἐναντίον τῷ πυρί. τὸ μὲν γὰρ θερμόν τε καὶ ξηρόν, τὸ δὲ ὕδωρ ψυχρόν τε καὶ ὑγρόν. ἀλλ' οὐ κατὰ τοῦτο τὸ φωτίζειν τῷ πυρί. καὶ γὰρ ἄλλα μὴ τοιαύτης ὄντα φύσεως φωτίζει. ἀλλ' ὡς ἐναντία ἡ γῆ τῷ πυρὶ καὶ κατὰ τὴν ῥοπὴν καὶ κατὰ τὸν οἰκεῖόν τε καὶ κατὰ φύσιν τόπον καὶ κατὰ τὸ μανὸν καὶ πυκνόν, τουτέστιν λεπτὸν καὶ παχύ, οὕτω καὶ κατὰ τὴν τοῦ φωτὸς δύναμιν καὶ διαφάνειάν τε καὶ φῶς ἐναντία ἡ γῆ τῷ πυρί. καὶ γὰρ δὴ ὁ μὲν ἀὴρ οἰκεῖος τῷ πυρί (διὸ καὶ ταχὺ ἐκπίμπραται), τὸ δὲ ὕδωρ καὶ τροφὴ δοκεῖ τῷ πυρὶ εἶναι. καὶ γὰρ ἐν τοῖς καιομένοις ξύλοις ἡ ὑγρότης ἐστὶν ἡ καιομένη ἐν αὐτοῖς. ὁ γὰρ καπνὸς τοιοῦτον. ἡ δὲ γῆ πορρωτάτω ἀφέστηκεν αὐτοῦ. διὰ τοῦτο δὴ μάλιστα μέν ἐστι δεκτικὸν φωτὸς τὸ δυνάμει πῦρ. τοῦτο δέ | ἐστι τὸ ὑπέκκαυμα, δευτέρως δὲ ἀὴρ καὶ τρίτον τὸ ὕδωρ. ἡ 154r δὲ γῆ πλεῖστον ἀφεστῶσα τοῦ πυρὸς καὶ τῆς δεκτικῆς φύσεως τοῦ φωτὸς ἐλάχιστα μετέχει. αὕτη δέ ἐστιν ἡ διαφάνεια. τὸ γὰρ ἕτερον τῶν ἐναντίων στέρησις. ἐναντίον δὲ τὸ πλεῖστον ἀφεστός. πλεῖστον δὲ ἀφέστηκεν, μεθ' ὃ εἰς ἄλλο μετάβασις οὐκ ἔστιν· τοιοῦτον δὲ ἡ γῆ. ἔσχατόν τε γὰρ τῶν ὑφισταμένων καὶ τελευταῖον τῆς ἐπὶ τάδε μεταβάσεως. εἰκότως οὖν τὴν τῆς στερήσεως τοῦ φωτὸς χώραν ἔχει οὔτε αὐτὴ δεχομένη τὸ φῶς ἐν αὑτῇ, ὅτῳ τ' ἂν ἄλλῳ μιχθῇ ἀντιφράττουσα καὶ κωλύουσα αὐτὸ δι' ὅλου φωτίζεσθαι. δηλοῖ δὲ ὁ ἀὴρ ὁ ἀνάπλεως καπνοῦ· ἧττον γὰρ δέχεται τὸ φῶς διὰ τὴν μῖξιν τοῦ γεώδους· τοιοῦτος δὲ ὁ κονιορτός. διὰ τὴν αὐτὴν δὲ αἰτίαν οὐδὲ ἡ φλὸξ διόπτός ἐστιν, διότι γεώδες αὐτῇ μέμικται, εἰ ἡ φλόξ ἐστι καιόμενος καπνός. ἡ δὲ ὕαλος καὶ τὰ διαφανῆ, οἷς τοὺς οἴκους φράττουσιν, ὕδατός ἐστιν, ὡς δῆλον ἐκ τῆς γενέσεως αὐτῶν. διὸ καὶ διαφανῆ. καὶ κέρας δὲ καὶ τὸ χελώνιον τὸ πλεῖον ὕδατος ἔχει. διό πως ἐργασθέντα γίνεται διαφανῆ· ὅτι γὰρ ὕδατος, δῆλον τῷ μαλακτὰ εἶναι. ὅτι δὲ τὰ γῆς πλεῖον ἔχοντα τῶν διαφανῶν ἧττόν ἐστι διαφανῆ δηλοῖ καὶ τὸ γλεῦκος. γεωδέστερον γὰρ τοῦ καθεστῶτος οἴνου. ὥστε ἡ μὲν γῆ διὰ ταῦτα οὔτε αὐτὴ διαφανὴς οὔτε τὰ ἐν οἷς μέμικται. τὰ μὲν οὖν δίοπτα καὶ διαφανῆ τὸ μάλιστα ὁρατὸν ἔχει τε καὶ δέχεται χρῶμα, τοῦτο δέ ἐστι τὸ φῶς καὶ πρὸς τούτῳ καὶ τοῖς ἄλλοις χρώμασιν τοῦ ὁρᾶσθαι παρέχει τὴν αἰτίαν. τὸ γὰρ ὁρᾶν τοῦ κατ' ἐνέργειαν διαφανοῦς. τούτου γὰρ κινητικὰ τὰ χρώματα. τὰ δὲ στερεὰ καὶ διωρισμένα τῶν σωμάτων καὶ γήϊνα

---

7 ῥοπὴν] ante π una lit. eras. V 10 ἐναντία—πυρί suspectum 10—14 καὶ γὰρ δὴ—ἀφέστηκεν αὐτοῦ] cf. Al. de sens. 96,12—97,3 15 ὑπέκκαυμα VK: ὑπέκκαυμένα a 18 ἀφεστώς Ka 20—29 εἰκότως—μαλακτὰ εἶναι] cf. Al. de sens. 97,3—12 22 αὐτῇ Ka 23 ἀὴρ ἀνάπλεως Ka 24 γεώδους Ka: γαιώδους V, ut semper 26—27 οἷς—διαφανῆ om. K 29 δῆλον scripsi: δηλοῖ VKa cf. Al. de sens. 97,10 κέρας δὲ καὶ τὸ χελώνιον διαφανῆ ἐργασθέντα πως γίνεται, ὅτι τὸ πλεῖστον ὕδατος ἐν αὐτοῖς· δῆλον δὲ τῷ μαλακτὰ εἶναι 31 διὰ in lit. V 32 δίοπτρα Ka

ἢ γῆς ἔχοντα πλεῖον οὐκέτι μέν ἐστι δίοπτα. οὐδὲ γὰρ οὕτω διαφανῆ. οὐδὲ τὸ φῶς ἔτι ὡς χρῶμα οἰκεῖον ταῦτα δέχεται. οἰκεῖον δὲ ἕκαστον αὐτῶν ἔχει χρῶμα καὶ κατὰ τοῦτό ἐστιν ὁρατόν, καθόσον καὶ τῆς διαφανείας μετέχει τῆς ὑποκειμένης τοῖς χρώμασιν. κατὰ μὲν γὰρ τὴν τῆς γεώδους φύσεως μῖξιν ἐστέρηται τοῦ δίοπτα εἶναι. πρώτη γὰρ τῶν σωμάτων πέπονθεν τοῦτο. καθ' ὅσον δὲ μετέχει τῆς διαφανείας, κατὰ τοσοῦτον καὶ οὕτω κέχρωσται. τὰ μὲν γὰρ μᾶλλον διαφανῆ φωτοειδὲς ἔχει τὸ χρῶμα, τὰ δὲ ἐγγὺς τούτοις λευκόν, καὶ δεῖ τὰ μᾶλλον ὁρατὸν ἔχοντα χρῶμα μᾶλλον ἔχειν καὶ διαφάνειαν. ἔστιν δὲ μᾶλλον μὲν ὁρατὰ τὰ φωτοειδῆ καὶ λευκά, δευτέρως δὲ τὰ τούτοις ἀκολούθως παρακείμενα, ἥκιστα δὲ τὰ μέλανα. αἰσθητὰ μὲν γάρ ἐστι καὶ ταῦτα, οὐ μὴν ὁρατὰ προηγουμένως· [ὧν κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον μετέχειν διάφορα καὶ τὰ χρώματα τοῖς σώμασιν] οἰκεῖον δὲ τοῦτο τῇ γῇ. ἐπεὶ δὲ πᾶν διαφανὲς ὁρατόν ἐστιν, πᾶν δὲ ὁρατὸν ὁρᾶται κατὰ τὸ πέρας, πᾶν διαφανὲς ὁρατόν ἐστι κατὰ τὸ πέρας. ἀλλὰ μὴν χρῶμά ἐστιν, καθὸ ὁρατόν ἐστιν, χρῶμα ἄρα ἐστὶ καθὸ τὸ διαφανὲς ὁρατόν ἐστιν, ὁρατὸν δέ ἐστιν, ὡς ἔφαμεν, κατὰ τὸ πέρας τὸ ἴδιον. τὸ ἄρα χρῶμά ἐστιν τοῦ διαφανοῦς πέρας. μόνον γὰρ ὁρατὸν κατ' ἐνέργειαν τοῦτο.

Τῶν παρὰ Ἀριστοτέλους περὶ τοῦ πρώτου οἰκείου.

Ἐπειδή ἐστί τι ὀρεκτὸν καὶ ὀρεκτικόν, ἔστι δὲ καὶ ἔσχατόν τι ὀρεκτόν, ὡς ἡ εὐδαιμονία, τὸ δὲ ἔσχατον πρώτου τινός ἐστιν ἔσχατον, εἴη ἄν τι καὶ πρῶτον ὀρεκτόν. καὶ γὰρ ἐν ᾧ ἔσχατόν τί ἐστιν ὄντι συνεχεῖ, ἀνάγκη ἐν τούτῳ εἶναι καὶ τὴν ἀρχήν, ἀφ' ἧς ἡ πρόοδος διὰ τῶν μεταξὺ ἐπὶ τὸ τέλος καὶ τὸ ἔσχατον γίνεται, ὥστε, εἰ ἔστιν ἔσχατόν τι ὀρεκτόν, ἐστίν τις τούτου ἀρχή, ὃ καὶ πρῶτον οἰκεῖον καλοῦσιν. τοῦτο δὴ τὸ πρῶτον οἰκεῖον ἐζήτηται, τί ποτέ ἐστι, παρὰ τοῖς φιλοσόφοις, καὶ οὐ ταὐτὸ πᾶσιν ἔδοξεν, ἀλλὰ σχεδὸν κατὰ τὴν τοῦ ἐσχάτου ὀρεκτοῦ διαφορὰν καὶ ἡ περὶ τοῦ πρώτου τοῖς περὶ αὐτοῦ λέγουσιν γίνεται. οἱ μὲν οὖν Στωϊκοὶ οὐ πάντες δέ, λέγουσιν πρῶτον οἰκεῖον εἶναι τὸ ζῷον αὑτῷ (ἕκαστον γὰρ ζῷον εὐθὺς γενόμενον πρός τε αὑτὸ οἰκειοῦσθαι, καὶ δὴ καὶ τὸν ἄνθρωπον· οἱ δὲ χαριέστερον δοκοῦντες λέγειν αὐτῶν καὶ μᾶλλον διαρθροῦν περὶ τοῦδέ φασιν πρὸς τὴν σύστασιν καὶ τήρησιν ᾠκειῶσθαι εὐθὺς γενομένους ἡμᾶς τὴν ἡμῶν αὐτῶν), τοῖς δὲ περὶ Ἐπίκουρον ἡδονὴ τὸ πρῶτον οἰκεῖον ἔδοξεν εἶναι ἁπλῶς, προϊόντων δὲ διαρθροῦσθαι ταύτην τὴν ἡδονήν φασιν, τοῖς δὲ ἀοχλησία, ὥσπερ τοῖς Μεγαρικοῖς, τοῖς δὲ Ἀκαδημαϊκοῖς ἡ ἀπροσπτωσία.

---

1 διαφανῆ] α ante ν in lit. V 6 πέπονθεν] cf. καὶ μᾶλλόν γε τὸ εἶδος τοῦτο τῆς ὕλης πέπονθεν 4,21 9 μᾶλλον] μᾶλ in lit. V ἔχει sic V 12—13 ὧν κατὰ—σώμασιν] insiticium videtur 13 δὴ τοῦτο Ka 19 οἰκείους Ka 20 ἐπεὶ δέ ἐστι a ἔστι δὲ om. a 21 πρώτως a 24 γίνεται] αι in lit. V εἰ om. a 27 ἐσχάτοῦ V 29 αὐτῷ a 30 γινόμενον a αὐτὸ scripsi: αὐτὸ V: αὐτὸν a 31 διαρθροῦντες a 32 ᾠκειῶσθαι Va 33 ὑμῶν a 34 φασιν in lit. V

πρὸς ταύτην γάρ φασιν ἡμᾶς οἰκείως ἔχειν πρώτην, ὥστε μηδὲν προσπταίειν. καὶ καθόλου ἀκολούθους τοῖς τελικοῖς ὀρεκτοῖς καὶ τὰς ἀρχὰς ἕκαστοι, ὡς ἔφαμεν, ὑποτίθενται. κατὰ δὲ Ἀριστοτέλη οἱ μέν φασιν εἶναι πρῶτον οἰκεῖον ἡμῖν ἡμᾶς αὐτούς. εἰ γὰρ τὸ φιλητὸν ὀρεκτόν ἐστι (φιλοῦμεν δὲ 45
5 οὐδένας πρὸ ἡμῶν αὐτῶν, οὐδὲ ᾠκειώμεθα πρός τι ἄλλο οὕτως· καὶ γὰρ τῶν ἄλλων ἀντιποιούμεθα καὶ φιλοῦμέν τινα κατὰ τὴν ἐφ' ἡμᾶς ἀναφοράν), εἴη ἂν τὸ πρῶτον οἰκεῖον ἕκαστος αὑτῷ κατὰ τοῦτο. ταύτης τῆς δόξης οἱ περὶ Ξέναρχόν εἰσι καὶ Βοηθόν, τὴν ἀφορμὴν λαβόντες ἀπὸ τῶν περὶ φιλίας εἰρημένων ἐν τῷ ὀγδόῳ τῶν Νικομαχείων, οὗ ἡ ἀρχὴ τῆς λέ-
10 ξεως· 'τάχα δ' ἂν γένοιτο περὶ αὐτῶν φανερόν, γνωρισθέντος τοῦ φιλητοῦ' ἕως· 'διοίσει δ' οὐδέν· ἔσται γὰρ τὸ φιλητὸν φαινόμενον'· καὶ ἐν τῷ ἐνάτῳ 50 δὲ ὁμοίως λέγει· 'τοῖς λόγοις δὲ τούτοις τὰ ἔργα διαφανεῖ' ἕως· 'φιλητέον δὴ μάλιστα ἑαυτόν'. ἀδιάρθρωτος δὲ ἡ δόξα. ἡμᾶς γὰρ φιλοῦμεν ἤτοι ὡς ὀρεκτὰ ὄντας καὶ ὥσπερ πρᾶγμά τι ἄλλο ἄλλου κεχωρισμένον ἡμῶν, οὐ
15 ὀρεγόμεθα (οὐδὲν γὰρ αὐτοῦ ὀρέγεται | οὐδὲ τοῦ παρόντος αὐτῷ καθὸ 151v πάρεστιν), ἢ τοῦ εἶναι αὐτοὺς ἡμᾶς ὀρεγόμεθα ἁπλῶς, ἐπεὶ μὴ ἐκείνως οἷόν τε. οὐ γὰρ ἡμεῖς γε ἡμῶν αὐτῶν ἄλλοι. καὶ μοχθηρῶς ἄρα καὶ λυπηρῶς. καὶ γὰρ ἐν τούτοις ὄντες ὅμως ἐσμέν. εἰσὶν δὲ οἱ λέγοντες ἡδονὴν εἶναι κατὰ Ἀριστοτέλη τὸ πρῶτον οἰκεῖον, κινούμενοι καὶ αὐτοὶ ἐξ
20 ὧν ἐν Ἠθικοῖς Νικομαχείοις λέγει. τρία γάρ φησιν εἶναι τὰ ὀρεκτά, τὸ καλόν, τὸ συμφέρον, τὸ ἡδύ. ὀρεκτὸν δέ τι καὶ πρὸς ὃ οἰκειώμεθα. ἀλλὰ 5 τοῦ μὲν καλοῦ καὶ τοῦ συμφέροντος ἀντιλαμβανόμεθα προϊόντες τῇ ἡλικίᾳ, τοῦ δὲ ἡδέος εὐθύς. εἰ οὖν μόνα μὲν ταῦτα ὀρεκτά τε καὶ οἰκεῖα, πρῶτον δὲ τούτων τὸ ἡδύ, καὶ πρῶτον ἂν ἡμῖν οἰκεῖον εἴη τοῦτο. ἔτι εἰ
25 ὄρεξις μὲν πᾶσα ἀγαθοῦ ἢ φαινομένου ἀγαθοῦ, ἀλλὰ τὸ μὲν ὡς ἀληθῶς ἀγαθὸν τελικόν, τὸ δὲ φαινόμενον οὐ τοιοῦτον, φαινόμενον δὲ ἀγαθὸν τὸ ἡδύ, πρῶτον ἂν ἡμῖν τοῦτο εἴη ὀρεκτὸν κατὰ φύσιν. καὶ τοῦτο δὲ ἀδιαρθρώτως λέγεται. ἡδέος γὰρ ὀρεγόμεθα ἢ τοῦ ἁπλῶς ἢ τοῦ πῇ, ὃ κατά τι 10
30 ἡδύ ἐστιν, ἁπλῶς μηδὲν ἔχοντες οἰκεῖον πρὸς αὐτό, ἵνα ἡμῖν περιγένηται. Βεργίνιος δὲ Ῥοῦφος καὶ πρὸ αὐτοῦ Σωσικράτης φησίν, ἕκαστον ὀρέγεσθαι τῆς τελειότητος καὶ τοῦ ἐνεργείᾳ εἶναι, δηλονότι ἀνεμποδίστως ἐνεργοῦντα. διὸ καὶ ἡμῖν φησιν ὀρεκτὸν εἶναι τὸ εἶναι ἐνεργείᾳ, τουτέστιν τὸ ζῆν καὶ τὰς ἀπὸ τοῦ ζῆν ἐνεργείας οὔσας ἡδείας. αἱ γὰρ τοιαῦται ἐνέργειαι κατὰ φύσιν, ἕως ἂν ὦσιν ἀνεμπόδιστοι, ἡδεῖαι. ἀλλὰ ἑκάστῳ ἡ τελειότης ἀγα-

---

2 ὀρεκτικοῖς a 4 αὐτούς V 5 αὐτῶν V ὠκειώμεθα Va 9 ἐν τῷ ὀγδόῳ τῶν Νικομαχείων] ὀγδόῳ (i. e. ἐν τῷ θ) scripsi: ἐνάτῳ Va cf. Arist. Eth. Nic. 8,2 1155ᵇ17—27 11 γὰρ τὸ Aristoteles: γάρ τοι V: γάρ τι a ἐν τῷ ἐνάτῳ] ἐνάτῳ (i. e. ἐν τῷ ι) scripsi: δεκάτῳ Va cf. Eth. Nic. 9,8 1168ᵃ35—ᵇ10 12 διαφανῇ a 15 αὐτοῦ a 16 ἁπλῶς ἡμᾶς αὐτοὺς ὀρεγόμεθα a αὐτοὺς ἡμᾶς] cf 152,26 ἐκείνων a 17 αὐτῶν V καὶ μοχθηρῶς ἄρα καὶ λυπηρῶς] videtur supplendum esse ἔχοντες οὐκ ἄλλοι ἡμεῖς ἡμῶν αὐτῶν 18 fortasse εἰσὶν δέ, οἳ cf. 5,10 et 168,24 19 εἶναι om. a 20 ἐν Ἠθικοῖς Νικομαχείοις] Ar. Eth. Nic. 2,2 1104ᵇ30 27 τοῦτο] το in lit. V 30 βεργίνιος a Σωσικράτης] σωκράτης a 31 ἐνέργεια a 33 τοῦ a: τὸ V fortasse ζῆν (ἐνεργεῖν) ἐνεργείας 34 ἡδίαι V

θόν.' τελειότης δὲ τοῦ δυνάμει παντὸς τὸ ἐνεργείᾳ γενέσθαι τοῦθ' ὃ ἦν δυνάμει, καὶ ἔστιν τὸ ζῷον οὐκ ἐν τῷ ἐνεργεῖν, ἀλλ' ἐν τῷ δύνασθαι. καὶ γὰρ κοιμώμενοι ζῶσιν. ὀρεγόμενος ἄρα τοῦ ἐνεργείᾳ εἶναι ὀρέγοιτ' ἂν τῆς οἰκείας τελειότητος. ἀγαθὸν δ' ἑκάστῳ τοῦτο, ὥστε τούτου ὀρεγόμεθα. ἀκολουθεῖ δὲ τοῖς τιθεμένοις πρῶτον οἰκεῖον τὸ εἶναι καὶ ζῆν κατ' ἐνέργειαν καὶ τὸ ἡδονὴν εἶναι λέγειν τὸ πρῶτον οἰκεῖον καὶ τὸ ἀγαθόν. ἀλλὰ καὶ τὸ τέλος συνάδει τούτῳ. τὸ γὰρ ἐνεργεῖν κατὰ τὸν νοῦν καὶ τὸ ἐνεργείᾳ νοητὸν εἶναι τὸ τέλος ἐστίν, ὃ ἤρτηται ἐκ τοῦ οἰκειῶσθαι ἡμᾶς πρὸς τὸ κατὰ δύναμιν. τελειωθεὶς δὲ ὁ ἄνθρωπος ἐν τῷ νοητικὸς εἶναι τὸ εἶναι ἔχει. δεῖται δὲ τὸ λεγόμενον διαρθρώσεως καὶ διορισμοῦ, πότερον γὰρ ὡς πάσης τῆς ἀπὸ τοῦ ζῆν ἐνεργείας ἡδείας οὔσης εὐθὺς τῷ γενέσθαι ὀρεγόμεθα αὐτῆς ἡμεῖς, ἢ οὐ πάσης; ἴσως γὰρ οὐ τῆς ἀρίστης, αὕτη γὰρ τελική τε καὶ ἐσχάτη. ἢ λέγουσιν τῇ καθό ἐσμεν; ἐσμὲν δὲ τότε αἰσθητικοί (ὥστε τῆς κατ' αὐτάς), ὕστερον δὲ λογικοί. ἐν δὲ τῷ δεκάτῳ τῶν Νικομαχείων λέγει· 'ἑκάστῳ ἡ κατὰ τὴν οἰκείαν ἕξιν αἱρετωτάτη ἐνέργεια'. αὗται μὲν αἱ περὶ τοῦ πρώτου οἰκείου δόξαι κατὰ τοὺς ἀπὸ τοῦ Περιπάτου. διαρθρώσεως δὲ ἐπιμελεστέρας ὁ τόπος δεῖται. ἐπεὶ γὰρ διττὸν τὸ τέλος, ὥς φησιν Ἀριστοτέλης, τὸ μὲν ὅ, τὸ δὲ ᾧ, τὸ μὲν ὃ ὡς ἡ εὐδαιμονία (τοῦτο γὰρ πάντων ἔσχατον καὶ μέγιστον τῶν ἀγαθῶν καὶ σκοπός), τὸ δὲ ᾧ ἡμῖν (τελικώτατον γὰρ ἡμῖν τοῦτο τὸ ἡμῖν τὴν εὐδαιμονίαν περιγενέσθαι), καὶ ὡς μὲν πρὸς τὰ πράγματα ἡ εὐδαιμονία τέλος καὶ σκοπός, ὡς δὲ πρὸς ἡμᾶς ἡμεῖς εὐδαιμονοῦντες. διττοῦ τοίνυν τοῦ τέλους ὄντος, δεῖ καὶ περὶ τὰς ἀρχὰς διφυΐαν τινὰ εἶναι, ἑκάστης ἀρχῆς κατὰ τὴν συνέχειαν τῶν ὀρεκτῶν ἐπὶ τὸ οἰκεῖον τέλος ἀγούσης. ἔστιν οὖν ὥς φαμεν καὶ τὸ πρῶτον ὀρεκτὸν σύνθετον. ἡμεῖς τε γὰρ ἡμῖν αὐτοῖς ἐσμεν οἰκειότατοι καὶ οὐχ ἁπλῶς πρὸς ἑαυτοὺς οἰκειώμεθα, ἀλλὰ τοῦ αὐτοῖς ἡμῖν περιγενέσθαι τὰ ἀγαθά. τοῦτ' οὖν τὸ πρῶτον οἰκεῖον τὸ ἡμέτερον ἀγαθόν, καὶ τούτου ὀρεγόμεθα. ἐπεὶ δὲ εὐθὺς γενομένους ἀδύνατον τοῦ ἀληθῶς ἀγαθοῦ ἀντίληψιν ἴσχειν, τοῦ φαινομένου ἀγαθοῦ ὀρεγόμεθα. φαινόμενον δὲ ἀγαθὸν τὸ ἡδύ. τὸ ἄρα ἡμῖν ἡδύ ἐστι τὸ πρῶτον οἰκεῖον, τουτέστιν τὸ φαινόμενον ἀγαθόν, ὅπερ, εἰ καὶ τοῖς ἄλλοις εἰρηκόσιν τὸ πρῶτον οἰκεῖον ἀκόλουθόν ἐστι λέγειν διὰ τὴν ἀνάγκην τῆς ἐκ τῶν λόγων ἀκολουθίας, ἀλλ' αὐτοί γε οὐ διελόντες οὐδὲ διαστειλάμενοι, οἱ μὲν ἡμᾶς ἔφασαν εἶναι, οἱ δὲ τὸ πρᾶγμα τὸ ἐκτὸς τὸ ἡδὺ τὸ πρῶτον οἰκεῖον, οὐδεὶς δὲ αὐτῶν συνθεὶς τὸ πᾶν ἐξειργάσατο. ἀμφότεροι μὲν οὖν ὑγιῶς λέγουσιν, ἅμα ἑκάτεροι δὲ οὐχ ὑγιῶς. ἢ καὶ ὁ λέγων ἑκάστῳ οἰκεῖον εἶναι τὸ ἐνεργείᾳ εἶναι καὶ ζῆν καὶ τὴν καθὸ τὸ εἶναί

---

4 τελειότητος] ς in lit. V 8 οἰκειῶσθαι V: οἰκειοῦσθαι a cf. Ind. 10 πότερον] π in lit. V 11 (et 151,33) ἡδίας V 13 καὶ τε a τῇ] fortasse τὴν 14 τῆς κατ' αὐτάς] scil. τῆς κατὰ τὰς αἰσθήσεις ἐνεργείας ὀρεγόμεθα cf. 153,4 ἐν δὲ τῷ δεκάτῳ τῶν Νικομαχείων] Ar. Eth. Nic. 10,6 1176b26 17 ὥς φησιν Ἀριστοτέλης] cf. de animal. gen. 2,6 742a22, phys. ausc. 2,2 194a35 19 ἔσχατον] ον in lit. V ᾧ] fortasse ᾧ ⟨ὡς⟩ 23 τὴν om. a 25 τε add. v. c. V αὐτοῖς V οὐχ] χ in lit. V 26 τοῦ] fortasse τὸ αὐτοις V 28 ἀληθῶς] ω in lit. V 32 ἀλλ' αὐτοί γε a: ἀλλὰ τοίγε V 33 οἱ μὲν V: ἡμῖν a 36 καὶ ζῆν V: ζῆν a

ἐστιν αὐτῷ ἐν συνεχείᾳ (τὸ γὰρ κατὰ φύσιν, καθό ἐστι τὸ εἶναι ἑκάστῳ, ἡδύ τε καὶ οἰκεῖον καὶ πρῶτον ὀρεκτόν) διηρθρωμένως λέγει. τὸ γὰρ παιδίον τῷ μηδέπω λογικὸν εἶναι οὐκ ἂν εἴη πρῶτον οἰκειωμένον τῇ κατὰ τοῦτο ἐνεργείᾳ, ἀλλὰ ἐπεὶ αἰσθητικόν ἐστι ταῖς κατὰ τὰς αἰσθήσεις ἐνεργείαις εἴη ἂν προσοικειωμένον καὶ ἔτι τῷ τρέφεσθαι. ὀρεγόμενα δὲ τῆς καθό ἐστιν ἐνεργείας ἀνεμποδίστου, τοῦ τε οἰκείου ἀγαθοῦ καὶ τῆς ἡδονῆς ἂν ὀρέγοιτο, εἴ γέ ἐστιν ἡδονὴ ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος καὶ ἔτι τοῦ αὐτοῖς περιγενέσθαι αὐτήν (τῆς γὰρ ἰδίας ἐνεργείας ὀρέγονται). ὁ γὰρ τῆς οἰκείας ἐνεργείας τῆς καθό ἐστι δυνάμει ὀρεγόμενος ὀρέγεται μὲν δηλονότι τῆς ἀνεμποδίστου (τὸ γὰρ κωλυτικὸν καὶ ἐμποδιστικὸν τῆς ἐνεργείας φευκτὸν τῷ ὀρεγομένῳ αὐτῆς), ἅμα δὲ ἡ τοιαύτη καὶ ἡδεῖα. ὀρέγεται δὲ οὐχ ἁπλῶς ἐνεργείας, ἀλλὰ τοῦ αὐτὸ ἐνεργεῖν καὶ τῆς οἰκείας [τοῦ αὐτὸ ἥδεσθαι ὀρέγοιτο ἄν] μᾶλλον δὲ ἐπεὶ ἡ ἡδονὴ ἕπεται τῇ τοιαύτῃ ἐνεργείᾳ πρὸς ἣν οἰκειοῦται πρώτην. οὐ γὰρ σκοπὸν τῆς ὀρέξεως τὴν ἡδονὴν πεποίηται, ἀλλὰ ἔχει ἑπομένην αὐτὴν τῇ ἐνεργείᾳ. πᾶν γὰρ τὸ κατὰ φύσιν ἡδύ. οὐ γὰρ ἡσθεὶς πρῶτον, εἶθ' οὕτως ὀρέγεται τοῦ δι' οὗ ἥσθη. οὐ γὰρ δὴ λόγου γε ἡ φύσις οἰκείου χρήζει, ἀλλ' ἕπεται τῇ τοιᾷδε ἀρχῇ τοῖς γινομένοις φύσει πάντως τὰ μετ' αὐτὴν καὶ τοιόνδε τέλος, εἰ μηδὲν ἐμποδίζοι, οὐ προνοηθὲν ὡς ἐπὶ τῶν τεχνῶν, ἀλλ' οὕτω κατεσκευασμένον. σύμφωνον δὲ τῇ τοιαύτῃ ἀρχῇ καὶ τὸ τέλος τὸ κατὰ Ἀριστοτέλη, ὃν ἐνέργεια κατὰ ἀρετήν. λέγει δὲ ἐν τῷ δεκάτῳ τῶν Νικομαχείων Ἠθικῶν καὶ Ἀριστοτέλης οὕτως περὶ τούτου· 'ὀρέγεσθαι δὲ τῆς ἡδονῆς οἰηθείη τις ἂν ἅπαντας, ὅτι καὶ τοῦ ζῆν ἅπαντες ἐφίενται. ἡ δὲ ζωὴ ἐνέργειά τίς ἐστι, καὶ ἕκαστος περὶ ταῦτα καὶ τούτοις ἐνεργεῖ, ἃ μάλιστα ἀγαπᾷ. ἡ δὲ ἡδονὴ τελειοῖ τὰς ἐνεργείας, καὶ τὸ ζῆν δέ, οὗ ὀρέγονται. εὐλόγως οὖν καὶ τῆς ἡδονῆς ἐφίενται· τελειοῖ γὰρ ἑκάστῳ τὸ ζῆν ὅπερ ἐστὶν αἱρετόν'.

Ὅτι ἀντακολουθοῦσιν αἱ ἀρεταί.

Τὸ τὰς ἀρετὰς ἀντακολουθεῖν ἀλλήλαις καὶ ταύτῃ μὲν ἂν δεικνύοιτο, ἢ ἀδύνατον μίαν τινὰ ἐξ αὐτῶν ἔχειν ὁλόκληρον μὴ καὶ τὰς ἄλλας ἔχοντα. οὔτε γὰρ δικαιοσύνην οἷόν τε ἔχειν μόνην, εἴ γε τοῦ μὲν δικαίου τὸ ἐν

1 post ἐν συνεχείᾳ, nisi corruptum est, aliquid excidisse videtur. exspectas enim τὴν καθὸ τὸ εἶναί ἐστιν αὐτῷ κατὰ φύσιν ἐνέργειαν (sive ἕξιν sive τελειότητα) cf. 151,31, 153,6,7. 5 ἂν om. a προσοικειωμένον] σ m¹ suppl. in mg. ante σ una lit. erasa V ὀρεγόμενα] ὁ in lit. V: ὀρεγόμεθα a 8 fortasse αὐτοῖς ἰδίας m², ἡδίας m¹ V: ἰδίας a cf. 152,26 11 ἡδεία corr. ex. ἡδία V 12 αὐτὸ ἐνεργεῖν] exspectas αὐτὸς ἐνεργεῖν et αὐτὸς ἥδεσθαι, sed. cf. Ind. s. v. neutrum 13 τοῦ αὐτὸ ἥδεσθαι ὀρέγοιτο ἄν] haec nisi transposueris post πρὸς ἣν οἰκειοῦται πρώτην non intellego 14 γὰρ] ρ in lit. V 20 ἀριστοτέλην a 21 ὃν a δεκάτῳ scripsi: ῑ V: τ̄ a ἐν τῷ δεκάτῳ τῶν Νικομαχείων Ἠθικῶν] Ar. Eth. Nic. 10,3 1175a 10 22 δὲ om. a 24 ἐστι] εἶναι Va ἕκαστον Va 26 ὅπερ ἐστὶν αἱρετόν Va: αἱρετὸν ὄν Arist. 28 Ὅτι ἀντακολουθοῦσιν αἱ ἀρεταί] cf. Alexandri quaest. nat. et mor. 4,22 29 ἀκολουθεῖν a 31 ἔχειν v. c. ἔχει m¹ V: ἔχειν a

πᾶσιν τοῖς δεομένοις τῆς ἀρετῆς δικαίως ἐνεργεῖν (οὐκ ἐνεργήσει δὲ δικαίως ὁ μὲν ἀκόλαστος ἔνθα περιέλκει τι τῶν ἡδέων αὐτόν, ὁ δὲ δειλὸς ἔνθα φοβερὸν ἀπειλεῖταί τι τὰ δίκαια πράξαντι, ὁ δὲ φιλοχρήματος ἔνθα λήμματος ἐλπίς, καὶ ὅλως πᾶσα κακία τῇ κατ' αὐτὴν ἐνεργείᾳ λυμαίνεταί τι τοῦ δικαίου), ἀλλ' οὐδὲ ἀνδρεῖον οἷόν τε τὸν ἀκόλαστον ἢ τὸν ἄδικον εἶναι ἢ τὸν ἄλλην τινὰ κακίαν ἔχοντα· ὁ μὲν γὰρ ἀκόλαστος πρὸ τῆς κατ' ἀνδρείαν ἐνεργείας ⟨τὴν ἡδονὴν ἕλοιτ' ἄν⟩, ὁ δὲ ἄδικος αἱρήσεταί ποτε τὸ πλέον ἔχειν ἀμελήσας τοῦ κατὰ ἀνδρείαν ἐνεργεῖν· ἀλλὰ καὶ τοὺς προδότας ὑπὸ τούτων τῶν κακιῶν γινομένους ἰδεῖν ἐστιν. πῶς δὲ οἷόν τε κατὰ σωφροσύνην καὶ σωφρόνως ἐνεργεῖν τὸν δειλὸν ἢ τὸν ἄδικον; ὁ μὲν γὰρ ἄδικος αὐτῷ πλέον καὶ τῶν ἡδέων νεμεῖ, ὁ δὲ δειλὸς ἐνδώσει ποτὲ διὰ φόβον ἀπειλούμενος ὑπὸ τυράννου αἰσχραῖς τισιν ἡδοναῖς ἢ καὶ τὴν ἀρχὴν ἀρέσκειν βουλόμενος αὐτῷ διὰ δειλίαν ταῖς αὐταῖς ἡδοναῖς χαίρειν εἰλισθήσεται, καὶ καθόλου ἀδύνατον ἡντινοῦν ἔχοντα κακίαν μὴ τὴν κατ' ἐκεῖνο λυμαίνεσθαι τῆς ἀρετῆς ἐνέργειαν, ὥστ' οὐδὲ ταύτην ἂν ἔχοι τις, ἣν οἴεται, μὴ δυνάμενος ἐν πᾶσιν τοῖς καιροῖς καὶ πρὸς πάντα αὐτῇ χρῆσθαι, πρὸς ἃ ἐστιν ἡ κατὰ ταύτην ἐνέργεια. ἔτι, εἰ ταύτῃ διαφέρουσιν οἱ διὰ παρουσίαν ἀρετῆς ἀγαθοὶ λεγόμενοι τῶν κατά τινα τέχνην ἢ ἐπιστήμην ἀγαθῶν λεγομένων, ὅτι οἱ μὲν μετὰ προσθήκης ἀγαθοὶ λέγονται (ἀγαθὸς γὰρ τέκτων καὶ ἀγαθὸς σκυτεὺς καὶ ἀγαθὸς γεωμέτρης καλεῖται τὸ ὅλον τοῦτο), ὁ δὲ τὴν ἀρετὴν ἔχων ἁπλῶς καὶ χωρὶς προσθήκης ἀγαθὸς καλεῖται (ἀδύνατον δὲ ἁπλῶς ἀγαθὸν εἶναι τὸν μὴ κατὰ πάντα ἀγαθόν), ἀδύνατον ἄρα μίαν τινὰ μόνην ἀρετὴν ἔχειν. ἔτι δὲ καὶ ἐκ τῆς κακίας οἷόν τε ταὐτὸν τοῦτο δεῖξαι. εἰ γὰρ ὁ κακίαν ἔχων ἁπλῶς κακός (ὁ δ' ἁπλῶς κακὸς οὐκ ἂν εἴη καὶ ἁπλῶς ἀγαθός· ἅμα γὰρ ἂν εἴη ἐν τῷ αὐτῷ κατὰ ταὐτὸν τἀναντία ἔχων), ἀδύνατον τὸν ἔχοντα κακίαν τινὰ καὶ ἀρετὴν ἔχειν ἅμα. ἔτι εἰ οὐκ ἀντακολουθοῦσιν ἀλλήλαις αἱ κακίαι (πῶς γὰρ οὐσαί γε ἀλλήλαις ἐναντίαι, εἴ γε αἱ μὲν ἐν ὑπερβολῇ, αἱ δὲ ἐν ἐνδείᾳ) καὶ ἔστιν αὐτάρκης ἡ κακία πρὸς κακοδαιμονίαν, εἴη ἂν καὶ μία κακία αὐτάρκης πρὸς κακοδαιμονίαν. τὸν δὲ κακοδαίμονα πῶς οἷόν τε λέγειν ἔχειν ἀρετήν τινα; ἔτι εἰ ἡ ἀρετὴ τοῦ καλοῦ χάριν ἢ καλὸν πάντα πράττει (πρακτικὴ γὰρ ἡ ἀρετὴ τῶν ἐν τοῖς πρακτοῖς καλῶν), ὁ τὴν ἀρετὴν ἔχων φιλόκαλός τις ἂν εἴη· ὁ δὲ φιλόκαλος τὸ ἐν πᾶσιν καλὸν ἀσπάζεται· ὁ δὲ τὸ ἐν πᾶσι καλὸν ἀσπαζόμενος πᾶσαν ἀρετὴν ἔχει. εἰ γάρ τις τὸ μὲν ἐν ἀνδρείᾳ καλὸν ἀσπάζοιτο, μηκέτι δὲ καὶ τὸ ἐν δικαιοσύνῃ, οὐδὲ τὸ ἐν ἀνδρείᾳ ἂν καλὸν ἢ καλὸν μεταδιώκοι. εἰ δὲ τοῦτο, οὐδ' ἂν ἀνδρεῖος εἴη. πᾶν γὰρ καλὸν ἀδιά-

2 μὲν om. a αὐτόν a: αὐτόν V 3 πράξαντι] π in lit. V φιλοχρήματος V 6 πρὸ V ex. Vict.: πρὸς a 7 τὴν ἡδονὴν ἕλοιτ' ἄν m² in mg. add. V 8 ἀλλὰ in lit. V ante προδότας desideratur sive θρασεῖς sive λεγομένους ἀνδρείους 11 αὐτῷ a νεμεῖ scripsi: νέμει Va cf. 63,25 ἐνδήσει a 12 ἀπειλούμενος scripsi: ἀπειλούμενον Va 13 χαίρειν ταῖς αὐταῖς ἡδοναῖς a 14 fortasse τῇ κατ' ἐκεῖνο (cf. Ind. s. v. neutrum) λυμαίνεσθαι ⟨τὴν⟩ τῆς 20 γεωμέτρης a: γεσωμέτρης V καλεῖται] ει in lit. V 23 τινὰ om. a ταὐτὸ a 24 γὰρ καὶ ὁ a 25 γὰρ ἂν εἴη a: γὰρ ἂν εἰν Va 29 εἴη ἂν καὶ—πρὸς κακοδαιμονίαν om. a 32 πρακτοῖς V: πρακτικοῖς a

φορον ἢ καλόν. εἴτε γὰρ μὴ γνωρίζει πᾶν καλόν, οὐδ' ἂν τόδε τι ὡς καλὸν γνωρίζοι (μία γὰρ γνῶσις ἡ τοῦ καλοῦ καθὸ καλόν), εἴτε γνωρίζει μέν, μὴ αἱρεῖται δέ, οὐκ ἂν εἴη φιλόκαλος· ὥστ' οὐδέ, ὃ πράττει καὶ προαιρεῖται, πράξει καθὸ καλόν· ὥσπερ γὰρ ὁ φίλοινος πρὸς πάντα οἶνον οἰκείως ἔχει, οὕτως δὲ καὶ ὁ φιλόκαλος πᾶν καλὸν αἱρεῖταί τε καὶ ἀσπάζεται. ἔτι εἰ αἱ ἀρεταὶ ἀλλήλων [διαφέρουσιν] οὐ τῷ σκοπῷ, ἀλλὰ τῷ περὶ ἃ διαφέρουσιν (σκοπὸς μὲν γὰρ πάσαις αὐταῖς εἰς τὸ καλὸν πρόκειται, ἡ δὲ διαφορὰ αὐταῖς καθὸ ἡ μὲν περὶ τάδε τὰ πάθη, θάρρη φέρ' εἰπεῖν καὶ φόβους, ἡ δὲ περὶ τὰς δι' ἁφῆς ἡδονάς, ἄλλη δὲ περί τινα ἄλλα), ὁ μίαν ἔχων ἀρετὴν καὶ τὸν κοινὸν πάσης ἀρετῆς σκοπὸν τὸ καλὸν ἔχει. ὁ ἔχων δὲ τοῦτο τῶν ὑπ' αὐτοῦ πραττομένων σκοπὸν πάντα ἂν τούτου χάριν πράττοι. οὕτως δὲ πάσας ἂν τὰς ἀρετὰς ἔχοι σκοπὸν τὸ καλὸν ἐν πᾶσιν οἷς πράττει ποιούμενος. ἔτι εἰ πᾶσα ἀρετή τινος ἀκρότης ἐστὶ τῆς φύσεως τῆς ἐκείνου, εἴη ἂν καὶ ἡ ἀνθρώπου ἀρετὴ ἀκρότης ἀνθρώπου φύσεώς τε καὶ ψυχῆς. ἔστι δὲ ἡ τοῦ ἀνθρώπου ψυχὴ λογικὴ μέν, οὐχ ἁπλῶς δέ, ἀλλ' ἔχουσα δυνάμεις πλείους (τὴν μὲν γὰρ λογικὴν κυρίως, τὴν δὲ ὡς ὑπακούουσαν λόγῳ), καὶ ἀρετὴ εἴη ἂν αὐτοῦ ἡ καθ' ἕκαστα τῶν τῆς λογικῆς ψυχῆς δυνάμεων ἀκρότης, ὥστε μία τις ἐξ αὐτῶν οὐδ' ἂν ἀρετὴ εἴη ἀνθρώπου λαμβανομένη καθ' αὑτήν. οὐ γὰρ τῷ χωρίζεσθαι καὶ καθ' αὑτὰς ὑφίστασθαι δύνασθαι ἀρεταὶ πᾶσαι καθ' ἑκάστην καλοῦνται, ἀλλὰ τῷ δυνάμεώς τε εἶναι ἄλλης καὶ περὶ ὕλην ἄλλην ἐνεργεῖν. ὅλον γάρ τι ἡ τέλειος ἀρετή, μέρη δὲ αὐτῆς ἀνδρεία σωφροσύνη δικαιοσύνη τῶν λοιπῶν ἑκάστη, οὐχ ἁπλῶς ἀρεταὶ οὖσαι, ἀλλὰ περὶ τάδε καὶ μετὰ προσθήκης· ἁπλῶς γὰρ ἡ ὅλη. ὡς οὖν ἐπὶ τῶν ἄλλων μερῶν ἐν τῷ ὅλῳ τὰ μέρη λαμβανόμενα τότε ἐστὶ μέρη, ὅταν ᾖ συμπληροῦντα τὸ ὅλον, χωρισθέντα δὲ καὶ καθ' αὑτὰ γενόμενα οὐκέτι | μέρη, εἰ μὴ ὁμωνύμως, οὕτως δὲ καὶ 155v αἱ ὡς μέρη ἀρεταὶ ἐν μὲν τῇ ὅλῃ οὖσαι ἀρεταί εἰσιν, πλὴν ὁμωνύμως τὰς ἐπιτηδειότητας καὶ τὰς εὐφυίας εἰώθαμεν ἀρετὰς λέγειν. ὡς γὰρ ὁ μίαν πρᾶξιν πράξας δικαίως οὐκ ἔστιν δίκαιος, εἰ μὴ ὅμοιος ἐν πάσαις εἴη, οὕτως οὐδὲ τὸν καλοῦ τινος χάριν πράσσοντά τινα περὶ μίαν ὕλην ἀρετήν τις ἂν ἔχειν λέγοι, εἰ μὴ πανταχοῦ καὶ ἐν πᾶσιν ὁμοίως τὸ καλὸν διώκοι. ἔτι εἰ τοῦ μὲν λογιστικοῦ ἐστιν ἀρετὴ ἐπιστήμη καὶ γνῶσις τῶν ἀγαθῶν, τοῦ δὲ παθητικοῦ πρᾶξις τῶν ἀγαθῶν (οὔτε δὲ πράσσειν οἷόν τε τὰ ἀγαθὰ μὴ 5 γνωρίζοντα αὐτὰ καὶ εἰδότα, οὔτε γνῶναι τἀγαθὰ οἷόν τε ὅτι ἐστὶν ἀγαθὰ μὴ αἱρούμενον αὐτὰ καὶ πρόσκλισιν ἔχοντα πρὸς αὐτά· σημεῖον δὲ τούτου τὸ τὸν αἱρούμενόν τινα ταῦτα καὶ ἀγαθὰ εἶναι προειληφέναι), οὔτε τὴν τοῦ λογιστικοῦ χωρὶς τοῦ παθητικοῦ οἷόν τε ἀρετὴν ἔχειν οὔτε τούτων τινὰ χωρὶς ἐκείνης τε καὶ ἀλλήλων. ἔτι εἰ τῷ μὲν εἰδέναι τὰ ἀγαθὰ ὅτι ἀγαθὰ

---

1 γνωρίζει] εἰ in lit. V 3 πράττει καὶ m², πράττει m¹ V: πράττει καὶ a 6 διαφέρουσιν delevi 7 εἰς a: εἰ sic V 12 ἔχει a 14 καὶ ἡ V: καὶ a 26—27 οὕτως δὲ—πλὴν ὁμωνύμως om. a 27 post ἀρεταί εἰσιν nonnulla excidisse videntur. fortasse εἰσιν, ⟨οὐκέτι δὲ χωρισθεῖσαι⟩ 31 τῷ καλῷ a 32 (et 37) λογιστικοῦ V: λογικοῦ a 33 δὲ supra lin. V 38 τἀγαθὰ a

τὸ καὶ αἱρεῖσθαι ἕπεται (διὰ τοῦτο γὰρ τὸν ἀκρατῆ οὐδὲ κυρίως καὶ ἁπλῶς εἰδέναι φαμὲν) καὶ ἔστι τὸ μὲν εἰδέναι τῆς φρονήσεως, τὸ δὲ αἱρεῖσθαι τῶν ἠθικῶν ἀρετῶν, ἕποιντ' ἂν τῇ φρονήσει αἱ ἠθικαὶ ἀρεταί· ἀλλὰ καὶ ταύταις ἐκείνη, εἴ γε ἑκάστη αὐτῶν ἀρετή ἐστιν ἐν τῷ πράττειν κατὰ τὸν ὀρθὸν λόγον τουτέστιν κατὰ φρόνησιν. ἀλλὰ καὶ ἀλλήλαις αἱ ἠθικαί, εἴ γε ὁ μίαν τούτων ἔχων ἔχει καὶ φρόνησιν καὶ τὰς ἠθικάς. ἔτι εἰ πᾶσα κατὰ ἀρετὴν πρᾶξις ἐκ τοῦ τόν τε σκοπὸν τοιοῦτον ἔχειν καὶ οὕτω πως πράττεσθαι σύγκειται, καὶ ἔστιν τὸ μὲν τὸν σκοπὸν ὑγιῆ θέσθαι τῆς ἠθικῆς ἀρετῆς, τὸ δὲ γνωρίζειν τὰ συντείνοντα πρὸς τοῦτον τῆς φρονήσεως, πῶς ἂν εἴη κεχωρισμένη; ἔτι εἰ ἀδύνατον φρόνησιν ἔχειν τὸν μὴ περὶ πάντα φρόνιμον, ὁ τὴν φρόνησιν ἔχων εἴη ἂν πάντων τῶν πρακτέων γνωριστικός. ἀδύνατον δὲ ἐν οἷς μὴ ὁ προσήκων πρόκειται σκοπός, τὴν τὰ πρὸς τοῦτο συντείνοντα γνωρίζειν δυναμένην δύναμιν φρόνησιν εἶναι· οὐκέτι γὰρ ὧν χρὴ πράττειν ὁ φρόνιμος ἔσται κριτικός τε καὶ γνωριστικός· ἀλλὰ μὴν ἐν πᾶσιν ὧν χρὴ πράττειν γνωριστικός τε καὶ κριτικὸς καὶ πρακτικὸς ὁ φρόνιμος. ἐν πᾶσιν ἄρα ἕξει τοῖς πρακτοῖς ὑγιᾶ τὸν προκείμενον σκοπόν. οὕτω δὲ καὶ πᾶσαν ἀρετὴν ἕξει, εἴ γε τῶν μὲν ἠθικῶν ἀρετῶν τὸ τέλος καὶ τὸν σκοπὸν τὸν ἄριστον τῶν πρακτέων ὁρίζειν, ὁ δὲ φρόνιμος ἐν πᾶσιν ἕξει τοῖς πρακτοῖς τὸν ἄριστον σκοπὸν ὡρισμένον. δεινοῦ μὲν γὰρ τὸ πρὸς πάντα σκοπὸν τὰ συντείνοντα συνορᾶν, φρονίμου δὲ τὰ πρὸς τὸν ἄριστον. εἰ οὖν ἀδύνατον μὲν κατά τινα τῶν ἠθικῶν ἀρετῶν χωρὶς φρονήσεως ἐνεργεῖν, ἡ δὲ φρόνησις οὖσα περὶ πάντα τὰ πρακτὰ συνάγει πάσας τὰς ἠθικὰς ἀρετὰς ἑαυτῇ (εἴ γέ ἐστιν ἕξις κατὰ λόγον πρακτικὴ περὶ πάντα τὰ ἀνθρώπου ἢ ἄνθρωπος ἀγαθά, οὐ ταῦτα μέν, ταῦτα δὲ οὔ, ἀλλὰ πάντα). πᾶσαι ἂν ἕποιντο αἱ ἀρεταὶ τῇ φρονήσει. οὐδὲ γὰρ ῥᾴδιον τῶν ἀρετῶν κατὰ τὸν Θεόφραστον τὰς διαφορὰς οὕτω λαβεῖν ὡς μὴ κατά τι κοινωνεῖν αὐτὰς ἀλλήλαις, γίνονται δ' αὐταῖς αἱ προσηγορίαι κατὰ τὸ πλεῖστον.

Ὅτι φύσει τὸ δίκαιον.

Ὅτι φύσει τὸ δίκαιον, δείκνυται ἐκ τοῦ φύσει κοινωνικόν ⟨μὲν⟩ εἶναι ⟨τὸν ἄνθρωπον⟩, μὴ δύνασθαι δὲ κοινωνίαν διαμένειν χωρὶς δικαιοσύνης. ὅτι δὲ φύσει κοινωνικόν, δῆλον ἐκ τῆς ἐναργείας. οὐ γὰρ τοιοῦτον ὁ ἄνθρωπος, ὡς μόνον βιοῦν καὶ ἐφ' ἑαυτοῦ δύνασθαι. ὡς οὖν τὰ ἄλλα ζῷα τὰ συναγελάζεσθαι πεφυκότα φύσει φαμὲν τοῦτ' ἔχειν, οὕτως καὶ ὁ ἄνθρωπος φύσει ἂν ἔχοι τὸ κοινωνικὸς εἶναι, ἐν κοινωνίᾳ τῇ πρὸς ἀλλήλους

---

1 ἀκρατῆ V ex. Vict.: ἀκρατῇ a 2 φρωνήσεως a 3 ἕποιτ' ἂν a 8 τὸ μὲν ex. Vict.: τὸν μὲν Va 9 ἂν εἴη m², εἴη m¹ V: ἂν εἴη a 12 fortasse τοῦτον scil. τὸν μὴ προσήκοντα σκοπόν 13 δύναμιν om. a 14 ἐν πᾶσιν om. a 15 κριτικὸς] τι in lit. V 16 πρακτοῖς ex. Vict.: πρακτικοῖς Va σκοπὸν ἔχειν a 17 ἔχει a: ἔχοι V fortasse πᾶσαν ⟨ἂν⟩ ἀρετὴν ἔχοι 20 φρονίμου scripsi: φρόνιμον Va 24 ταῦτα δὲ m², ταῦτα m¹ V: τὰ δὲ a 29 μὲν εἶναι τὸν ἄνθρωπον m², εἶναι m¹ V: μὲν εἶναι τὸν ἄνθρωπον a 30 δικαιωσύνης a 31 ἐνεργείας a

ἀεὶ καταζῶν. ἔτι τῶν μὲν συναγελάζεσθαι ζῴων πεφυκότων καίτοι φύσει τοῦτ' ἐχόντων (ἐφ' ὃ γὰρ ἐκ φύσεως ὁρμᾷ τι, μήτε ἐκ διδασκαλίας μήτε ἐξ ἔθους μήτε ὑπ' ἀνάγκης ἀγόμενον, τοῦθ' ὑπάρχειν αὐτῷ φαμεν φύσει, οὕτω δὲ τὰ συναγελαζόμενα ζῷα τὸ σὺν ἀλλήλοις εἶναι ἔχει κατὰ φυσικὴν ὁρμήν), ἀλλ' ὅμως, τούτων καίτοι πεφυκότων οὕτως, ἔστι που χωρίσαντα ἕν τι τῆς σὺν τοῖς ἄλλοις ἀνατροφῆς ἀνατρέφειν καθ' αὑτό, καὶ διήρκεσέν τινα ἐπὶ πλεῖστον τῶν ἀλλήλοις συναγελάζεσθαι πεφυκότων ἑστερημένα τῆς ἐκείνων κοινωνίας. ἄνθρωπος δὲ οὐδεὶς ἂν οὐδὲ διαρκέσαι χωρὶς ἀνθρώπων ἄλλων γενόμενος. σημεῖον δὲ μέγιστον τοῦ φύσει κοινωνικὸν εἶναι τὸν ἄνθρωπον, καὶ πολὺ πλέον τῶν ἄλλων ζῴων ἁπάντων, τὸ καὶ μόνον λογικὸν εἶναι καὶ χρῆσθαι μόνον δύνασθαι λόγῳ, τὸν δὲ λόγον πρὸς μόνην τὴν μήνυσιν τῶν οἰκείων νοημάτων τε καὶ θεαμάτων τοῖς συνοῦσιν τὴν ἀναφορὰν ἔχειν. ὅτε γοῦν μηδεὶς ἡμῖν πάρεστιν, ἢ μὴ βουλόμεθα τῶν παρόντων τινὶ μηνῦσαι τι τῶν ἡμετέρων ⟨νοημάτων⟩ ἢ μαθεῖν τι παρ' ἐκείνου, τὴν ἡσυχίαν ἔχομεν ἀρκούμενοι τῷ διανοεῖσθαι μόνῳ. ὥστε, εἰ πρός τι τούτῳ χρώμεθα μόνον τῷ δεδομένῳ παρὰ τῆς φύσεως ἡμῖν λόγῳ, μηδὲν δὲ ἡ φύσις μάτην ποιεῖ τε καὶ δίδωσιν, ὡς κοινωνικοῖς ἂν ἡμῖν εἴη τὸν λόγον δεδωκυῖα. ἔτι καὶ ἐξ αὐτοῦ τοῦ θέσει λέγειν τὸ δίκαιον εἶναι μαρτυροῖτ' ἂν τὸ φύσει κοινωνικὸν εἶναι τὸν ἄνθρωπον. εἰ γὰρ δέονται μὲν τοῦ δικαίου καὶ τῆς συνθήκης ταύτης φυσικῶς πάντες ἄνθρωποι (οὐ γὰρ οἱ μέν, οἱ δὲ οὔ), τοῦτο δὲ ὡς τῆς κοινωνίας ὂν σωστικὸν παραλαμβάνουσιν, εἴη ἂν πᾶσιν ἀνθρώποις τὸ κοινωνικὸν ὑπάρχον φύσει. φύσει δὲ οὔσης τῆς κοινωνίας ἀνάγκη καὶ τὸ δίκαιον αὐτοῖς ὑπάρχειν φύσει. οὐ γὰρ οἷόν τε λέγειν τὸ δεῖσθαι δικαίου, μηκέτι δὲ εἶναι τὸ δίκαιον φύσει. οὐ γὰρ χωρὶς ἀδύνατον εἶναί τι τῶν ὑπαρχόντων ἡμῖν, ἀνάγκη καὶ τοῦτο εἶναι φύσει. οἷον ἀδύνατον | ὁρᾶν χωρὶς ὀφθαλμῶν. διό, καὶ τοῦ ὁρᾶν 156r ὄντος φύσει, καὶ οἱ ὀφθαλμοὶ φύσει. ὁμοίως καὶ τὰ ὦτα φύσει (οὔτε γὰρ χωρὶς τούτων ἀκούειν οἷόν τε, καὶ τὸ ἀκούειν φύσει), καὶ καθόλου τὰ αἰσθητήρια ἡμῖν φύσει τῷ καὶ τὰς ἐνεργείας τὰς δι' αὐτῶν ὑπάρχειν ἡμῖν φύσει. εἰ δὴ καὶ κοινωνικοὶ μὲν ἐσμεν φύσει, ἀδύνατος δ' ἡ κοινωνία χωρὶς δικαιοσύνης, ἀνάγκη καὶ τὸ δίκαιον εἶναι φύσει. εἰ δ', ὅτι παρ' ἄλλοις ἄλλο τι δίκαιον, διὰ τοῦτο οὐ φύσει φήσουσιν αὐτό, δῆλον, ὡς φύσει τοῦτ' ἐροῦσιν, ὃ παρὰ πᾶσίν ἐστιν ταὐτό. καὶ εἰ τὸ ἔγγραφον ἐροῦσιν, διότι ἐστὶν ἔγγραφον, κατὰ συνθήκην καὶ οὐ φύσει, δῆλον ὡς ἀνάγκη τούτοις φύσει καὶ μὴ κατὰ συνθήκην λέγειν τὸ τὴν ἰσχὺν οὐκ ἐν τοῖς γράμμασιν ἔχον. ἔστι δὲ τοιαῦτα πολλὰ καὶ προσαγορεύειν εἰώθαμεν ἀπ' αὐτοῦ τοῦ πάθους ἄγραφα νόμιμα, κοινὰ πᾶσιν ἀνθρώποις ὄντα, τοῖς γε μὴ πεπηρω-

---

2 ὁρμά τι a 3 φαμεν V: μὲν a 10 ζῴων m², ζωιον m¹ V: ζώων a 14 τι τῶν m², τῶν m¹ V: τι τῶν a νοημάτων ἢ scripsi: ἢ Va 16 τι τι m¹ V μόνον V: μόνῳ a: fortasse μὲν 18 λέγειν] λ in lit. V: λέγειν θέσει a 19 μαρτυροῖτ' a γὰρ supra lin. V 23 αὐτοῖς] αἱ τοῖς a 25 argumentatio postulare videtur ὑπαρχόντων ἡμῖν ⟨φύσει⟩ cf. v. 29 τῷ καὶ τὰς ἐνεργείας ὑπάρχειν ἡμῖν φύσει 30 κοινωνικοὶ] post ων una lit. erasa V 35 γράμμασιν om. a 36 fortasse πολλὰ ⟨ἃ⟩

μένοις. τό τε γὰρ αἰδεῖσθαι τοὺς πρεσβυτέρους καὶ τὸ σέβειν τὸ θεῖον καὶ τὸ τιμᾶν τοὺς γονέας καὶ τοὺς βελτίονας, ἄγραφα καὶ κοινὰ δίκαια παρὰ πᾶσιν ἀνθρώποις φύσει τηρούμενα. οὐ γὰρ περὶ τούτων οὔτε συντίθενται πρὸς ἀλλήλους οὔτε γράφουσιν, ἀλλ' ὡς ὁμολογουμένων καὶ κεκυρωμένων ὑπὸ τῆς φύσεως οὕτως ἔχειν, περὶ τοῦ τρόπου τῆς τιμῆς νομοθετοῦσιν, οἱ μὲν οὕτως, οἱ δὲ οὕτως, καὶ οἱ μὲν διὰ τοιῶνδε, οἱ δὲ διὰ τοιῶνδε ταῦτα ποιήσειν ἡγούμενοι, ἐν οἷς ἂν ἕκαστος ᾖ προειθισμένος, περὶ ἃ λοιπὸν τὸ κατὰ συνθήκην δίκαιον ἰσχὺν ἔχει. ὧδε μὲν γὰρ ἢ ὧδε σέβειν τὸ θεῖον ἢ τιμᾶν τοὺς γονεῖς τὸ κατὰ συνθήκην δίκαιόν τε καὶ νόμιμον λέγει. διὸ καὶ ἄλλοτε ἄλλως παρ' ἄλλοις τούτων ἕκαστον. ἀεὶ δὲ καὶ παρὰ πᾶσίν ἐστι τὸ τιμᾶν τε καὶ σέβειν τὸ θεῖον ἐν τῇ τῶν ἀνθρώπων ἐνιδρυμένον φύσει. διὸ καὶ οὐχ ὁτὲ μέν, ὁτὲ δ' οὔ, οὐδὲ παρ' οἷς μέν, παρ' οἷς δ' οὔ. καθόλου δὲ ταῦτά τις λέγων εἶναι φύσει δίκαια οὐκ ἂν ἁμαρτάνοι τῆς ἀληθείας, ὧν χωρὶς ἀδύνατον εἶναι κοινωνίαν. οὐ γὰρ δὴ τὸ μὲν τῆς κοινωνίας φύσει, οὐ φύσει δὲ τὸ δι' ὧν ἡ κοινωνία σώζεται, ἀλλ' ἔστιν ἀνάγκη, φυσικῆς οὔσης τῆς κοινωνίας, εἶναι φύσει καὶ τὰ δίκαια, δι' ὧν ἐστιν ἡ κοινωνία. ὅτι γὰρ τὸ δίκαιον συνέχει τὴν κοινωνίαν δῆλόν ἐστιν ἐπὶ τῶν ἀδικωτάτων εἶναι δοκούντων. οὗτοι δέ εἰσιν οἱ λῃσταί, οἷς ἡ πρὸς ἀλλήλους κοινωνία ὑπὸ δικαιοσύνης σώζεται τῆς πρὸς ἀλλήλους. διά τε γὰρ τὸ μὴ πλεονεκτεῖν ἀλλήλους καὶ διὰ τὸ μὴ ψεύδεσθαι, καὶ διὰ τὸ τιμᾶν τὸ κρεῖττον δοκοῦν καὶ τὸ τὰ συγκείμενα φυλάττειν, καὶ διὰ τὸ βοηθεῖν τοῖς ἀσθενεστέροις; διὰ ταῦτα ἡ πρὸς ἀλλήλους αὐτοῖς κοινωνία συμμένει, ὧν πᾶν τοὐναντίον εἰς οὓς ἀδικοῦσιν ποιοῦσιν. ὅτι γὰρ φύσει ταῦτά ἐστι δίκαια, σημεῖον μέγιστον τὸ μηδ', ἂν συνθῶνται τὰ ἀντικείμενα τούτων πρὸς ἀλλήλους ὡς δίκαια, δύνασθαι συμμένειν αὐτῶν τὴν κοινωνίαν, καίτοι γε ἦν ἂν ἀκόλουθον πᾶν ὁμοίως τῆς κοινωνίας εἶναι σωστικὸν ἐν συνθήκῃ γενόμενον. εἰ δὲ τὰ μὲν συνθεμένων καὶ μὴ συνθεμένων τηρεῖ τὴν κοινωνίαν, τὰ δ' ἀντικείμενα τούτων φθείρει, ἃ συνθεμένους σώζει, φύσει ταῦτά ἐστιν, κἂν κατὰ συνθήκην γένηται. ἔοικεν γὰρ ἡ συνθήκη ζήτησίς τις εἶναι τοῦ φύσει δικαίου καὶ ὁμολογία κοινὴ τῶν εὑρημένων. ἀλλ' οἱ μὲν τῶν ζητούντων καὶ εὑρίσκουσιν τὸ ζητούμενον, οἱ δὲ διαμαρτάνουσιν, ὥσπερ οὖν καὶ ἐν τοῖς ἄλλοις πᾶσιν τοῖς διὰ ζητήσεως εὑρίσκεσθαι πεφυκόσιν. ἔτι οἱ διεγνωκότες ἀδικεῖν τε καὶ λῃστεύειν οὐκ ἐξετάσαντες τὰ κείμενα νόμιμα διὰ τοῦ ταῦτα παραβαίνειν λῃστεύουσίν τε καὶ κακουργοῦσιν, ἀλλ' ὡς ὄντων φανερῶν ἀδικημάτων, δι' ὧν τὸ λῃστεύειν, ἄγουσιν ἐπ' αὐτό. εἰ δ' ἔστιν ἄδικά τινα φύσει, καὶ οὐ τῇ τῶν συγκειμένων δικαίων παραβάσει, ἀνάγκη καὶ δίκαια φύσει λέγειν εἶναι τὰ τούτοις ἐναντία. ὅτι δέ ἐστιν ἄδικα φύσει, δῆλον ἐκ τοῦ παρὰ πᾶσιν καὶ

---

4 ὁμολογουμένων καὶ κεκυρωμένων] cf. οὕτως καὶ ὑποκειμένων μέν, μὴ προηγησαμένης μεν τῆς φαντασίας ὁρμὴν ἀδύνατον γενέσθαι 161,11 εἰ ἴσον τόπον κατέχει ἥ τε ψυχὴ καὶ τὸ σῶμα σὺν αὐτῇ, καὶ χωρισθείσης τὸ σῶμα μηδὲν ἐλάττονα 141,4 δεδειγμένου δέ 144,31
7 ἡγούμενον a 15 γὰρ δὴ v. c. γὰρ m^1 V: γὰρ δὴ a ἡ supra lin. V 19 λῃσταί, λῃστεύειν a δικαιούνης a 24 τὸ m^2, τοῦ m^1 V: τὸ a

τοῖς ὑπεναντιωτάτους ἔχουσι νόμους εἶναί τινα κοινά, ἃ οἱ τὸ ἀδικεῖν προαιρούμενοι πράττουσιν. εἰς οὓς ἀδικοῦσιν. πάντα γὰρ σχεδὸν οἱ λῃστεύοντες παρὰ πᾶσιν τὰ αὐτὰ ποιοῦσιν, εἰς οὓς ἀδικοῦσιν. εἰ δὲ τοῦτο, δῆλον ὡς καὶ τὰ τούτοις ἀντικείμενα, οὗσιν ἀδίκοις φύσει, δίκαιά ἐστι φύσει. καὶ γὰρ οὐδ' ἄλλο τί ἐστιν τὸ ἀδικεῖν ἢ παράβασις τοῦ δικαίου. ὥστε εἰ παράβασις δικαίου ἐστίν τις φύσει, δῆλον ὡς καὶ τὸ δίκαιον πολὺ πρότερον, οὗ ἡ παράβασις ἄδικός ἐστι, φύσει. ὕστερον γὰρ ἡ παράβασίς τινος ἐκείνου, οὗ ἐστιν παράβασις. οὐδὲν γὰρ ἄλλο ἄδικόν ἐστι τὸ φύσει, ἢ παράβασις καὶ ἐναντίωσις τοῦ φύσει δικαίου. ἔτι ὡς ἐπὶ τῶν ἄλλων ἀρετῶν ἔχει, οὕτως εὔλογον καὶ ἐπὶ δικαιοσύνης ἔχειν. ἐπὶ δὲ τῶν ἄλλων καθ' ἑκάστην αὐτῶν φύσει ἐστὶ τὰ πρασσόμενα ὑπ' αὐτῶν τοιαῦτα. φύσει γὰρ ἀνδρεῖα ὁ τὴν ἀνδρείαν ἔχων πράττει, καὶ φύσει σωφρονικὰ τὰ ἀπὸ σωφροσύνης πραττόμενα, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. ἔστιν ἄρα καὶ δίκαια φύσει πραττόμενα καὶ δικαιοσύνη.

Ὅτι οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν.

Εἰ ὁ τὴν ἀρετὴν ἔχων εὐδαίμων, ὁ δὲ εὐδαίμων εὐδαιμόνως βιοῖ (ἡ γὰρ εὐδαιμονία ἐν βίῳ), ὁ τὴν ἀρετὴν ἔχων εὐδαίμονα βιοῖ βίον. ὁ δὲ εὐδαίμων βίος αἱρετός, οὐκ ἀβούλητος· ὁ εὐδαίμων ἄρα βίος οὐκ ἀβούλητος. οὐκ ἄρα, ὃν καταλείπει τις βίον ἑκών, εὐδαίμων οὗτος βίος. ὁ δὲ τὴν ἀρετὴν ἔχων καταλείποι ἄν ποτε τὸν βίον τὸν μετὰ ἀρετῆς ἑκὼν διὰ τὴν ἐξαγωγὴν τὴν εὔλογον. ὁ τὴν ἀρετὴν ἄρα ἔχων βίος καὶ ὁ κατὰ ἀρετὴν οὐκ εὐδαίμων. οὐκ ἄρα ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν αὐτάρκης. ἔτι εἰ ὁ ζητῶν, εἰ αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν οὐκ ἄτοπόν τι ζητεῖ, ὁ δὲ ζητῶν, εἰ αὐτάρκης ἡ ἀρετὴ πρὸς ἀρετήν, ἄτοπόν τι ζητεῖ, οὐ ταὐτὸν ζήτημα ἑκάτερον αὐτῶν. εἰ δὲ μὴ ταῦτα ταὐτά, οὐ ταὐτὸν | ἀρετὴ καὶ εὐ- 156v
δαιμονία. ἀλλὰ μὴν τὸ πρῶτον, τὸ ἄρα δεύτερον. εἰ δὴ ἄλλο ἐστὶν ἀρετὴ καὶ εὐδαιμονία, δῆλον ὡς οὐκ ἐν τῷ ἀρετὴν ἔχειν τὸ εὐδαιμονεῖν, ὥσπερ οὐδὲ ἐν τῷ αὐλητικὴν ἔχειν τὸ αὐλεῖν. οὐκ ἄρα ἐν ἕξει μόνῃ καὶ κτήσει τῆς ἀρετῆς ἡ εὐδαιμονία. ἔτι εἰ ἄλλο τὸ ὑπό τινος γινόμενον τοῦ ποιοῦντος αὐτό, καὶ ἔστιν ἡ εὐδαιμονία γινομένη κατ' αὐτοὺς ὑπὸ τῆς ἀρετῆς, ἄλλο ἡ ἀρετὴ τῆς εὐδαιμονίας. τὸ δὲ πρῶτον, τὸ ἄρα δεύτερον. ἔτι εἰ ἡ εὐδαιμονία ἐν βίῳ καὶ ἐνέργεια, ἡ δὲ ἀρετὴ ἕξις, οὐ ταὐτὸν εὐδαιμονία καὶ ἀρετή. ἔτι εἰ πᾶσα τέχνη ἕτερον ἑαυτῆς ποιεῖ τι καὶ οὐχ ἑαυτήν, ἡ δὲ ἀρετὴ τέχνη κατ' αὐτοὺς εὐδαιμονίας ποιητική, ἕτερον ἂν εἴη τῆς ἀρε-

---

1 ὑπεναντιωτάτοις a 11 πραττόμενα a ἀνδρεῖα scripsi: ἀνδρεία Va 12 ἀπὸ τῆς a 15 editum est Basileae apud Joan. Vualder „Aristotelis et Xenophontis ethica politica et oeconomica“ (anno incerto) cf. p. 592sq., deinde ex hac Vualderi editione a Sylburgio post Aristotelis Ethica Francofurti 1584 p. 248sq. cf. 301. utrumque scias cum Aldinae lectione consentire, si hanc solam adnotavi 18 fortasse βίος αἱρετός, ⟨ὁ δὲ βίος αἱρετὸς⟩ οὐκ ἀβούλητος 21 ἐξαγωγὴν] ν in lit. V fortasse κατὰ ἀρετὴν ⟨ζῶν⟩ οὐκ 26 τὸ ἄρα V: ἄρα a, cf. 23,2 et 159,31 28 ἐν om. a μόνῃ a 32 ἐνεργείᾳ a 33 ποιεῖ V: ποιῇ a καὶ post τι om. a

τῆς ἡ εὐδαιμονία, τὸ γινόμενον ὑπ' αὐτῆς. ἔτι εἰ ἡ κατὰ ἀρετὴν ἐνέργεια τῆς εὐδαιμονίας ποιητική, πρὸς δὲ τὴν κατὰ ἀρετὴν ἐνέργειαν οὐκ ἔστιν αὐτάρκης ἡ ἀρετή, ἡ ἀρετὴ ἄρα οὐκ ἔστιν αὐτάρκης πρὸς εὐδαιμονίαν. ἤτοι γὰρ περὶ τὴν ἐκλογήν ἐστι τῶν ἡδέων κατ' Ἐπίκουρον, ἢ περὶ τὴν ἐκλογὴν τῶν κατὰ φύσιν, ὡς τοῖς ἀπὸ τῆς Στοᾶς δοκεῖ, ἢ τῶν ὁπωσοῦν ἄλλως οἰκείων, ἃ δεῖ ταῖς ἐνεργείαις αὐτῆς ὡς ὕλην ὑποκεῖσθαι πάντα ὡς τῇ χαλκευτικῇ χαλκόν, σίδηρον, πῦρ, ἄνθρακας. ὧν οὐδενός ἐστιν αὐτὴ ποιητική, χρῆται δὲ ὑποκειμένοις. τῶν γὰρ κατὰ φύσιν οὐχ ἡ κατὰ ἀρετὴν ἐνέργειά ἐστι ποιητική. εἰ δὴ περὶ ὑποκείμενά τινα ἡ ἐνέργεια αὐτῆς, ὧν οὐκ ἔστιν αὐτὴ ποιητική, οὐκ ἔστιν αὐτάρκης ἡ ἀρετὴ πρὸς τὰς οἰκείας ἐνεργείας, ἐπεὶ δεῖται καὶ τῶν περὶ ἃ ἡ ἐνέργεια ἔξωθεν ὄντων αὐτῆς. οὐδὲ γάρ, ὥς φασιν, τὸν ὧν οὐκ ἄνευ λόγον ἔχει ταῦτα, ἀλλ' ἔστιν κινητικὰ τῆς ἀρετῆς καὶ τοῦ πράττειν αὐτὴν καὶ ἐνεργεῖν αἴτια. στοχάζεται γὰρ αὐτῶν ὡς καὶ τῆς οἰκείας ὕλης οἱ τεχνῖται. ἀναιρεθήσεσθαι γοῦν φασι τὰς πράξεις αὐτοῖς τούτων μὴ ἐπισπωμένων καὶ κινούντων ταῖς ἐν αὐτοῖς διαφοραῖς τὰς ἀρετάς. οὐδὲ γὰρ οἱ αὐλοί, εἰ πρὸς τὸ εἶναι ἡμῖν συνετέλουν, διὰ τοῦτο οὐκ ἦσαν συντελοῦντες πρὸς τὸ αὐλεῖν, ἀλλὰ τὸν ὧν οὐκ ἄνευ λόγον ἐπεῖχον. οὐκ ἄρ' εἰ ἀναγκαίως ὑπάρχει τῷ ἀνθρώπῳ ταῦτα οἷς ἡ ἀρετὴ χρῆται καὶ ἄνευ αὐτῶν μή ἐστι, διὰ τοῦτο οὐ γίνεται πρὸς τὴν ἐνέργειαν τῇ ἀρετῇ συντελοῦντα ἄλλα γε ὄντα αὐτῆς. ἔτι εἰ πρὸς τὴν τῶν κατὰ φύσιν ἐκλογὴν χρεία καὶ σώματος ὑγιαίνοντος καὶ αἰσθήσεων, ἃ ἐστιν ἔξω τῆς ἀρετῆς (πῶς γὰρ ἄνευ τούτων κατὰ τρόπον ἂν τῶν κατὰ φύσιν τὴν ἐκλογὴν ποιήσαιτο; ταῦτα δὲ τῆς ἀρετῆς ἔξω), οὐκ αὐτάρκης ἡ ἀρετή, καὶ ἔτι, εἰ περὶ τὴν τῶν κατὰ φύσιν καὶ οἰκείων ἐκλογὴν ἡ ἐνέργεια τῆς ἀρετῆς καὶ περὶ τὴν ἀποικονομίαν καὶ ἔκκλισιν τῶν τούτοις ἐναντίων, δεῖ δηλονότι παρεῖναι, ἃ ἐκλέξεται. οὐ γὰρ δὴ ἀεὶ τῷ ἀνθρώπῳ ταῦτα πάρεστι. διὰ γοῦν τὴν τούτων ἔνδειαν ὁ τὴν ἀρετὴν ἔχων ἑαυτὸν ἐξάγει ποτέ. οὐδὲ γὰρ διὰ τὸ ἀδυνατεῖν ἐκλέγεσθαι ταῦτα ἡ ἐξαγωγή. ὅπερ ἔργον τῆς ἀρετῆς, ἀλλὰ τῷ μὴ παρεῖναι, ἃ οὐκ ἐπ' αὐτῇ. εἰ δὴ οὐκ ἐπ' αὐτῇ μὲν ἡ τούτων παρουσία, ἡ δὲ ἐνέργεια αὐτῆς περὶ τὴν τούτων ἐκλογήν, οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς τὴν οἰκείαν ἐνέργειαν. ἔτι διττῆς οὔσης τῆς ἐνεργείας καθ' ἑκάστην τέχνην, τῆς μὲν ἐν προηγουμένοις, ὡς τῷ αὐλητῇ, εἰ ὑγιαίνοι τε τῷ σώματι καὶ αὐλούς, οἵους βούλεται ἔχοι καὶ μηδὲν ἔξωθεν αὐτὸν ἐνοχλοῖ, τῆς δὲ ἐν ἀβουλήτοις καὶ ἐναντίοις τῶν προ-

6 πάντα Usenerus: ταῦτα Va 7 χαλκευτικὴ a 8—9 χρῆται δὲ — ἐστι ποιητική om. a Vualder Sylburg 10 αὐτὴ Usenerus: αυτη V: αὕτη a 12 τὸν ὧν οὐκ ἄνευ λόγον] de hoc cf. 161,26 αἱ αἰσθήσεις .. εἰ μὲν πρὸς τὸ εἶναι τὸν ἄνθρωπον ἀναγκαίου χώραν ἔχουσιν, μηκέτι δὲ συνεργοῦσιν πρὸς τὰς ἐνεργείας τῆς ἀρετῆς, τὸν ὧν οὐκ ἄνευ λόγον ἔχοιεν ἄν. εἰ δὲ πρὸς τῷ ἀναγκαῖαι εἶναι καὶ συνεργοῦσιν..., οὐκ ἔχουσιν τὸν ὧν οὐκ ἄνευ λόγον 15 μὴ V: μὲν a 17 fortasse ἦσαν ⟨ἂν⟩ 18 οὐκ ἄρ' Usenerus: οὐ γὰρ Va 19 οὐ scripsi: οὐν (sic) V: οὖν a 21 ἐκλογὴν] κ in lit. V ὑγιαίνοντος om. Vualder 22 ἄνευ] ευ in lit. V 23 ποιήσαντο a 24 περὶ] ἐπὶ Vualder ut solet. Sylburg correxit in adnot. 30 παρουσία a τούτων] ν in lit. V 31 οὐκ om. a 33 ὑγιαίνοι τε] ι τ in lit. V αὐλούς] α in lit. V 34 αὐτῶν ἐνοχλεῖ a ἐναβουλήτοις a

ειρημένων, ὥσπερ ταῖς ἄλλαις τέχναις τὸ τέλος ἐν ταῖς περὶ τὰ βουλητὰ καὶ ἐν προηγουμέναις ἐνεργείαις, οὕτως καὶ ἐπὶ τῆς ἀρετῆς, εἴ γε καὶ αὕτη τέχνη. ἔτι εἰ μηδεμία τέχνη αὐτάρκης πρὸς τὴν οἰκείαν ἐνέργειαν τῷ δεῖσθαι δι' ὧν τε ἐνεργήσει καὶ περὶ ἃ, τέχνη δὲ καὶ ἡ ἀρετή, οὐδ' ἂν αὐτὴ αὐτάρκης εἴη πρὸς τὴν κατ' αὐτὴν ἐνέργειαν. ἔτι εἰ ἡ ἀρετὴ περὶ τὴν ἐκλογὴν τῶν κατὰ φύσιν, μὴ οἷόν τε δὲ ἐκλογήν τινων ποιεῖσθαι καὶ κρίσιν μὴ πρότερον φαντασίαν περὶ αὐτῶν λαβόντα, ταύτην δὲ οὐχ οἷόν τε μὴ αἰσθανομένῳ ὑπάρξαι καὶ αἰσθανομένῳ ὑγιῶς, δεῖ μὲν αἰσθήσεως ὑγιαινούσης πρὸς τὴν καὶ περὶ ταῦτα ἐνέργειαν αὐτῇ, οὐκ ἔστιν δὲ ταύτης κυρία, οὐδ' ἂν τῆς ἐνεργείας εἴη κυρία. ὡς γὰρ μὴ ὄντων τῶν ὑποκειμένων οὐχ οἷά τε ἦν ἐνεργεῖν, ὧν οὐκ ἦν αὐτὴ κυρία, οὕτως καὶ ὑποκειμένων μέν, μὴ προηγησαμένης δὲ φαντασίας ὁρμὴν ἀδύνατον γενέσθαι, φαντασία δὲ αἰσθήσεώς πως ἐχούσης, ἂν μὴ διαψεύδωνται αὐτὸν αἱ φαντασίαι. εἰ δὲ μήτε πρὸς τὴν ὑπόστασιν τῶν περὶ ἃ ἡ ἐνέργεια, μήτε πρὸς φαντασίαν καὶ αἴσθησιν ἡ ἀρετὴ αὐτάρκης, ὧν χωρὶς οὐκ ἐνεργεῖ, οὐδ' ἂν πρὸς τὴν ἐνέργειαν αὐτάρκης εἴη τὴν ἑαυτῆς. ἔτι εἰ οἷόν τε τὴν ἀρετὴν ἔχοντα καὶ ἐν ληθάργῳ καὶ ἐν μελαγχολίᾳ καὶ ἐν σκοτώσει καὶ ἐν παρακοπῇ γενέσθαι, ἐν οἷς ὄντα ἀδύνατον κατ' ἀρετὴν ἐνεργεῖν, οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς τὰς οἰκείας ἐνεργείας. πῶς γὰρ οἷόν τε λέγειν τὸν παρακόπτοντα καὶ δεσμῶν δεόμενον διὰ τοῦτο καὶ τῆς ἐκ τῶν φίλων βοηθείας φρονίμως ἐνεργεῖν τότε μὴ βουλομένους θέσιν φυλάττειν; ἔτι εἰ ἡ ἀρετὴ τὰ μὲν διωθεῖ καὶ ἐκκλίνει τῶν ἀδιαφόρων κατὰ τούτους, τὰ δὲ αἱρεῖται καὶ ἐκλέγεται, οὐκ αὐτάρκης ἂν εἴη πρὸς εὐδαιμονίαν. πῶς γὰρ εὐδαίμων ὁ ὢν ἐν τούτοις, ἃ ἡ ἀρετὴ διωθεῖται; ἢ γὰρ οὐκ εὖ ποιεῖ διωθουμένη αὐτά, ἢ οὐχ οἷόν τε εὐδαιμονεῖν παρόντων τούτων, ἃ ἦν διωθεῖσθαι τῆς ἀρετῆς ἔργον. αἱ δὲ αἰσθήσεις καὶ αὐταί, εἰ μὲν πρὸς τὸ εἶναι τὸν ἄνθρωπον ἀναγκαίου χώραν ἔχουσιν, μηκέτι δὲ συνεργοῦσιν πρὸς τὰς ἐνεργείας τῆς ἀρετῆς, τὸν ὧν οὐκ ἄνευ λόγον ἔχοιεν ἄν· εἰ δὲ πρὸς τῷ ἀναγκαῖαι εἶναι τῷ ἀνθρώπῳ καὶ συνεργοῦσιν πρὸς τὰς πράξεις, καὶ προσχρῆται αὐταῖς ἡ ἀρετὴ πρὸς τὰς ἰδίας ἐνεργείας (ἡ γὰρ φαντασία κρηπὶς τῶν κατ' ἀρετὴν πράξεων), οὐκ ἔχουσιν τὸν ὧν οὐκ ἄνευ λόγον πρὸς τὰς κατ' αὐτὴν ἐνεργείας, ὡς ἔχει ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ὁ τόπος καὶ ὁ χρόνος. εἰ γὰρ ἐνεργήσομεν κατὰ ἀρετὴν ὁπωσοῦν ἐχουσῶν τῶν αἰσθήσεων, ἤτοι καὶ ταῖς ψευδέσιν φαντασίαις ταῖς ἀπὸ τῶν τοιούτων αἰσθήσεων | συγκαταθησόμεθα 157r καὶ ταύταις ἀκόλουθα πράξομεν (καὶ πῶς σπουδαίου τοῦτο;), ἤ, εἰ ἐφέξομεν καὶ μὴ συγκαταθησόμεθα, οὐδὲν δὲ πράξομέν τι τῶν ἐπ' αὐταῖς, ὥστ' οὐδὲν ἐνεργήσομεν. εἰ δ' ἄλλα τινὰ ἐνεργήσουσιν, ἐφέξουσιν δὲ περὶ τούτων, οὐ πρὸς πάντα κατὰ τὸν βίον κατὰ τοῦτο κατὰ ἀρετὴν ἐνεργήσει ὁ τὴν ἀρετὴν ἔχων, ὥστε οὐκ αὐτάρκης πρὸς τὰς οἰκείας ἐνεργείας, ἃς γε διὰ τήν τινων ἀπουσίαν οὐδὲ ἐνεργεῖ. τὸ δὲ λέγειν καὶ κοιμωμένους ἐνεργεῖν (καὶ γὰρ

11 οἷόν τε a οὐκ ἦν] cf. 160,4 sq. αὐτὴ a: αυτη V ὑποκειμένων] cf. 158,4
12 fortasse φαντασίᾳ δὲ ⟨δεῖ⟩ 13 αὐτὸν V: αὐτῶν a: fortasse αὐτὴν 21 εἰ om. a
24 αὐτα V: αὐτοὺς a 26 αὐταὶ a: αὐται V 28 ἀναγκαίῳ a 30 κρητὶς a: κριτὴς Vualder Sylburg 35 fortasse ἢ [εἰ] ἐφέξομεν

μνημονεύειν τινῶν· διεγερθέντες γοῦν ἔχουσιν τὴν μνήμην καὶ οὐκ ἀποβεβλήκασιν) ὅμοιον καὶ τῷ λέγειν κοιμωμένους ὁρᾶν, ἐπεὶ καὶ ἐξυπνισθέντες ὁρῶσιν καὶ μὴ ἀπέβαλον τὴν δύναμιν τὴν ὁρατικήν. ἔτι εἰ μὴ ψυχῆς εὐδαιμονία ζητεῖται, ἀλλὰ ἀνθρώπου, ὁμολογεῖται δὲ τὸν ἄνθρωπον ἐκ ψυχῆς εἶναι καὶ σώματος, ὧν ἑκατέρου ἐστὶ καὶ ἀγαθὰ οἰκεῖα καὶ κακὰ διαφέροντα ἀλλήλων, ὥσπερ οὖν καὶ αὐτὰ ἀλλήλων ἕτερα, πῶς οὐκ ἀκολουθεῖ τὸ τὸ τέλος τοῦ ἐξ ἀμφοῖν ὄντος καὶ τὸ ἀγαθὸν προσδεῖσθαι τοῦ ἑκατέρου τούτων, ἐξ ὧν ἐστιν, ἀγαθοῦ; εἰ δὲ τοῦτο, οὐκ αὐτάρκες τὸ τῆς ψυχῆς ἀγαθὸν πρὸς τὸ τοῦ ἀνθρώπου τέλος, ἀλλὰ δεῖ αὐτῷ καὶ τῶν τοῦ σώματος, σώματος δὲ ἀγαθὰ ὑγίεια, ἢ γίνεται περὶ τὴν τῶν πρώτων σωμάτων, ἐν οἷς τῷδε τὸ εἶναι, εὐκρασίαν, ἰσχύς, ἣ ἐστιν ἐν τῇ εὐτονίᾳ τῶν δευτέρων καὶ ἐξ ἐκείνων συγκειμένων σωμάτων, κάλλος, ὅ ἐστιν ἐν τῇ εὐσχημοσύνῃ καὶ συμμετρίᾳ τῶν τρίτων ἤδη καὶ ἀνομοιομερῶν σωμάτων, ἃ καὶ μέρη τοῦ σώματος λέγομεν προσεχῆ. ὡς γὰρ ἐπὶ τῆς ψυχῆς πασῶν τῶν ἀρετῶν καθ' ἑκάστην δύναμιν χρεία πρὸς τὸ τοῦ ἀνθρώπου τέλος, οὕτως δὲ καὶ ἐπὶ τοῦ σώματος. ἔτι εἰ πρὸς ἃ ἐκ φύσεως ὁ ἄνθρωπος οἰκείωται, ταῦτα καὶ ἔχειν εὖ βούλεται ἡ ἀρετή, ἀβούλητον δέ ἐστιν αὐτῇ τὸ μὴ εὖ ἔχειν ταῦτα, οἰκείωται δ' ἐκ φύσεως ὥσπερ πρὸς αὑτὸν αὐτὸς καὶ τὰ μόρια αὐτοῦ καὶ τὰς δυνάμεις καὶ τὰς ἀκρότητας, οὕτως δὲ καὶ πρὸς τοὺς πλησίον, γονεῖς τε καὶ φίλους, οἰκείους, πολίτας (κοινωνικὸν γὰρ καὶ πολιτικὸν ζῷον), δῆλον ὡς καὶ ταῦτα εὖ ἔχοντα καὶ σωζόμενα συντελοῖ τι ἂν αὐτῷ πρὸς τὸ οἰκεῖον ἀγαθὸν καὶ τέλος καὶ ὅσων αὐτῷ χρεία πρὸς τὸ σώζειν δύνασθαι αὑτόν τε καὶ ἕκαστον τῶν πρὸς ἃ οἰκείωται ἐκ φύσεως. ὥστε καὶ τῶν ὠφελίμων ἀγαθῶν αὐτῷ δεῖ, ἃ ἢ ποιητικὰ γίνεται τῶν δι' αὐτὰ αἱρετῶν τῷ ἀνθρώπῳ (ταῦτα δέ ἐστιν πρὸς ἃ ἐκ φύσεως οἰκείωται), ἢ φυλακτικὰ αὐτῶν, ἢ τῶν ἐναντίων αὐτοῖς ἀλεξητικά. ἔτι εἰ ἡ εὐδαιμονία συμπλήρωσις ἀγαθῶν, ἕκαστον δὲ τῶν πρὸς ἃ ἐκ φύσεως οἰκειώμεθά ἐστιν ἀγαθόν τι, πῶς οὐ πάντων δεῖ τούτων εἰς τὴν συμπλήρωσιν τῶν ἀγαθῶν; τὸ γὰρ οἰκειοῦσθαι μὲν λέγειν ἡμᾶς πρὸς πλείω, μηδὲν μέντοι διαφέρειν ἡμῖν ὁπωσοῦν ἐχόντων αὐτῶν, μαχόμενα λέγειν ἐστίν. εἰ δὲ δεόμεθα αὐτῶν, πῶς ἂν εὐδαιμονεῖν τις λέγοιτο ἀπολειπομένων αὐτοῦ τούτων ὧν δεῖται, εἴ γε ἀνενδεὲς ἡ εὐδαιμονία καὶ τέλειον. ἔτι εἰ αἱ κοιναὶ περὶ εὐδαιμονίας ἔννοιαι αὐτάρκειάν τε αὐτὴν ζωῆς τίθενται (ἀνεπιδεῆ γὰρ τὸν εὐδαίμονα προειλήφασιν) καὶ τὴν εὐδαιμονίαν τὸ ἔσχατον τῶν ὀρεκτῶν ὑπολαμβάνουσιν (ἀλλὰ καὶ τὸ ζῆν κατὰ φύσιν καὶ τὸν κατὰ φύσιν βίον εὐδαιμονίαν λέγουσιν, πρὸς δὲ τούτοις τὸ εὖ ζῆν καὶ τὸ εὖ βιοῦν καὶ τὴν εὐζωίαν εὐδαιμονίαν φασὶν εἶναι), εἰ τοιοῦτον μὲν ἡ εὐδαιμονία προείληπται, πρὸς μηδὲν δὲ τούτων αὐτάρκης ἡ ἀρετή, οὐδ' ἂν πρὸς εὐδαιμονίαν αὐτάρκης

2 τῷ scripsi: τὸ Va cf. 60,25 ὅμοιον γὰρ το λέγειν κεχωρισμένα εἶναι τὰ αἰσθανόμενα τῇ λέγειν 3 εὐδαιμοία a 6 οὖν del. Madvig Cic. de fin. 4,11,26, sed cf. Ind. 7 τὸ τὸ V: τὸ a καὶ τὸ ἀγαθὸν del. Madvig ib. 9 σώματος] ς in lit. V 17 τὸ in lit. V 18 αὐτὸν a 21 συντελεῖ a 23 δύναται Vualder Sylburg αὐτὸν Va καὶ om. a 24 αὐτὰ Sylburg 26 εἰ ἡ om. a Vualder: ἡ om. Sylburg 27 ἕκαστον scripsi: ἑκάστου Va 32 ἀνενδεὲς V: ἀνενδεὴς a cf. Ind. s. v. neutrum

εἴη. ἆρ' οὖν ὁ τὴν ἀρετὴν ἔχων ἐν αὐταρκείᾳ ἐστὶν καὶ οὐδενὸς ἐπιδεῖται κατὰ τὸν βίον; ἢ πολλά ἐστιν, ὧν ὁ τὴν ἀρετὴν ἔχων δεῖται· ὑγιείας ἰσχύος, εὐπορίας καὶ πλεόνων ἄλλων καὶ τοῦτο καὶ καθ' οὓς ἡ ἀρετὴ αὐτάρκης πρὸς εὐδαιμονίαν τίθεται. λέγουσι γὰρ εἶναί τινα προηγμένα τῷ σοφῷ καὶ ἀξίαν ἔχοντα καὶ οἰκεῖά τινα καὶ ἐπισπαστικά, ἀλλὰ καὶ δίχα κειμένων ἀρετῆς τε σὺν τούτοις καὶ ἀρετῆς μόνης, μηδέποτ' ἂν τὸν σοφὸν τὴν κεχωρισμένην ἐλέσθαι, εἰ εἴη αὐτῷ δυνατὸν τὴν μετὰ τῶν ἄλλων λαβεῖν. εἰ δὲ τοῦτο, δῆλον ὡς χρείαν ὁ σοφὸς ἕξει τούτων. γελοῖος γὰρ ἂν εἴη ἐκλεγόμενος μὲν αὐτά, πρὸς οὐδὲν δ' αὐτῶν ἀναφέρων τὴν ἐκλογήν. πῶς οὖν ἔτι τὸ ἔσχατον ὀρεκτὸν ἡ ἀρετὴ εἴη ἄν, καὶ οὗ τυχόντες οὐδενὸς ἂν ἄλλου ἔτι ὀρεγοίμεθα, καὶ αὐτάρκης εἴη πρὸς τὸ ζῆν; εἰ δὲ μὴ πρὸς ταῦτα, οὐδὲ πρὸς εὐδαιμονίαν. κεῖται γὰρ ἡ εὐδαιμονία τοιοῦτον. εἰ δὲ εἴη ὁ κατὰ φύσιν βίος εὐδαίμων κείμενος, πῶς ἡ ἀρετὴ πρὸς τοῦτον αὐτάρκης; ἡ γὰρ φύσις ἡ τὴν ψυχὴν ἡμῖν δοῦσα ἔδωκε καὶ τὸ σῶμα, καὶ πρὸς τὰς ἑκατέρου τούτων τελειότητάς τε καὶ οἵας δεῖ κατασκευὰς ᾠκείωσεν ἡμᾶς, ὥστε ὁ τῆς τοῦ ἑτέρου τούτων τελειότητος κατὰ φύσιν στερόμενος οὐδ' ἂν κατὰ φύσιν βιοῖ (τὸ γὰρ κατὰ φύσιν τὸ κατὰ τὸ βούλημα τῆς φύσεως ἀκούεται)· εἰ δὲ μὴ τοῦτο, οὐδὲ εὐδαιμόνως. ἔτι εἰ τὸ σῶμα ἡμῖν ὄργανον ὂν ὑπὸ τῆς φύσεως δέδοται πρὸς τὰς κατὰ φύσιν πράξεις, ἐν παντὶ δὲ ὀργάνου δεομένῳ, οὗ χάριν τὸ ὄργανόν ἐστιν, εἰς τοῦτο συντείνει καὶ ἡ τοῦ ὀργάνου ἀρετή, εἴη ἂν καὶ ἡ τοῦ σώματος ἀρετὴ συντείνουσα πρὸς τὰς κατὰ φύσιν πράξεις καὶ τὸν κατὰ φύσιν βίον. οὐκ ἄρα οἷόν τε ἄνευ τῶν τοῦ σώματος ἀρετῶν κατὰ φύσιν βιοῦν. εἰ δὲ τοῦτο, οὐδὲ εὐδαιμονεῖν. ἔτι εἰ μηδὲν μάτην ἡ φύσις ποιεῖ (οὐδὲ γὰρ ἄλλη τις τέχνη τῶν ὑπ' αὐτῆς γινομένων μάτην τι ποιεῖ, ἀλλ' ἕκαστον τῶν ὑπὸ τέχνης γινομένων συντείνει πρὸς τὸ οἰκεῖον αὐτῆς τέλος, τέχνη δέ τις θεία καὶ ἡ φύσις, ὥστε καὶ τὰ ἀπ' αὐτῆς γινόμενα συντείνοι ἂν πρὸς τὸ οἰκεῖον τοῦ ἐν ᾧ γίνεται τέλος, οἰκειώσει δὲ ἡμᾶς πρὸς τοῦτο τά τε σωματικὰ καὶ ἐκτὸς ἀγαθά, συνεργὰ ἄρα καὶ ταῦτα πρὸς τὸ κατὰ φύσιν ἡμῶν τέλος, καὶ οὐ μάτην ἡ οἰκείωσις ἡ πρὸς ταῦτα), οὐκ ἄρα αὐτάρκης ἡ ἀρετὴ πρὸς τὸ κατὰ φύσιν τοῦ ἀνθρώπου τέλος, εἴ γε μήτε πρὸς τὴν κτῆσιν μήτε πρὸς τὴν τήρησιν τούτων πρὸς ἃ ἐκ φύσεως οἰκειώμεθά ἐστιν αὐτάρκης. ἔτι εἰ | ὑπὸ ἐκλογὴν πίπτει ταῦτα τῇ ἀρετῇ κατ' αὐτούς, καὶ ἡ φύσις τῆς τούτων ἐκλογῆς ἕνεκεν οἰκείων ὄντων ἡμῖν τὴν ἀρετὴν παραλαμβάνει, τῶν δὲ τούτοις ἀντικειμένων ἀποικονομίας, ἆρα ἐκλέγεσθαι μὲν δεῖ τὰ σωματικὰ καὶ ἐκτὸς ἀγαθά, οὐχὶ δὲ καὶ ἐπιμελεῖσθαι αὐτῶν; τί δὲ τοῦτο μέν, οὐχὶ δὲ καὶ κτᾶσθαι αὐτά; τί δὲ κτᾶσθαι μέν, οὐχὶ δὲ καὶ τὴν χρῆσιν πρός τι αὐτῶν

---

2 ὑγειας Va 4 πρὸς (sic) V προηγμένα V: προηγούμενα a 5 ἐπισπαστικά V: ἐπιστατικά a 8 γὰρ ἂν v. c. ἂν m¹ V: γὰρ ἂν a 13 τοῦτο a 15 δεῖ V: δὴ a ᾠκείωσεν V: ἐκείνωσεν a: οἰκείωσεν Vualder Sylburg 18 ἡμῖν in lit. V 20 δεομένου a 27 συντείνοι V Sylburg: συντείνει a 34 παραλαμβάνειν a 35 ἀποικονομίας V Sylburg: ἀπ' οἰκονομίας a cf. 160,25 36 οὐχί] χ in lit. V

συντείνειν; πρὸς τί οὖν, εἰ μὴ πρὸς τὸ τέλος; οὔτε γὰρ ἂν ἡ φύσις ἐβούλετο, οὔθ' ἡ ἀρετὴ προσέταττεν, οὔθ' ὁ σοφὸς ἐξελέγετο, εἴπερ οὐδὲν διέφερεν ἔχειν αὐτὰ ἢ μή. οὐδὲ γὰρ ἄλλη τις τέχνη ἐκλέγεταί τι αὐτοῦ χάριν τοῦ ἐκλέξασθαι μόνου, ἀλλὰ πάντων ἡ ἐκλογὴ πρὸς τὸ τέλος ἔχει τὴν ἀναφοράν. ἐν γὰρ τῇ χρήσει τῶν ἐκλεγομένων, οὐκ ἐν τῇ ἐκλογῇ τῶν ὑποκειμένων τὸ τέλος, καὶ καθόλου πῶς οὐκ ἄτοπον τὸ τὴν ἀρετὴν ἐπὶ τοῦτο λέγειν εἶναι μόνον, ἐπὶ τὸ ἐκλέγεσθαι; εἰ γὰρ ἀδιάφορος ἡ κτῆσις τῶν ἐκλεγομένων καὶ μὴ συντείνουσα πρὸς τὸ τέλος, κενὴ ἂν εἴη καὶ ματαία ἡ ἐκλογή. ἀλλ' εἰ καὶ ἡ εὐδαιμονία ἐν τῷ εὖ ζῆν εἴη, οὐδὲ πρὸς τοῦτο ἡ ἀρετὴ αὐτάρκης. λέγεται γὰρ εὖ ζῆν ὁ χρώμενος ἀρετῇ καὶ ζῶν κατὰ ἀρετὴν καὶ πράττων τι. ἐν γὰρ πράξει ποιᾷ ἡ εὐζωΐα ἀνθρώπου, τῶν δὲ πράξεων αἱ μέν εἰσιν κτητικαί, αἱ δὲ χρηστικαὶ τοῖς κτηθεῖσιν. ἐν μὲν οὖν ταῖς κτητικαῖς οὐκ ἂν εἴη τὸ τέλος (ἑτέρου γὰρ χάριν αὗται), ἐν δὲ ταῖς χρηστικαῖς. οὐδὲ γὰρ τοῖς τεχνίταις τὸ τέλος ἐν τῷ κτᾶσθαι τὰ οἷς χρήσονται, ἀλλ ἐν τῇ χρήσει τούτων τῇ κατὰ τὴν τέχνην. καὶ τῇ ἀρετῇ δὴ τὸ ἔσχατον καὶ τὸ τέλος οὔσῃ τέχνῃ καὶ αὐτῇ οὐκ ἐν ἐκλογῇ καὶ περιποιήσει τινῶν, ἀλλ' ἐν χρήσει τῶν περιποιηθέντων. εἰ δ' ἐν ταῖς χρηστικαῖς τῶν ἐνεργειῶν καὶ πράξεων ἡ εὐδαιμονία καὶ ἡ εὐζωΐα, αὗται δὲ οὐκ ἄνευ τῶν σωματικῶν ἀγαθῶν καὶ τῶν ἐκτὸς καὶ τῶν οἰκείων καὶ κατὰ φύσιν, ὧν ἡ ἀρετὴ ἐκλεκτική, οὐκ ἂν ἡ ἀρετὴ εἴη αὐτάρκης πρὸς εὐζωΐαν τε καὶ εὐδαιμονίαν. ἔτι εἰ ὑπὸ τῆς φύσεως τὸ σῶμα ὄργανον τῷ ἀνθρώπῳ πρὸς τὰς πράξεις δέδοται, καὶ τὰ τούτου ἀγαθὰ συντείνοι ἂν πρὸς τὸ ἐν ταῖς πράξεσιν ἀγαθὸν τοῦ ἀνθρώπου καὶ τὸ τέλος, ὥσπερ καὶ ἐπὶ τῶν τεχνῶν. καὶ γὰρ τὸ τῶν αὐλῶν ἀγαθὸν πρὸς τὸ εὖ αὐλεῖν. εἰ δὲ τοῦτο, οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν. εἰ γὰρ μηδὲν πρὸς τὴν κατὰ τὸν βίον ἐνέργειαν καὶ τὴν εὐδαιμονίαν καὶ τὸ τέλος ταῦτα συντελοῖ, μάτην ἂν εἴη ὑπὸ τῆς φύσεως ἡμῖν δεδομένον τὸ σῶμα. οὐ γὰρ δή, ἃ παρόντα ὠφελεῖ, ταῦτα ἀπόντα οὐκ ἐλαττοῖ τὸ ἔργον, ὃ ὠφελεῖ. ἔτι εἰ, ὅσα τῆς ἰατρικῆς ἐστιν ἕνεκεν, ταῦτα καὶ τῆς ὑγιείας χάριν ἐστὶν τῆς γινομένης ὑπ' αὐτῆς, καὶ ὅσα τῆς κυβερνητικῆς, καὶ τῆς εὐπλοίας, ἣν αὐτὴ ποιεῖ, καὶ ὅσα τῆς ἀρετῆς ἕνεκεν, καὶ τῆς εὐδαιμονίας ἔσται, εἰ ταύτης ἔργον ἡ εὐδαιμονία, τὰ δὲ σωματικὰ καὶ τὰ ἐκτὸς καὶ αὐτοί φασιν τῆς ἀρετῆς ἕνεκα εἶναι, ὅπως ἐκλέγηται αὐτὰ καὶ περιποιῆται, ὥστε καὶ πρὸς τὸ τέλος ταῦτα χρήσιμα. εἰ δὲ τοῦτο, οὐκ αὐτάρκης πρὸς τὸ τέλος ἡ ἀρετή. ἔτι ὅσα τοῦ ἰατροῦ χάριν, ἢ ἰατρός, ταῦτα καὶ τῆς ὑγιείας, ὃ τέλος ἐστὶ καὶ σκοπὸς τῷ ἰατρῷ, καὶ ὅσα τοῦ κυβερνήτου χάριν, ἢ κυβερνήτης, ταῦτα καὶ τῆς εὐπλοίας, ὃ τέλος ἐστὶ τοῦ κυβερνήτου. καὶ ὅσα δὴ τοῦ ἀνθρώπου ἕνεκεν, ἢ ἄνθρωπος. ταῦτα καὶ τοῦ τέλους αὐτοῦ τουτέστιν

3 ἢ in lit. V 4 μόνου corr. ex. μόνον V 5 ἐν] ν in lit. V 10 ἀρετὴ καὶ Va 11 ποιᾷ a 16 ἐν V Sylburg: ἐν om. a 19 ἐκτὸς] ο in lit. V 25 ἢ a 26 συντελεῖ a 28 ὃ Valder: ὁ Va 29 ὑγείας Va 32 εὐδαινία a αὐτο[] αὐτὰ Sylburg 35 ὑγιείας V: ὑγείας a 36—37 καὶ σκοπὸς τῷ — ὁ τέλος ἐστὶ om. a Vualder Sylburg 37 ταῦ[τὰ V

τῆς εὐδαιμονίας. τὰ δὲ σωματικὰ καὶ τὰ ἐκτὸς τοῦ ἀνθρώπου ἕνεκά ἐστι καὶ ἡ ἄνθρωπος, ὥστε καὶ τῆς εὐδαιμονίας. οὐκ αὐτάρκης ἄρα ἡ ἀρετὴ πρὸς τὸ τέλος. ἔτι εἰ ὥσπερ κατὰ νοῦν πράττειν λέγομέν τινα οὐχ ὅτι νοῦν ἔχων πράττει ὅπως δή, ἀλλ' ὅτι ὡς ὁ νοῦς βούλεται, καὶ κατὰ ψυχὴν οὐχ ὅτι ψυχὴν ἔχων, ἀλλ' ὅτι ὡς ἡ ψυχὴ βούλεται, οὕτως καὶ ὁ κατὰ ἀρετὴν πράττων πράττοι ἂν κατὰ ἀρετὴν οὐχ ὅτι ἔχει ἀρετήν, ἀλλ' ὅτι ὡς ἡ ἀρετὴ βούλεται, καὶ ἐν οἷς καὶ δι' ὧν. ἔστιν δὲ τὸ εὐδαιμονεῖν ἐν τῷ κατὰ ἀρετὴν πράττειν. τὸ εὐδαιμονεῖν ἄρα ἐστὶν ἐν τῷ κατὰ τὸ βούλημα τῆς ἀρετῆς. κατὰ βούλημα δὲ τῆς ἀρετῆς ἐστιν τὸ εἶναι μετὰ τῶν ἐκλεκτῶν τε αὐτῇ καὶ οἰκείων καὶ αὐτῆς ἕνεκα κατεσκευασμένων. φορὰ ἄρα καὶ ταῦτα πρὸς τὴν κατὰ ἀρετὴν ἐνέργειαν, τουτέστιν πρὸς εὐδαιμονίαν. εἰ δὲ τοῦτο, οὐκ αὐτάρκης ἡ ἀρετή. ἔτι ὥσπερ τῷ αὐλητῇ [πρὸς] τὸ εὖ αὐλεῖν ἐν τῷ αὐλεῖν ἐστιν καὶ οὐκ ἔστιν ἀδιάφορον τῷ αὐλητῇ πρὸς τὸ εὖ αὐλεῖν καὶ τὸ ἴδιον τέλος τὸ αὐλεῖν (ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν), οὕτως καί, εἰ τῷ εὐδαιμονοῦντι ἐν τῷ εὖ ζῆν ἐστιν τὸ εὐδαιμονεῖν, οὐκ ἂν εἴη αὐτῷ ἀδιάφορον τὸ ζῆν πρὸς τὸ εὖ ζῆν, ἀλλὰ συντελοῦν πρὸς τὸ εὖ ζῆν. εἰ δὲ τοῦτο, οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς τὸ τέλος, εἴ γε κατὰ ταύτην οὐ τὸ ζῆν, ἀλλὰ τὸ εὖ ἡμῖν περιγίνεται μόνον. ἔτι εἰ ὁ τὴν ἀρετὴν ἔχων μάλιστα ἂν παρεῖναι αὐτῷ βούλοιτο τά τε σωματικὰ ἀγαθὰ καὶ τὰ ἐκτός, καὶ παρόντα τε φυλάττοι καὶ μὴ παρόντα ἐκλέγοιτό τε καὶ κτῷτο, καὶ ὑπὲρ αὐτῶν εὔχοιτο τοῖς θεοῖς, δῆλον ὡς ἐλαττούμενος πρὸς τὸ προκείμενον αὐτῶν, εἰ μὴ παρείη ταῦτα, βούλοιτ' ἂν αὐτά. εἰ δὲ ἐλαττοῦται, τῶν ἐναντίων τούτοις παρόντων αὐτῷ, πῶς εὐδαίμων; ἔτι εἰ τὸν μὲν τὴν ἀρετὴν ἔχοντα ἐνδέχεται μαίνεσθαι καὶ νοσεῖν, εὐδαιμονεῖν δὲ τὸν μαινόμενον, ὅτε μαίνεται, ἢ τὸν νοσοῦντα ἢ τὸν κοιμώμενον οὐδεὶς ἂν εἴποι, οὐκ ἂν εἴη τὸ εὐδαιμονεῖν ἐν τῷ τὴν ἀρετὴν ἔχειν. ἔτι εἰ ὅλως πρὸς τὸ εἶναί τε καὶ ὁπωσοῦν ἐνεργεῖν ἡ ἀρετὴ δεῖταί τινων, ἐν δὲ τῇ κατ' αὐτὴν ἐνεργείᾳ τὸ εὐδαιμονεῖν τινα, πῶς ἂν αὐτάρκης πρὸς εὐδαιμονίαν εἴη, δεομένη τινῶν ἔξωθεν πρὸς τὸ ἐνεργεῖν, ἐν ᾧ τὸ εὐδαιμονεῖν; ἔτι εἰ τῷ σοφῷ τὰ κατὰ φύσιν ὀρεκτά, οὐδενὸς δὲ μᾶτην ὁ σοφὸς ὀρέγεται, ἔχοι ἂν ταῦτα, ὧν ὀρέγεται, πρὸς τὸ τέλος τὸ οἰκεῖον αὐτοῦ τὴν ἀναφορὰν καὶ συντελοῖ ἄν τι αὐτῷ πρὸς εὐδαιμονίαν. ἔτι ἤτοι προσχρωμένη τισὶν ἡ ἀρετὴ τυγχάνει τοῦ τέλους ἢ ὅλως αὐτὴ καθ' αὑτήν. εἰ μὲν δὴ προσχρωμένη, οὐκ αὐτάρκης ἔσται πρὸς τὸ τέλος, εἰ δὲ καθ' αὑτήν, ταὐτὸν ἔσται ἀρετὴ καὶ εὐδαιμονία. ἀλλὰ ὁρῶμεν ἀδύνατον ἐπὶ τῶν τεχνῶν τὸ | τοιοῦτον· τριῶν 158r
γὰρ δεῖ καθ' ἑκάστην πρὸς τὸ τέλος, τοῦ τέλους καὶ τοῦ τυγχάνοντος τοῦ τέλους καὶ τοῦ ἐπιφέροντος τὸ τέλος· ὁ μὲν γὰρ τυγχάνων ἰατρὸς ἢ κυβερνήτης, τὸ δὲ τέλος ἡ εὔπλοια ἢ ὑγίεια, τὸ δ' ἐπιφέρον ταῦτα ἰατρικὴ ἢ

---

4 βούλεται] a in lit. V 6 ἂν κατὰ ἂν κατὰ a 12 αὐτάρκης V 12—13 ὥσπερ τῷ αὐλητῇ — αὐλεῖν ἐστιν] τὸ αὐλεῖν post ἐστιν addit Sylburg, melius πρὸς delebis, quod suadent verba respondentia εἰ τῷ εὐδαιμονοῦντι ἐν τῷ εὖ ζῆν ἐστιν τὸ εὐδαιμονεῖν 19 αὐτῷ Sylburg: αὐτῷ Va 20 παρόντα a: παρον (παρο-|) V 31 συντελεῖ a 38 ὑγεία Va

κυβερνητική. καὶ ἐπὶ εὐδαιμονίας δὴ ὁ μὲν τυγχάνων ὁ σοφός, τὸ δὲ τέλος ἡ εὐδαιμονία, τὸ δ' ἐπιφέρον ἡ ἀρετή. ὡς οὖν ἡ ἰατρικὴ οὐκ ἔστιν ὑγίεια, ὑγιείας δὲ ποιητική, καὶ ἡ κυβερνητική, οὖσα εὐπλοίας ποιητική, οὐκ ἔστιν εὔπλοια, οὕτως οὐδὲ ἡ ἀρετή, οὖσα εὐδαιμονίας ποιητική, εἴη ἂν εὐδαιμονία. οὐδὲν γάρ ἐστι τῶν ποιούντων τι αὑτοῦ ποιητικόν. ὥστε οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς τὴν εὐδαιμονίαν τὴν γινομένην ὑπ' αὐτῆς. ἔτι εἰ ἕκαστος τῶν τεχνιτῶν, ἃ κατὰ τὴν τέχνην ἐκλέγεται, συνεργὰ πρὸς τὸ τέλος τὸ τῆς τέχνης ἔχει, καὶ ὁ τὴν ἀρετὴν ἔχων, ἃ ἐκλέγεται κατὰ τὴν ἀρετήν, ὡς συνεργὰ ἂν πρὸς τὸ τέλος αὐτῷ ἐκλέγοιτο. ἐκλέγεται δὲ τά τε σωματικὰ καὶ τὰ ἐκτός, εἴ γε καὶ ὅλως ἡ ἀρετὴ τῆς τούτων χάριν ἐκλογῆς παρῆλθεν. οὐ γὰρ δή, ἀρετὴ οὖσα, μάτην ἐκλέγεταί τινα. οὐκ ἄρα αὐτάρκης. εἰ δ', ὅτι καὶ αἱ ἄλλαι πᾶσαι τέχναι ἐκλέγονται καὶ τὰ σωματικὰ ἀγαθὰ καὶ τὰ ἐκτός, μὴ λέγουσιν αὐτὰ ὄργανα γίνεσθαι τῆς ἀρετῆς, ῥητέον πρῶτον μὲν ὅτι οὐδὲν ἄτοπον τὸ ταὐτὰ πλείοσιν τέχναις εἶναι χρήσιμα. εἶτα ἐκείνων μὲν οὐδείς, καθό ἐστιν τεχνίτης τῆσδέ τινος τῆς τέχνης, ἐκλέγεται αὐτά, ἀλλὰ κατὰ συμβεβηκός. οὐ γὰρ καθὸ αὐλητής τίς ἐστιν ἢ κυβερνήτης ἐκλέγεται πλοῦτον ἢ δόξαν, ἀλλὰ καθὸ ἄνθρωπος. ἡ δὲ ὑγίεια, εἰ ἦν κἀκείνοις ὄργανον, τῇ δὲ ἀρετῇ προηγουμένως τούτων ἐκλογή. τοῦτο γὰρ ἔργον αὐτῆς. ἐκλεκτικὴ γὰρ τούτων ἐστὶ καὶ δοκιμαστική, ὥστε εἴη ἂν καὶ ὄργανα αὐτῆς καὶ συνεργὰ πρὸς τὸ ὑπ' αὐτῆς γινόμενον τέλος. ἔτι οὐκ, εἰ ᾧ ὁρῶμεν, τῇ τούτου ἀρετῇ εὖ ὁρῶμεν, καὶ ᾧ ἀκούομεν τῇ τούτου ἀρετῇ εὖ ἀκούομεν, καὶ διὰ τοῦτο, ᾧ ζῶμεν, τῇ τούτου ἀρετῇ εὖ ζῶμεν, ὥστε εἴη ἂν ⟨τῇ⟩ τῆς ψυχῆς ἀρετῇ εὐδαιμονία (ψυχῇ γὰρ ζῶμεν), οὐ δὴ διὰ τοῦτο οὐδενὸς ἔξωθεν ἄλλου δεησόμεθα παρὰ τὴν ἀρετὴν τῆς ψυχῆς πρὸς τὸ εὖ ζῆν. καὶ γὰρ ἐπὶ τοῦ ὀφθαλμοῦ τῷ μὲν ὀφθαλμῷ ὁρῶμεν καὶ τῇ τούτου ἀρετῇ εὖ ὁρῶμεν, ἀλλ' ὅμως πρὸς τὸ εὖ ὁρᾶν καὶ φωτὸς δεόμεθα καὶ ἄλλων τινῶν. καὶ γὰρ τοῦ μηδὲν ἐπισκοτεῖν καὶ διαστήματος συμμέτρου καὶ μεγέθους ποσοῦ καὶ τοῦ ὁραθησομένου χρώματος. οὕτως δὴ καὶ εὖ μὲν ζῶμεν τῇ τῆς ψυχῆς ἀρετῇ, δεόμεθα μέντοι καὶ ἄλλων τινῶν εἰς τοῦτο συνεργῶν τε καὶ ὀργάνων. καὶ γὰρ καὶ κατὰ τὰς τέχνας καὶ ταῖς κατ' αὐτὰς ἀρεταῖς εὖ πράττομεν τὰ κατὰ ταύτας, ἀλλ' ὅμως δεόμεθα πρὸς τὰ κατὰ τὰς τέχνας τέλη καὶ ἄλλων τινῶν, ἃ ἐστιν ἕτερα παρὰ τὰς τέχνας. καὶ ἡ ἀρετὴ δὴ ὡς τέχνη ποιητικὴ τῆς εὐδαιμονίας ἔσται, οὐ μὴν διὰ τοῦτο ἄνευ τῆς ὕλης καὶ τῶν οἰκείων ὀργάνων. ἔτι εἰ μὲν οὕτως λέγοιτο ἡ ἀρετὴ αὐτάρκης πρὸς εὐδαιμονίαν, ὡς καὶ τῶν τεχνῶν ἑκάστη πρὸς τὸ οἰκεῖον ἔργον, ὅτι οὐκ ἄλλης τινὸς τέχνης προσδέονται πρὸς τὸ τὸ κατ' αὐτὰς ποιεῖν ὑγιές (οὐδὲ γὰρ ἡ ἀρετὴ ἄλλης τινὸς δυνάμεως καὶ τέχνης προσδεῖται πρὸς τὸ σὺν ἐκείνῃ τὴν εὐδαιμονίαν ποιεῖν· προσδεήσεται μέντοι κατὰ τοῦτο ὁμοίως ταῖς τέχναις καὶ ἄλλων

1 τέλος ἡ a: τέλος V 2 ἡ ἀρετὴ m¹ in mg. V 3 ὑγεία ὑγιείας V: ὑγεία ὑγείας a 5 αὐτοῦ a 9 αὐτῷ Sylburg: αὐτῷ Va ἐκλέγοιτο] ιτ in lit. V 11 παρῆλθεν] cf. p. 163,33 ἡ φύσις τῆς ἐκλογῆς ἕνεκεν τὴν ἀρετὴν παραλαμβάνει ἄρα] accent. et spir. in lit. V 23 τῇ addidi ἀρετῇ scripsi: ἀρετὴ Va 24 οὐ V Sylburg: οὔ a 36 (et 38) τινὸς sic V

τινῶν πρὸς τὸ τὸ ἴδιον ἔργον ἀποδιδόναι), εἰ δέ τις λέγοι τὰς ἀρετὰς οὕτως αὐτάρκεις πρὸς εὐδαιμονίαν, ὅτι μηδέ τινος ὅλως ἔξωθεν προσδέονται, οὐχ ὑγιῶς ἐρεῖ. πολλῶν γὰρ ἔξωθεν, ὥσπερ αἱ τέχναι, οὕτως δὲ καὶ ἡ ἀρετὴ δεῖται, ὡς ἐδείχθη, πρὸς τὸ περιποιῆσαι τὸ τέλος. τὸ δὲ φάναι ὥσπερ τὴν αὐλητικὴν παντὶ τῷ δοθέντι μέλει ὀρθῶς δύνασθαι χρῆσθαι, οὕτως καὶ τὴν ἀρετὴν παντὶ πράγματι, ὑγιὲς μέν ἐστιν, προσδιασταλτέον δέ, ὡς οὔτε ἡ αὐλητικὴ ἄνευ τῶν οἰκείων ὀργάνων δυνατὴ ποιῆσαι τοῦτο, οὐθ' ἡ ἀρετή, ἀλλὰ μόνης μὲν αὐτῆς τὸ ἔργον ἐστὶ τοῦτο, οὐ μὴν χωρίς γε τῶν εἰς αὐτὸ συνεργῶν. ἔτι οὐκ, ἐπεὶ πᾶσιν τοῖς πράγμασιν καλῶς χρῆται, ἤδη καὶ ἡ παντὸς χρῆσις εὐδαιμονική, ἀλλ' ἡ τῶν βουλητῶν τοιάδε χρῆσις. ἔστι δέ τινα καὶ ἀβούλητα τῷ σπουδαίῳ προσπίπτοντα, οἷς εὖ μὲν καὶ αὐτοῖς χρῆται, οὐ μὴν περὶ ταῦτα ἐνέργεια αὐτῷ καὶ ἡ τοιάδε χρῆσις τῶνδε εὐδαιμονική. ἔτι τὰ οἰκεῖα προηγμένα καὶ εὔχρηστα καὶ ἀξίαν ἔχοντα πρὸς τί ποτε ταύτας ἔχει τὰς ὀνομασίας, εἰ μηδὲν συνεργεῖ πρὸς εὐδαιμονίαν; πᾶν γὰρ τὸ προηγμένον πρός τι προῆκται, καὶ τῷ φορὸν εἶναι πρὸς τὸ προκείμενον μᾶλλον ἄλλου διὰ τοῦτο λέγεται καὶ προῆχθαι πρὸς τὸ τέλος, καὶ ἡ προαγωγὴ αὐτῶν δῆλον ὡς συνεργεῖ πρὸς εὐδαιμονίαν. εἰ δὲ μὴ πρὸς τοῦτο συνεργεῖ, πρὸς δὲ τὸν κατὰ φύσιν βίον, ἄξιον ἐρέσθαι περὶ τοῦ κατὰ φύσιν αὐτοὺς βίου, πότερον οὗτος ἀγαθόν ἐστιν, ἢ οὐκ ἀγαθὸν μέν, οἰκεῖον δὲ καὶ αὐτὸ καὶ προηγμένον, ἢ ἀλλότριον καὶ ἀποπροηγμένον ἢ ἀρρεπὲς ὅλως. παρὰ γὰρ ταῦτα οὐδὲν οἷόν τε ἀποκρίνασθαι. οὐ γὰρ δὴ κακόν γε ἐροῦσιν αὐτόν. εἰ μὲν οὖν ἀγαθόν, πρῶτον μὲν πῶς οὐχὶ τὰ συμπληρωτικὰ αὐτοῦ καὶ ποιητικὰ ἀγαθὰ ἂν καὶ αὐτὰ εἴη, ὥστε ἀγαθὰ τὰ προηγμένα; ἔπειτα δὲ οὐ μόνον ἔσται τὸ καλὸν ἀγαθόν· καὶ γὰρ ὁ κατὰ φύσιν βίος, εἴ γε ἀγαθὸν καὶ πρὸς εὐδαιμονίαν ἔσται συντελῶν, εἴ γε ἡ εὐδαιμονία συμπλήρωσις ἀγαθῶν, ὥστε οὐκ αὐτάρκης πρὸς εὐδαιμονίαν ἡ ἀρετή. εἰ δὲ ἀλλότριον καὶ ἀποπροηγμένον ἢ ἀρρεπές, πῶς οὐ γελοῖον τὰ ποιητικὰ αὐτοῦ προηγμένα λέγειν; τί γὰρ μᾶλλον τὰ πρὸς τοῦτο φορὰ προηγμένα, ἢ τὰ πρὸς τὸ ἀντικείμενον αὐτῷ; εἰ δὲ καὶ αὐτὸς προηγμένος τε καὶ ἀξίαν ἔχων ἐστὶν ὁμοίως ἐκείνοις, καὶ διὰ τοῦτον τοιαῦτα ἦν καὶ τὰ ποιητικὰ αὐτοῦ, εἰς τί προῆκται καὶ ἀξίαν ἔχει, πευσόμεθα παρ' αὐτῶν, ὥσπερ καὶ περὶ τῶν τούτου ποιητικῶν, ἐπεὶ πᾶν τὸ προηγμένον πρός τι προῆκται. εἰ μὲν οὖν εἰς τὴν εὐδαιμονίαν φήσουσιν, συνεργὸς ἂν ὁ κατὰ φύσιν εἴη βίος πρὸς εὐδαιμονίαν, οὕτως δὲ καὶ τὰ τούτου ποιητικά, καὶ οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς αὐτόν, εἰ δὲ πρὸς ἄλλο τι φήσουσιν, ὁ αὐ-

1 οὕτως] fortasse ἁπλῶς 2 αὐτάρκεις] ει in lit. V ἔξω a 3 ὑγειῶς a 4—5 τὸ δὲ φάναι, ὥσπερ .. δύνασθαι χρῆσθαι, οὕτως κτλ.] cf. ἀνεπαίσθητος γάρ, ὃν λέγουσιν προεμπίπτειν, ὁ ἀήρ, οὐ τῇ ποσότητι τὸ διάστημα ἀναμετρεῖσθαι p. 135,5 φῶς γάρ τι ἐκπέμπεσθαι ἀπὸ τῆς ὄψεως, ὃ τῇ ἀπορροίᾳ ... ἀναγγέλλειν p. 137,2 6 πρὸς διασταλτέον V 13 ἔχοντα v. c. ἔχον m¹ V: ἔχοντα a 16 λέγεται] ατ in lit. V προῆχθαι] ατ in lit. V 18 ἐρέσθαι scripsi: ἔρεσθαι a: αἱρεσθαι (sic) V. 20 καὶ post αὐτὸ om. a ἀποπροηγμένον V Sylburg: ἀπὸ προηγουμένον a 21 ἢ Vualder: ἡ Va 27 ἀπὸ προηγμένον V 28 φορὰ V Sylburg: φορᾶ a 29 προηγμένος] ante ς una lit. eras. V 32 προηγμένον V Vualder Sylburg: προγμένον a

τὸς καὶ περὶ ἐκείνου, καὶ τοῦτ' εἰς ἄπειρον. καθόλου δέ, εἰ ἡ ἀρετὴ αὐτάρκης πρὸς τὸ παρασχέσθαι τὸν βίον ἡμῶν ἄκρως εὐδαίμονα καὶ μακάριον, πῶς εὔλογος ἐξαγωγὴ τῷ τὴν ἀρετὴν ἔχοντι ἐν μακαρίῳ βίῳ ὄντι; ὡς γὰρ ἄτοπον τὸ λέγειν τὸν Δία ἐθέλειν ἀποθανεῖν, οὕτως ἄτοπον καὶ τὸν ἐπίσης τούτῳ μακαρίως ζῶντα ἑαυτὸν ἐξάγειν εὐλόγως τοῦδε τοῦ βίου. τῶν μὲν σωματικῶν καὶ ἐκτὸς ἀδιαφόρων ὄντων καὶ μήτε ποιούντων τὴν εὐδαιμονίαν μήτε ἀναιρούντων, τῆς δὲ ἀρετῆς, ἣ μόνη καὶ κατασκευάζει τὸν μακάριον βίον καὶ φυλάττει βέβαιον παροῦσα, μηδέποτ' ἂν ἀπολειπούσης τὸν σοφόν. τὸ γὰρ μήτε παρόντος τινὸς κακοῦ μήτε προσδοκωμένου τῆς τε ἄκρας εὐδαιμονίας περὶ αὐτὸν οὔσης τὸν βίον ἀπολιπεῖν καὶ αὐτὴν τὴν ἀρετὴν βούλεσθαι θαυμάσιον καὶ τῷ κατὰ λόγον μαχόμενον. πῶς γὰρ εὔλογον τὴν ἀρετὴν τοῦθ' ὑποβάλλειν τῷ σοφῷ; οὐδὲ γάρ, ὥσπερ ἐπὶ τῶν ἄλλων τινός, οὕτως δὲ καὶ ἐπὶ εὐδαιμονίας εὔλογον λέγειν, ἅλις ἔχειν. οὐδεὶς γὰρ κόρος εὐδαιμονίας καὶ ἀρετῆς. εἰς ἄπειρον γὰρ τῶν τελῶν ἡ ὄρεξις καὶ οὐκ ἐπ' ἄλλο τι αὐτῶν ἡ ἀναφορά. τὸ γὰρ εὔλογον ἐξαγωγὴν τίθεσθαι ἐξομολογούντων ἐστὶ τὸ ἀδύνατον εἶναι χωρὶς τῶν σωματικῶν καὶ ἐκτὸς εὐδαίμονα γενέσθαι βίον. ἔτι εἰ εὔλογος μὲν ἡ ἐξαγωγή, κωλυθείημεν δὲ ἐξάγειν ἑαυτοὺς ἀπό τινος, πῶς οὐκ ἄθλιος ὁ βίος ἐν τοῖς τοιούτοις, δι' ἃ ἦν εὔλογον ἐξάγειν ἑαυτόν; εἰ δὲ ἄθλιος ὁ βίος, δῆλον ὡς οὐκ εὐδαίμων ἔτι· ὥστ' οὐδὲ ἀναπόβλητος ἡ εὐδαιμονία ἔσται κατά γε τοῦτο.

Ὅτι μὴ ἕτερον τῷ εἴδει τὸ θῆλυ καὶ τὸ ἄρρεν.

Τὸ θῆλυ καὶ τὸ ἄρρεν οὔ φησιν Ἀριστοτέλης διαφορὰς εἰδοποιοὺς εἶναι τοῦ ζῴου, ὅτι καθόλου αὐταί εἰσιν διαιρετικαὶ τῶν γενῶν εἰς τὰ εἴδη διαφοραί, αἳ ἔχουσαι ἐναντίωσιν καὶ ἀντίθεσιν κατὰ τὸν λόγον, αἱ δὲ ὑλικαὶ διαφοραὶ καὶ τὰ τοῦ ὑποκειμένου πάθη οὐ ποιοῦσιν ἕτερα τῷ εἴδει. διὰ τοῦτο τὸ λευκὸν καὶ τὸ μέλαν, καίτοι ἐναντία ὄντα, οὐ ποιεῖ σώματος εἰδικὴν διαίρεσίν τε καὶ διαφοράν. πάθη γὰρ ταῦτα τοῦ ὑποκειμένου, ἀλλ' οὐ τοῦ κοινοῦ εἴδους τε καὶ λόγου τοῦ σώματος διαίρεσις. ἐπεὶ τοίνυν καὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν κατὰ πάθος ὑλικὸν τὴν διαφορὰν ἔχει, οὐ ποιεῖ τὰ ζῷα τῷ εἴδει διάφορα. πέφυκε γὰρ καὶ ἀπεψίᾳ καὶ θερμότητι καὶ ψυχρότητι τῆς ὑποκειμένης ὕλης ἡ τούτων διαφορά. οὐ γάρ ἐστι ταῦτα τὰ πάθη οἰκεῖα τοῦ ζῴου κατὰ τὴν οὐσίαν καὶ τὸν λόγον, ἀλλὰ κατὰ τὸ ὑποκείμενον καὶ τὴν ὕλην καὶ τὸ σῶμα. διὸ τὸ αὐτὸ σπέρμα καὶ θῆλυ καὶ ἄρρεν οἷόν τε γενέσθαι, ἀλλ' οὐ λογικὸν ἢ ἄλογον ἢ πτηνὸν ἢ χερσαῖον. διὰ τὴν αὐτὴν δὲ αἰτίαν καὶ οἱ καθ' ἕκαστα ἄνθρωποι καίτοι διαφέροντες ἀλλήλων οὐκ εἰσὶν ἕτεροι κατὰ τὸ εἶδος. ὑλικοῖς γὰρ πάθεσιν διαφέρουσιν ἀλλήλων, ἀλλ' οὐ κατὰ τὸν

---

1 fortasse περὶ ἐκείνου ⟨λόγος⟩ 4 καὶ τὸν V: καὶ τὸ a 7 ἡ Va 11 τὴν a: τ cetera evanuerunt V 13 εὐδαιμονίας] υδ in lit. V λέγειν om. a ἅλις V Sylburg: ἄλος a 14 τῶν a: 'τῶν' τῶν V 18 δι' ἃ ἦν Sylburg: διὰ ἣν V: δι' ἣν a 20 εὐδαινία a 22 οὔ φησιν Ἀριστοτέλης] Ar. Met. 10,9 1858a31 24 αἳ ἔχουσαι] cf. 151,18 28 ἐπεὶ V: ἐπὶ a 36 ὑλικοῖς V: εἰδικοῖς a

λόγον καὶ τὴν ἐν τούτῳ διαφοράν, ποιότητι γὰρ σαρκῶν καὶ ποσότητι καὶ τοῖς τοιούτοις. διάφορος οὖν ὁ χαλκοῦς κύκλος καὶ ξύλινος, οὐχ ἕτεροι τῷ εἴδει, ὅτι κατὰ τὸ ὑποκείμενον αὐτοῖς, οὐ κατὰ τὸν λόγον ἡ διαφορά. οὕτως δὲ καὶ ἐπὶ τῶν ἀτόμων ἀνθρώπων. ἡ γὰρ ἐν τῷ λόγῳ ἐναντίωσις εἴδη διαφέροντα γεννᾷ, οὐχὶ τὰ κατὰ τὸ ὑλικὸν πάθη. καὶ τὸ ἄρρεν δὴ καὶ τὸ θῆλυ, ἐπεὶ μὴ κατὰ τὸν λόγον, ἀλλὰ κατὰ πάθος ὑλικὸν διαφέρουσιν, οὐχ ἕτερα τῷ εἴδει. ὅτι δὲ μή εἰσιν διαιρετικαὶ διαφοραὶ καὶ εἰδοποιοὶ τὸ ἄρρεν καὶ τὸ θῆλυ καὶ [τὸ] ἐκ τούτων δῆλον. ἤτοι γὰρ ἀνθρώπου εἰσὶν διαφοραὶ ἢ ἄλλου τινὸς εἴδους, ἐν οἷς τὸ μὲν ἄρρεν ἐστί, τὸ δὲ θῆλυ, ἢ τοῦ ζῴου τοῦ τούτων γένους. ἀλλ' ἀνθρώπου μὲν οὐκ ἔστι διαιρετικὴ διαφορά. αἱ γὰρ οἰκεῖαί τινος διαιρετικαὶ διαφοραὶ οὐκ εἰσὶν ἐπὶ πλέον ἐκείνου, ὃ διαιροῦσιν, οἷον τῶν τὸ ζῷον διαιρούντων διαφορῶν οὐδεμία ἔξω τοῦ ζῴου πίπτει οὐδὲ ὑπάρχει τινί, ὃ μὴ ζῷόν ἐστιν. περιέχεσθαι γὰρ δεῖ τὰς τεμνούσας τι κυρίως διαφορὰς ἐν τῷ τεμνομένῳ πρὸς αὐτῶν. εἰ γάρ τινες ἐπὶ πλέον εἶναι δοκοῦσιν τῶν τεμνομένων πρὸς αὐτῶν, τῷ μὴ τούτων εἶναι κυρίως, ἀλλὰ τῶν ἐπαναβεβηκότων αὐτοῖς γενῶν κατὰ τοῦτο δοκοῦσιν ὑπερβάλλειν τούτων, οὐκέτι ἐκείνων ἐκπίπτουσαι. οἷον εἴ τις τὸ πεζὸν ζῷον τέμοι τῷ δίποδι, δοκεῖ ἡ δίπουν διαφορὰ εἶναι καὶ ἐν παντὶ ζῴῳ. ἔστι γὰρ καὶ ἐν τῷ πτηνῷ· τοῦ γὰρ ζῴου κυρίως ἐστὶν διαιρετική, οὐ οὐκέτι ἐπὶ πλεῖον ῥηθῆναι δύναται. οὐ γάρ ἐστί τι μὴ ζῷον δίπουν. καὶ τὸ θῆλυ δὴ καὶ τὸ ἄρρεν οὐκ ἂν εἶεν ἀνθρώπου τμητικαὶ διαφοραί, ἐπεὶ καὶ ἐν ἄλλοις ζῴοις εἰσίν, καὶ οὐκ ἐν ἀνθρώποις μόνοις. διὰ ταῦτα οὖν οὐδὲ τῶν ἄλλων τινὸς εἶεν ἂν διαφοραὶ τῶν εἰδῶν τοῦ ζῴου, ἀλλ' οὐδὲ τοῦ ζῴου οἵόν τε λέγειν αὐτὰς τμητικὰς εἶναι καὶ εἰδῶν ποιητικάς. αἱ γὰρ ἀντιδιαιρούμεναι ἀλλήλαις διαφοραὶ οὐ δύνανται συνυπάρχειν ἐν εἴδει τῷ αὐτῷ. οὔτε γὰρ τὸ λογικὸν καὶ ἄλογον ἐν τῷ αὐτῷ εἴδει οἵόν τε εἶναι, οὔτε τὸ πεζὸν καὶ πτηνὸν ἢ ἔνυδρον οὔτε δίπουν καὶ ἄπουν, τὸ δὲ θῆλυ καὶ τὸ ἄρρεν ἐν τοῖς αὐτοῖς ἐστιν εἴδεσιν. καὶ γὰρ ἐν ἀνθρώπῳ ὄντι ταὐτῷ κατὰ τὸ εἶδος καὶ ἐν ἵππῳ καὶ κυνὶ καὶ τοῖς ἄλλοις ὁμοίως, ὅσα ἐκ συνδυασμοῦ γίνεται, οὐκ ἄρα τμητικαὶ διαφοραὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν· οὐδ' ἄρα ἕτερον τῷ εἴδει τὸ ἄρρεν καὶ τὸ θῆλυ, ὥστε οὐδὲ γυνὴ καὶ ἀνήρ. |

Τῶν παρὰ Ἀριστοτέλους περὶ τοῦ ἐφ' ἡμῖν. 159r

Περὶ τοῦ ἐφ' ἡμῖν ἐλέγετό τις καὶ τοιάδε δόξα. εἰ ἡ μὲν φύσις οὐχ ὁμοία πάντων, ἀλλ' ἔχει διαφοράν (φύσει γὰρ εὐφυεῖς τινες, οἱ δ' ἀφυεῖς· μεγίστην δὲ ἰσχὺν ἡ φύσις ἔχει πρὸς τὸ τοίους ἢ τοίους γίνεσθαι, μετὰ δὲ τὴν φύσιν τὰ ἔθη, ἐξ ὧν ἀμφοτέρων καὶ ἡ προαίρεσις ποιὰ γίνεται), πῶς ἔτι ἔσται ἐφ' ἡμῖν ἡ προαίρεσις, ὅλως ἀπορήσειεν ἄν τις. καὶ γάρ, εἰ καὶ τὴν διδασκαλίαν αἰτιῷτο, οὐδὲ τὸ μαθεῖν ἐφ' ἡμῖν, λέγω δὲ τὸ

8 τὸ delevi 10 ζούου a γένος a 18 fortasse ἡ ⟨κατὰ τὸ⟩ δίπουν 19 ἐστὶν παντὶ V γὰρ post ἔστι om. a 25 δύναται a 27 πτηνὸν καὶ πεζὸν καὶ ἔνυδρον a

τοιοῦτον ἐφ' ἡμῖν, οὗ καὶ τὸ ἀντικείμενον δυνατόν τέ ἐστι καὶ ἐφ' ἡμῖν, [ὁποῖον ἡμεῖς εἶναι τὸ ἐφ' ἡμῖν ἀξιοῦμεν]. ἔτι δὲ μᾶλλον ἀποροῖτ' ἂν τοῦτο, εἰ μηδὲν ἀναιτίως γίνοιτο· καὶ αὐτὸ ἅπασιν ἐδόκει. δεῖ γὰρ τῶν ἐπὶ τοῦ παρόντος ὑφ' ἡμῶν γιγνομένων προϋπάρχειν τὸ αἴτιον, ἀδύνατον δέ ἐστι τὴν αὐτὴν αἰτίαν εἶναι τῶν ἀντικειμένων, ἀλλ', εἰ τοῦτο, ἐξ ἀνάγκης πάντα τὰ γιγνόμενα γίγνεται· προκαταβέβληται γὰρ αὐτῶν τὰ αἴτια. τοῦτο δὴ οὕτως ἔχειν ἀναγκαῖόν ἐστιν, ἐὰν μή τις ἀναίτιος κίνησις εὑρεθῇ. εὑρίσκεται δὲ καὶ ἔστιν. οὐ δειχθέντος καὶ τὸ ἐφ' ἡμῖν σωθήσεται καὶ τὸ αὐτόματον καὶ τὰ ἐπὶ τῇ τύχῃ. δοκεῖ δὲ καὶ Ἀριστοτέλει εἶναί τις ἀναίτιος κίνησις ὡς ἐν τῷ πέμπτῳ λέγεται τῶν Μετὰ τὰ φυσικά. ἡ δὲ κατασκευὴ τοῦ εἶναι ἀναίτιον κίνησίν ἐστιν, εἰ δειχθείη ἐν τοῖς οὖσιν τὸ μὴ ὂν παρεσπαρμένον πως αὐτοῖς καὶ συνοδεῦον. εἰ γάρ ἐστίν πως τὸ μὴ ὂν ἐν τοῖς οὖσιν, ἔστι τὸ κατὰ συμβεβηκὸς ὄν. τὸ γὰρ μὴ ὄν, † συμβέβηκεν εἶναι λεγόμενον κατὰ συμβεβηκός τι ὄν, εἴη ἄν τις καὶ κίνησις ἀναίτιος, οὐ ὄντος δεδειγμένον ἂν εἴη τὸ προκείμενον. ὅτι δέ ἐστί πως τὸ μὴ ὂν ἐν τοῖς οὖσιν ἐνεργείᾳ, εὐκόλως ἄν τις ἐπιστήσας μάθοι. εἰ γὰρ τῶν ὄντων τὰ μέν ἐστιν ἀΐδια, ἄλλα δὲ φθειρόμενα, οὐ παρ' ἄλλην τινὰ ἂν αἰτίαν ἡ διαφορὰ τούτων ἐν αὐτοῖς εἴη ἄν ἢ παρὰ τὴν τοῦ μὴ ὄντος μετουσίαν. παρὰ γὰρ τὴν τούτου μῖξίν τε καὶ κρᾶσιν καὶ παρουσίαν ἡ ἀτονία τε καὶ ἀσθένεια τοῖς μὴ ἀϊδίοις ἐγγιγνομένη κωλύει αὐτὰ ἀεί τε

---

1 τε καὶ ἐφ' ἡμῖν suspectum cf. 171,23 2 ὁποῖον — ἀξιοῦμεν insiticium videtur 3 ἅπασιν ἐδόκει m², υπεσιν εδουει m¹, πασιν ἐδοκει v. c. V: ἅπασιν ἐδόκει Ca: fortasse γίνοιτο, ⟨δ⟩ καὶ αὐτό τισιν ἐδόκει 4 γιγνομένων V: γινομένων Ca 6 γίγνεται corr. ex. γίνεται V: γίνεται Ca δὴ V: δὲ Ca 9 τύχῃ v. c. et m², εὐχῇ m¹V: τύχῃ Ca 9 ἀριστοτέλει VC: ἀριστοτέλῃ a 10 ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά] i. e. ἐν τῷ E (cf. p. 151,9.11) τῶν Μετὰ τὰ φυσικά. respicit enim, ut videtur, Ar. Met. E 2, 1026ᵃ33—1027ᵇ16. 11 τοῦ Va: τῶν C τὸ μὴ m², μὴ m¹V: τὸ μὴ Ca 13 συμβεβηκος ὂν v. c. συμβεβηκοσιν m¹V: συμβεβηκός τι ὄν C: συμβεβηκὸς ὂν a τὸ γὰρ μὴ ὄν v. c. τὸ γὰρ δι' ὂν ὄν m¹V: τὸ γὰρ μὴ ὂν ὂν C: τὸ γὰρ μὴ ὂν ὄν a اللللا συμβέβη|κε (βη in mg. m¹, τινι sive γινι, quod in extremo margine a v. c. adscriptum est, ad vocem obscuram اللللا referendum esse videtur) V: συμβέβηκεν C: καὶ συμβέβηκεν a. locus corruptus ita fere restituendus videtur: εἰ γάρ ἐστίν πως τὸ μὴ ὂν ἐν τοῖς οὖσιν ((ἔστι δέ, ἐπεὶ ἐν τοῖς οὖσίν) ἐστὶ τὸ κατὰ συμβεβηκὸς ὄν· τὸ γὰρ μὴ ὄν, εἴ τινι συμβέβηκεν εἶναι, λεγόμενον [sc. ἐστὶ cf. p. 5,10] κατὰ συμβεβηκός τι ὄν), εἴη ἄν τις καὶ κίνησις ἀναίτιος. omnis quantum ego video huius capitis disputatio mirabili quadam nititur verborum Aristoteliorum interpretatione (Met. E 2, 1026ᵇ13) ὥσπερ γὰρ ὀνόματι μόνον τὸ συμβεβηκός ἐστιν. διὸ Πλάτων τρόπον τινὰ οὐ κακῶς τὴν σοφιστικὴν περὶ τὸ μὴ ὂν ἔταξεν et (v. 21, ib) φαίνεται γὰρ τὸ συμβεβηκὸς ἐγγύς τι τοῦ μὴ ὄντος. haec enim a logica ad physicam rationem transfereus sumit scriptor idem esse secundum Aristotelem τὸ μὴ ὄν atque τὸ κατὰ συμβεβηκός, et, cum τὸ συμβεβηκὸς in rebus esse appareat, esse etiam τὸ μὴ ὄν. hoc autem (in parenthesi v. 13, quam ego constitui) demonstrato pergit (v. 15), *etiam actu esse* τὸ μὴ ὄν: ὅτι δέ ἐστί πως τὸ μὴ ὂν ἐν τοῖς οὖσιν ἐνεργείᾳ κτλ. 15 οὐ ὄντος v. c. et m², οὐ παντος m¹V: οὐ ὄντος Ca πως m², πω m¹V: πως Ca 16 ὂν] ὄν a 17 ἐστιν ἀΐδια' sic m¹V ἄλλα δὲ φθειρόμενα m², αλλα αειρομεν m¹, ἄλλα φθειρόμενα v. c. V: ἄλλα δὲ φθειρόμενα Ca 18 αἰτίαν Ca: αιτιαν v. c. αιτια m¹V 19 τε VC: τι a 20 ἀτονία m², ἀτοπία m¹V: ἀτονία Ca

εἶναι καὶ ὁμοίως ἔχειν ἀεί. εἰ γὰρ μὴ ἦν τι τοῦ μὴ ὄντος ἐν τοῖς οὖσιν, οὐδ' ἂν τοῦ εὖ ἐγίγνετο. εἰ δὲ παρὰ μὲν τὴν τοῦ μὴ ὄντος μῖξιν τά τε φθαρτὰ τοιαῦτ' ἐστι, καὶ πρὸς αὐτοῖς τὰ ψευδῆ, ἔστι δέ τινα ἐν τοῖς οὖσιν φθαρτά τε καὶ φθειρόμενα καὶ ψευδῆ, ἔστιν τι τοῦ μὴ ὄντος ἐν αὐτοῖς. καὶ ἀνάπαλιν δὲ ὑγιές ἐστι ληφθέν· εἰ μή ἐστι τὸ μὴ ὂν ἐν τοῖς οὖσιν, οὐκ ἔσται τινὰ τῶν ὄντων φθαρτά. ἔστιν ἄρα τὸ μὴ ὄν. εἰ δή ἐστιν τὸ μὴ ὂν ἐν τοῖς ἐν γενέσει παρεσπαρμένον καὶ μεμιγμένον, τῶν δὲ γιγνομένων αἴτιά τινα προηγεῖται οὐδ' αὐτὰ ὄντα ἀΐδια, ἔστι καὶ ἐν τοῖς αἰτίοις τι τοῦ μὴ ὄντος καὶ τοῦτ' ἔστιν, ὃ λέγομεν κατὰ συμβεβηκὸς αἴτιον. τὸ γὰρ κατὰ συμβεβηκὸς ὂν ἐν τοῖς αὐτοῖς, ὅταν ὡς αἰτίοις ᾖ, κατὰ συμβεβηκὸς αἴτιον ἂν εἴη. ὅταν γὰρ ἐπί τινι αἰτίᾳ ἐπακολουθήσῃ τι, μὴ τοῦ τοῦτο γενέσθαι χάριν τῆς αἰτίας οὔσης, τότε τούτου τοῦ ἐπηκολουθηκότος κατὰ συμβεβηκὸς αἴτιον λέγεται τὸ προηγούμενον, τουτέστιν οὐκ αἴτιον ἄρα. ἐπακολουθῆσαν τούτῳ ἀναιτίως ἐγένετο· οὐ γὰρ δι' οἰκείαν αἰτίαν. τοῦτο δὲ ἐν μὲν τοῖς ἐκτὸς αἰτίοις γενόμενον τὴν τύχην ἐποίησεν καὶ τὸ αὐτόματον, ἐν δὲ τοῖς ἐν ἡμῖν τὸ ἐφ' ἡμῖν. αἰτία γὰρ ἐν ἡμῖν φύσις δοκεῖ καὶ ἔθος εἶναι τῆς προαιρέσεως, ἀλλά, καθόσον καὶ ἐν τούτοις ἐστὶ τὸ μὴ ὄν, κατὰ τοσοῦτον καὶ ἐν τῇ προαιρέσει. διὸ καὶ προαιρούμεθα ἔσθ' ὅτε ταῦτα, ὧν ἡ αἰτία οὐ προκαταβέβληται ἐν ἡμῖν δι' ἀσθένειαν καὶ ἀτονίαν τῆς θνητῆς φύσεως· ἀεὶ γὰρ ἂν ὁμοίως ἐπὶ τοῖς αὐτοῖς ἐκινούμεθα. ἀλλὰ ἡ τοῦ μὴ ὄντος φύσις, ὡς εἶπον, ἐν οἷς ἂν ᾖ ταῦτα, ἀφαιρεῖται τὴν ἀιδιότητα καὶ τὴν κατὰ τὰ αὐτὰ ἀεὶ ἐνέργειαν. ἃ οὖν ἀναιτίως καὶ μὴ προϋπαρχούσης αἰτίας προαιρούμεθα, ταῦτά ἐστιν τὰ λεγόμενα ἐφ' ἡμῖν, ὧν καὶ τὰ ἀντικείμενά ἐστι δυνατὰ διὰ τὸ τὴν αἰτίαν μὴ προκαταβεβλῆσθαι, ἥτις προϋπάρχουσα πάντως ἂν τοῦ γενέσθαι τοῦτο τὴν ἀνάγκην παρεῖχεν. διὰ ταῦτα πολλάκις τινὲς καὶ πεφυκότες ὁμοίως καὶ ἐν τοῖς αὐτοῖς ἔθεσιν ἠγμένοι διαφέροντες ἀλλήλων γίγνονται παρὰ τὰς ἀναιτίους προαιρέσεις. ἔστιν δὲ τὸ μὴ ὂν ἐγκεκραμένον τοῖς οὖσιν οὔτε πολλοῖς, οὔτε, ἐν οἷς ἐστι, πολύ τι, ἀλλὰ καὶ ἐν ὀλίγοις τῶν ὄντων καὶ ὀλίγον· τῶν τε γὰρ ὄντων ἐν τούτοις, ἐν οἷς τὸ μὴ ἀΐδιον (τοῦτο δέ ἐστι τὸ περὶ τὴν γῆν, καὶ ὁ τόπος οὗτος ἐλάχιστός ἐστιν ὡς πρὸς πάντα τὸν κόσμον· εἰ γὰρ ἡ γῆ σημείου λόγον ἐπέχει κατὰ τοὺς ἀστρολόγους πρὸς τὸν ἅπαντα οὐρανόν, περὶ ταύτην δὲ καὶ τὰ ἐν ταύτῃ τὸ μὴ ὄν, περὶ ὀλίγον πάνυ ἂν εἴη)· καὶ ἐν τούτοις δὲ ἀμυδρῶς πώς ἐστι καὶ οὐκέτι πολύ. ἐν γὰρ τοῖς ἐν γενέσει οὖσιν τὸ μὲν ἐπὶ πολύ ἐστιν, οὐ ἡ φύσις αἰτία, ὅσον δὲ παραλύε-

---

2 ἐγίγνετο] fortasse ἐφίετο 3—4 δέ τινα—ψευδῆ ἔστιν om. C 7 γενέσει V: γενέσι Ca 8 προηγεῖται οὐδ' αὐτὰ om. C αὐτὰ corr. ex. αὐ τὰ V 9 τι τοῦ m², του m¹ V: τι τοῦ Ca 10 ὂν ἐν—κατὰ συμβεβηκὸς om. C 11 αἰτία a ἐπακολουθήσει Ca μὴ τοῦ m², μὴ m¹ V: μὴ τοῦ Ca 12 ἐπηκολουθηκότος VC: ἐπηκολουθηκότως a 13 fortasse οὐκ αἴτιον. ⟨τὸ⟩ ἄρα ἐπακολουθῆσαν τούτῳ κτλ. 14 τούτω a 15 αὐτόματος a 17 εἶναι om. Ca 19 προκαταβέβληται] προκ in lit. V 20 ἐκινούμεθα] κι in lit. V 21 fortasse τοῦτο 22 κατ' αὐτὰ C 28 πολλῷ C 29 ὀλίγον m², οὐκ ὀλίγον m¹ V: ὀλίγον Ca τε] cf. Ind. 33 εἴη ἂν Ca

ται τῆς φύσεως καὶ τῆς δυνάμεως αὐτῆς πρὸς τὸ ἐξ ἀνάγκης τὰ κατ' αὐτὴν γίγνεσθαι γιγνόμενα (τοῦτό ἐστι τὸ ἐπ' ἔλαττον, ἐν ᾧ τὸ ἐνδεχόμενον καὶ ἄλλως ἔχειν), περὶ τοῦτό ἐστι καὶ ἡ ἀπὸ τοῦ μὴ ὄντος ἀσθένεια. οὔτε ἄρα ἐν τοῖς ἐξ ἀνάγκης ἐστὶ τὸ μὴ ὄν (διὸ οὐδὲ τὸ ἐνδεχόμενον), οὐδὲ τὸ ἐν τοῖς ἐπὶ πολύ, καθόσον οὕτως ἔχει, ἀλλ' ἐν τοῖς ἀντικειμένοις αὐτοῖς. ταῦτα δέ ἐστι τὰ ἐπ' ἔλαττον· ἐν τούτοις δέ ἐστι καὶ τὰ τυχηρὰ καὶ αὐτόματα καὶ κυρίως λεγόμενα ἐφ' ἡμῖν. ὧν γὰρ προαιρέσεων ἡ φύσις ἢ ἀγωγαὶ καὶ ἔθη ἐστὶν αἴτια, αὗται οὕτως ἐφ' ἡμῖν λέγονται ὡς δι' ἡμῶν γιγνόμεναι, † ἀναίτιοι ἃς κατὰ τὸ μὴ ὂν αὗται δεῖ τὸ κυρίως λεγόμενον ἐφ' ἡμῖν οὕτως σώζουσιν, γιγνόμεναι διὰ φύσεως ἀσθένειαν καὶ ἔστι τὸ ἐφ' ἡμῖν τοῦτο, οὗ καὶ τὸ ἀντικείμενον ἐνεδέχετο προελέσθαι τὸν τοῦτο προχρημένον. τὸ οὖν διὰ | τὴν τοῦ μὴ ὄντος ὕπαρξιν ἐξησθενηκὸς τὴν 159r
συνέχειαν τῶν αἰτίων τῶν ἐν ἡμῖν τὸ ἐφ' ἡμῖν κατέχει, καὶ ταύτην τὴν χώραν ἔχει, αἴτιον γιγνόμενον ἐν οἷς τὸ ἀναγκαῖον ἐπιλέλοιπεν αἴτιον διὰ τὴν τοῦ μὴ ὄντος ἐν τῷ ὄντι μιξίν τε καὶ συμπλοκήν.

Τῶν παρὰ Ἀριστοτέλους περὶ τοῦ ἐφ' ἡμῖν.

Τῶν γιγνομένων τε καὶ συνισταμένων ὑπὸ τῆς θείας δυνάμεως τῆς ἐν τῷ γενητῷ σώματι ἐγγιγνομένης ἀπὸ τῆς πρὸς τὸ θεῖον γειτνιάσεως. ἣν καὶ φύσιν καλοῦμεν, τιμιώτατον ἄνθρωπός ἐστι· μόνον γὰρ κεκοινώνηκεν τοῦτο τῶν τῇδε τῆς τελειοτάτης τῶν ψυχικῶν δυνάμεων, αὕτη δέ ἐστι νοῦς, καὶ μόνον ψυχὴν λογικὴν ἔχει, καθ' ἣν βουλεύεσθαί τε καὶ ζητεῖν δύναται περὶ τῶν πρακτέων αὐτῷ, καὶ οὐ παραπλήσιόν ἐστι τοῖς ἄλλοις ζῴοις. ἃ τῷ μὴ κοινωνεῖν τῆς τοιᾶσδε δυνάμεως ἄλογα καλοῦμεν. ταῖς προσπιπτούσαις φαντασίαις ἑπόμενά τε καὶ συγκατατιθέμενα καὶ ἀνεξετάστως ἕκαστον, ὧν πράττει, ποιοῦντα. ὁ γὰρ ἄνθρωπος μόνον τῶν ἄλλων ζῴων μετὰ τὴν προσπεσοῦσαν αὐτῷ φαντασίαν περί τινος ὡς πρακτέου οἷός τε ζητεῖν περὶ αὐτοῦ καὶ βουλεύεσθαι, εἴτε χρὴ συγκατατίθεσθαι τῷ φανέντι, εἴτε καὶ μή. βουλευσάμενος δὲ καὶ κρίνας οὕτως ὁρμᾷ καὶ ἐπὶ τὸ πράττειν ἢ μὴ πράττειν ὁπότερον· καὶ ὁπότερον προέκρινεν ἐκ τῆς βουλῆς ἔρχεται. διὰ τοῦτο καὶ μόνον τῶν ζῴων ἁπάντων ἐφ' αὑτῷ τὸ πράττειν ἔχει, ὅτι καὶ τοῦ μὴ πράττειν τὸ αὐτὸ τοῦτο τὴν ἐξουσίαν ἔχει. ἐφ' ἑαυτῷ γὰρ ἡ αἵρεσις τῶν πρακτέων, εἴ γε βουλεύεσθαι καὶ κρίνειν

4—5 οὐδὲ τὸ ἐν τοῖς ἐπὶ πολύ] fortasse οὔτε ἐν οἷς τὸ ἐπὶ πολύ 9 αἱ εἀναίτιοι (sic) spatio duarum litterarum post αἱ relicto (ad hanc lacunam φ referenda est, quam litteram in mg. posuit v. c.) V: ἀναιτιος C: αι ἀναίτιοι (post αι fenestra) a δεῖ sic V: δεῖ? C: δεῖ a 11 τοῦτο ante οὗ] οὕτω (in mg. τοῦτο) C. apertum est scriptorem inter ea distinguere, quae iussu naturae coacti agimus eaque, quae propter τοῦ μὴ ὄντος praesentiam libera voluntate ipsi comittimus. temptavi igitur γιγνόμεναι, ⟨αἳ δὲ γίγνονται⟩ ἀναιτίως (cf. v. 171,13 sq.) καὶ κατὰ τὸ μὴ ὄν, αὗται δὲ τὸ κτλ. τοῦτον C 13 τῶν post αἰτίων om. C 14 ἔχειν C 18 γεννητῷ Ca 27 οἷόν τε Ca 29 καὶ ὁπότερον m¹ in mg. V 30 ἔρχεται (a supra ε m¹) V: ἄρχεται Ca: fortasse βουλῆς, ἔρχεται ⟨ἐπὶ τοῦτο⟩

ἐφ' ἑαυτῷ. ἔστι γὰρ τὸ ἐφ' αὑτῷ τὸ αὐτὸ ⟨τῷ⟩ ἀρχήν τε καὶ αἴτιον ποιητικὸν εἶναι τούτων, ἃ φαμεν εἶναι ἐφ' αὑτῷ. ἔστι δὲ τὸ ἐφ' ἡμῖν ἐν τούτοις, περὶ ἃ καὶ τὸ βουλεύεσθαι. βουλευόμεθα δὲ οὔτε περὶ τῶν γεγονότων οὔτε περὶ τῶν ὄντων ἤδη, ἀλλὰ περὶ τῶν μελλόντων καὶ ἐνδεχομένων γενέσθαι καὶ μὴ γενέσθαι, καὶ ὧν αἰτία διάνοια. ταῦτα γὰρ οἷά τε ὑφ' ἡμῶν πραχθῆναί τε καὶ μή. ἐν τούτοις ἄρα καὶ τὸ ἐφ' ἡμῖν, καὶ ἔστιν ἀρχὴ καὶ αἰτία τῶν δι' αὐτοῦ πραττομένων ὁ ἄνθρωπος, τοῦτο παρὰ τῆς φύσεως ἐξαίρετον ἔχων παρὰ τὰ ἄλλα πάντα τὰ γιγνόμενα πρὸς αὐτῆς, ὅτι καὶ μόνον λογικόν ἐστι φύσει καὶ βουλευτικόν. τὸ γὰρ λογικὸν ἐν τούτῳ τὸ εἶναι ἔχει. εἰ δὲ ἀρχὴ μὲν ἡ αἰτία τούτων, ὧν ἐστιν αἰτία, ὁ δὲ ἄνθρωπος ἀρχὴ τῶν πραττομένων ὑπ' αὐτοῦ, καὶ αἴτιος τούτων ἂν εἴη. εἴπερ οὖν ἀρχὴν ἀρχῆς ζητεῖν τε καὶ λέγειν ἄτοπον (οὐ γὰρ ἔτι ἁπλῶς ἀρχὴ τοῦτο, οὗ ἐστιν ἀρχή τις ἄλλη), οὐδ' ἂν τῆς προαιρέσεως καὶ τῆς βουλήσεώς τε καὶ τοιᾶσδε κρίσεως τοῦ τε ἀνθρώπου αἴτιον ἄλλο τι ποιητικὸν προκαταβεβλημένον εἴη (οὐ γὰρ ἂν ἔτι ἀρχὴ μένοι), ἀλλὰ τῶν μὲν πραττομένων ὑφ' αὑτοῦ αὐτὸς αἴτιος καὶ ἡ κρίσις τε καὶ προαίρεσις καὶ ἡ ποιητικὴ τούτων αἰτία, αὐτῶν δὲ ἐκείνων οὐκέτι ἄλλο τι. εἰ γὰρ ἀρχὴ μὲν ταῦτα, οὐκ ἔστιν δὲ τῆς κυρίως λεγομένης ἀρχῆς ἀρχή τε καὶ αἴτιον (τοῦ μὲν γὰρ εἶναι καὶ γενέσθαι τὸν ἄνθρωπόν ἐστί τις ἀρχή, τοῦ δὲ τάδε ἢ τάδε προαιρεῖσθαι οὔ, καὶ τοῦτο γὰρ εἶναι τουτέστιν αὐτῷ τὸ τὴν τοιάνδε ἔχειν δύναμιν ἐν αὐτῷ) †. τί γὰρ ἔτι καὶ χρήσιμον ἂν εἴη τὸ βουλεύεσθαι, εἰ προκαταβεβλημένας ἔχοιμεν τῶν πραττομένων τὰς αἰτίας; πῶς δ' ἂν ἔτι τῶν ἄλλων ζώων τιμιώτερον ἄνθρωπος εἴη ἀχρήστου τοῦ βουλεύεσθαι φανέντος; ἄχρηστον δέ, εἰ μὴ ἐφ' ἡμῖν εἴη τὸ ἐκ τῆς βουλῆς προκρῖναί τι καὶ τὸ προκριθὲν ἐλέσθαι. τὸ μὲν γὰρ λέγειν αἰτίαν τὴν φαντασίαν τοῦ βουλεύεσθαι περὶ τοῦ φανέντος οὐδὲν ἄτοπον, τὸ δὲ καὶ τοῦ πράττειν τόδε τι μὴ τὴν βουλήν, ἀλλὰ τὴν φαντασίαν αἰτιᾶσθαι ἀναιρεῖν ἐστι τὴν βουλήν, ἣν τε ἔχομεν ὡς οὔσης τινὸς τὴν φαντασίαν αἰτίαν. ὥστ' εἰ τοῦ μὲν βουλεύεσθαι τὸ φανὲν αἴτιον, τῆς δὲ κρίσεως ἡ βουλή, τῆς δὲ ὁρμῆς ἡ κρίσις, ἡ δὲ ὁρμὴ τῶν πραττομένων, οὐδὲν ἐν τούτοις ἐστὶν ἀναίτιον. ὥσπερ δὲ τὸ βουλεύεσθαι τοῦ ἐφ' ἡμῖν εἶναί τι δεικτικόν, οὕτως καὶ τὸ μεταγινώσκειν ἐπὶ πραχθεῖσίν τισιν καὶ αὐτοὺς καὶ τὴν αὐτῶν αἵρεσιν αἰτιᾶσθαι· μαρτύριον γὰρ ἡ τοιαύτη αἰτία τοῦ καὶ τοῦ πρᾶξαι τότε τὸ πεπραγμένον ἡμᾶς τὴν αἰτίαν ἔχειν, τὸ δὲ ἄλλο τι ζητεῖν αἴτιον τοῦ τόδε τι ἐκ τῆς βουλῆς προκρῖναι ἀνελεῖν ἐστι τὴν βουλήν. τὸ γὰρ

1—2 γὰρ τὸ usque ad ἐφ' αὑτῷ ἔστι om. Ca τὸ αὐτὸ τῷ scripsi: τὸ αὐτὸ m^1, τῷ αὐτὸ m^2 V ὁ γενέσθαι καὶ m^2, καὶ m^1 V: καὶ Ca 14 τοῦ τε ἀνθρώπου] cf. v. 16 et p. 174,9: ἡ βουλὴ καὶ ἡ προαίρεσις καὶ ἡ κρίσις καὶ ὁ ἄνθρωπος τῆς τοιαύτης πράξεως αἴτιος αἴτιον] scil. τῶν πραττομένων 20 αὑτῷ] fortasse αὐτὸ 21 post ἐν αὐτῷ apodosis excidisse videtur ἔχει C 27 ἀνερεῖν Ca 28 τὴν βουλήν, ἣν τε—αἰτίαν] i. e. τὴν βουλὴν τήν τε αἰτίαν, ἣν ὡς οὔσης τινὸς (scil. τῆς βουλῆς) τὴν φαντασίαν ἔχομεν *(hoc est tollere) consilium consiliique causam in phantasia positam*
31 τὸ V: τοῦ Ca 32 τὸ om. C τισιν Va: αὐτοῖς C 33 τοῦ πρᾶξαι scripsi: τὸ◡ πρᾶξαι sic (ὸ◡ in lit.) V: τὸ πρᾶξαι Ca

εἶναι τῷ βουλεύεσθαι ἐν τῷ δύνασθαι κρίνειν τε καὶ αἱρεῖσθαι τὸ φανὲν ἐκ τῆς βουλῆς ἄριστον. ὁ δὴ τοῦτο τῆς βουλῆς ἀφαιρῶν ὄνομα βουλῆς καταλείπει μόνον. τὸ γὰρ λέγειν πάντων τῶν ἐκτὸς περιεστώτων ὁμοίων ἢ ταὐτὰ αἱρήσεσθαί τινα, ἢ καὶ πράξειν, ἢ δὴ ἀναιτίως ἔσεσθαί τι, τούτων δὲ τὸ μὲν ἀναιτίως τι γίγνεσθαι ἀδύνατον εἶναι, τὸ δὲ ταὐτὰ αἱρεῖσθαι τῶν αὐτῶν περιεστώτων δεικτικὸν εἶναι τοῦ τὰ ἐκτὸς αἴτια κύρια τῶν ὑφ' ἡμῶν πραττομένων εἶναι, οὐχ ὑγιές. οὔτε γὰρ ἀνάγκη τὰ αὐτὰ αἱρεῖσθαι τὸν ἄνθρωπον ἀεὶ τῶν αὐτῶν περιεστώτων ἁπάντων, οὔτε ἀναίτιος ἡ πρᾶξις, εἰ μὴ κατὰ τὰ αὐτὰ γίγνοιτο. ἡ γὰρ βουλὴ καὶ ἡ προαίρεσις καὶ ἡ κρίσις καὶ ὁ ἄνθρωπος τῆς τοιαύτης πράξεως αἴτιος, ἔχων ἐν αὐτῷ τὴν ἐξουσίαν τοῦ βουλεύεσθαι περὶ τῶν περιεστώτων, ἔχει καὶ τὸ δύνασθαι ἐκ τῶν αὐτῶν μὴ τὰ αὐτὰ αἱρεῖσθαι. καὶ τοῦτο οὐκ ἀλόγως τίθεται, οὐδέ ἐστιν αἴτημα τὸ λεγόμενον. εἰ μὲν γὰρ ἦν εἷς ὁ σκοπὸς αὐτῷ, πρὸς ὃν τὴν ἀναφορὰν τῆς κρίσεως ἐποιεῖτο, εὔλογον ἦν ἀπὸ τῶν αὐτῶν ἀεὶ ταὐτὸν αὐτὸν αἱρεῖσθαι τὴν αὐτήν γε σχέσιν ἔχοντα ἀεὶ καὶ φυλάττοντα πρὸς τὸν προκείμενον αὐτῷ σκοπόν, πρὸς ὃν ὁρῶν ἐποιεῖτο | τὴν κρίσιν αὐτῶν. ἐπεὶ δέ ἐστι πλείω τὰ τέλη, πρὸς ἃ βλέπων τὴν κρίσιν καὶ τὴν αἵρεσιν τῶν πρακτέων ποιεῖται (καὶ γὰρ τὸ ἡδὺ καὶ τὸ συμφέρον καὶ τὸ καλὸν ἔχει πρὸ ὀφθαλμῶν), ταῦτα δὲ ἀλλήλων διαφέρει, οὐ πάντα δὲ τὰ περιεστῶτα ὁμοίαν τὴν σχέσιν ἔχει πρὸς τούτων ἕκαστον, τὴν κρίσιν αὐτῶν καὶ τὴν ἐξ αὐτῶν αἵρεσιν ποιούμενος ποτὲ μὲν πρὸς τὸ ἡδύ, ποτὲ δὲ πρὸς τὸ καλόν, ἄλλοτε δὲ πρὸς τὸ συμφέρον καὶ οὐκ ἀεὶ ταὐτὰ πράξει οὐδὲ ἀεὶ ταὐτὰ αἱρήσεται τῶν αὐτῶν περιεστώτων ἁπάντων, ἀλλ' ἑκάστοτε ταῦτα τὰ πρὸς τὸν κριθέντα σκοπὸν μάλιστα συντείνειν δοκοῦντα. λύοιτο δ' ἂν διὰ τούτου καὶ ὁ τῇ φαντασίᾳ τὴν αἰτίαν ἀνατιθεὶς τῶν πραττομένων λόγος, διότι παρὰ τὸ φαινόμενον ἄμεινον αὐτῷ οὐδεὶς ἄν τι πράξαι ποτέ. πλείους γὰρ οἱ σκοποί, πρὸς οὓς ἡ τῆς φαντασίας κρίσις. ὅτι δὲ οὐδ' εἰ τὰ αὐτὰ αἱροῖτό τις τῶν αὐτῶν περιεστώτων, ἤδη τούτῳ καὶ τὸ κατηναγκασμένως αἱρεῖσθαι ταῦτα ἕπεται καὶ τὸ εἶναι τῆς κρίσεως τὰ ἐκτὸς αἴτια· ἐφ' ἑκάστης γὰρ αἱρέσεως ἔνεστιν αὐτὸν δεικνύναι πρὸ τοῦ πρᾶξαι καὶ προκρῖναί γέ τι καὶ τὸ ἀντικείμενον ἑλέσθαι δυνάμενον· οὐ γὰρ ὡς οὐ δυνάμενος καὶ τὰ ἀντικείμενα τούτοις ἑλέσθαι αἱρεῖται ταῦτα, ἀλλ' ὡς εὔλογα μᾶλλον αὐτῷ δοκοῦντα. ἔξεστιν γοῦν αὐτῷ αὐτὸ τὸ μὴ κατηναγκασμένην τὴν αἵρεσιν εἶναι βουληθέντι δεῖξαί ποτε καὶ πρὸς τοῦτο φιλονεικήσαντι καὶ τὸ μὴ δοκοῦν εὔλογον ἑλέσθαι. ἔτι, εἰ μὴ ἀεὶ τὴν ἕξιν ἐσμὲν ὅμοιοι, καθ' ἣν βουλευόμεθα, οὐκ ἀεὶ τὰ αὐτὰ αἱρησόμεθα ἐκ τῶν περιεστώτων ὄντων ὁμοίων. εἰ δὲ τῶν αὐτῶν περιεστώτων τοῖς ἀνομοίοις οὐ τῶν αὐτῶν ἡ αἵρεσις, δῆλον ὡς καὶ τῆς τῶν ὁμοίων αἱρέσεως αἴτια οὐ τὰ περιεστῶτα ὅμοια ὄντα, ἀλλ' ᾧ περιέστηκεν ὢν ὅμοιος αὐτῷ. ὅλως δέ,

---

1 εἶναι VC: εἰ a κρίνειν Va: κινειν C 2 ἐκ τῆς βουλῆς Va: ἐν ταῖς βουλαῖς C
3 τῶν Va: τῶν κακῶν C 4 ἢ δὴ scripsi: ἤδη VCa 7 ἡμῶν VC: ἡμῖν a
12 ἀλόγως VC: ὀλίγως a 15 γε om. C 21 ποτὲ δὲ om. C 27 τῆς supra lin. V
28 οὐδ' εἰ Va: οὐδεὶς C τὰ αὐτὰ VC: τὰ κατὰ a: τὰ κακὰ ex. Vict. 39 ὄντα Va: ἀεὶ ὄντα C ὅμοιος] ante os lit. unius lit. V αὐτῷ scripsi: αὐτῷ VCa

ὅτι ἐστίν τι ἐφ' ἡμῖν, πειρᾶσθαι δεικνύναι διὰ λόγων οὕτως ἐναργὲς ὄν, οὐκ εἰδότων κρίνειν ἐστὶ τό τε γνώριμον καὶ τὸ μή· δῆλον γὰρ τοῦτο, ὡς ἔφαμεν, ἐκ πολλῶν, ἐκ τοῦ βουλεύεσθαι, ἐκ τοῦ μετανοεῖν, ἐκ τοῦ συμβουλεύεσθαι, ἐκ τοῦ καταγιγνώσκειν τινῶν, ἐκ τοῦ προτρέπειν, ἐκ τοῦ ἐπαινεῖν, ἐκ τοῦ ψέγειν, ἐκ τοῦ τιμᾶν, ἐκ τοῦ κολάζειν, ἐκ τοῦ διδάσκειν, ἐκ τοῦ κελεύειν, ἐκ τοῦ μαντεύεσθαι, ἐκ τοῦ εὔχεσθαι, ἐκ τοῦ ἐθίζειν, ἐκ τοῦ νομοθετεῖν. ὅλως γὰρ τούτοις καὶ τοῖς τοιούτοις ὁ πᾶς τῶν ἀνθρώπων βίος χρώμενος μαρτυρεῖ μηδὲν οὕτως ἴδιον εἶναι τοῦ ἀνθρώπου παρὰ τὰ ἄλλα ζῷα ὡς τὸ ἐφ' ἡμῖν. ὅτι δὲ καὶ τοῦ ποιοί γενέσθαι τὸ ἦθος αὐτοὶ τὴν ἀρχὴν ἔχομεν, δι' ἃ καὶ τὰς αἱρέσεις διαφόρους ποιούμεθα, δῆλον ἐκ τοῦ διὰ τῶν ἐθῶν ἡμᾶς ποιοὺς γίγνεσθαι, τῶν δὲ ἐθῶν τὰ πλεῖστα ἐφ' ἡμῖν εἶναι. καὶ γὰρ εἰ τὰ πρῶτά τις μοχθηρῶς ἐθισθείη παῖς ὢν ἔτι, ἀλλὰ φύσει γε πάντες ἄνθρωποι διορατικοὶ τῶν καλῶν εἰσιν τελειούμενοι. οὐδεὶς γοῦν κατὰ φύσιν ἔχων ἀνεννόητός ἐστιν, τίνα μέν ἐστι δίκαια, τίνα δὲ ἄδικα, καὶ τίνα μὲν καλά, τίνα δὲ αἰσχρά. ἀλλ' οὐδ' ὅτι ἐκ τοῦ ἐθίζεσθαί πως ἢ τῶν καλῶν ἢ τῶν αἰσχρῶν γίγνονται προαιρετικοί τε καὶ πρακτικοί, οὐδὲ τοῦτο αὐτοὺς λανθάνει. οἱ γοῦν ἀσκῆσαί τι καὶ μαθεῖν βουλόμενοι ἐπὶ τὸ διὰ τῶν ἐθῶν αὐτοὺς προάγειν τῷ προκειμένῳ τρέπονται, ὡς οὐκ ἀγνοοῦντες τὴν τῶν ἐθῶν ἰσχὺν πρὸς τὸ τῶν προκειμένων τυγχάνειν. τίνι γὰρ ἄδηλον, ὅτι διὰ τοῦ τὰ σωφρονικὰ ποιεῖν περιγίνεται τὸ σωφρονεῖν; εἰ δὲ μήτε τὰ καλὰ τοῖς κατὰ φύσιν ἔχουσιν ἔτι καὶ μηδέπω διὰ κακίαν πεπηρωμένοις † οὐκ ἀγνοεῖται ἥ γε ὁδὸς ἡ ἐφ' αὑτὰ ἐφ' ἡμῖν τε καὶ γνώριμος, ἐφ' ἡμῖν ἂν εἴη καὶ τὸ ποιοῖς γίνεσθαι τὰ ἤθη καὶ τὰς ἕξεις κτήσασθαι, ἀφ' ὧν ἢ τάδε ⟨ἢ τάδε⟩ αἱρησόμεθά τε καὶ πράξομεν. αἱ δὲ εὐφυΐαι τε πρός τινα καὶ ἀφυΐαι ἔστ' ἂν ἐν τῇ οἰκείᾳ φύσει τηρῶσιν τὸν ἄνθρωπον, πρὸς εὐκολωτέραν ἀνάληψιν τούτων συντελοῦσιν μόνον ἢ χαλεπωτέραν, πρὸς ἃ πεφύκασιν εὖ τε καὶ κακῶς. πᾶσιν γὰρ ἀνθρώποις τοῖς κατὰ φύσιν τε ἔχουσιν καὶ ἀστρόφοις ἐπὶ τὴν κρίσιν τε καὶ τὴν αἵρεσιν δυνατὸν ἀρετὴν κτήσασθαι καὶ δυνατὸν δι' αὑτοῦ. διὸ πολλῶν καλῶς πρὸς ἀρετὴν πεφυκότων φαυλότερόν τινες πεφυκότες ἀμείνους γίγνονται πολλάκις τὴν ἔνδειαν τῆς φύσεως ἰασάμενοι τῇ παρ' αὐτῶν ἐξουσίᾳ.

---

7 ὅλως γὰρ τούτοις scripsi: ὅλοις (m¹) τούτοις γὰρ V: ὅλοις γὰρ τούτοις Ca 9 ὡς τι Ca 12 ἐσθίει Ca 14 ἀ|νεννόητος (ν post α in mg. m¹) V: ἀνοητος C: ἀνενόητος a τὰ δίκαια Ca 15 τὰ ἄδικα Ca 16 πραιρετοικοί α 18 αὐτοὺς scripsi: αὐτοὺς VCa 22—23 ἥ γε ὁδὸς—γνώριμος] *„si quidem via ad ipsa in nostro arbitrio est et nota“* Caninius. ante οὐκ ἀγνοεῖται plura exciderunt. sensum fortasse haec assequuntur: πεπηρωμένοις ⟨ἀγνοεῖται μήτε τὰ αἰσχρὰ (ἀμφότερα γὰρ) οὐκ ἀγνοεῖται, εἴ γε ὁδὸς ἡ ἐπ' αὐτὰ ἐφ' ἡμῖν τε καὶ γνώριμος) 22 ὁδὸς ἐστὶν ἡ C 23 ποιοῖ a 24 ἢ τάδε addidi 25 εὐφυΐαι] αι in lit. V τε πρός τινα καὶ (α supra lin. καὶ supra lin. et in lit.) V: τε καὶ πρός τινας C: τε πρὸς τινας a ἀφυΐαι] εὐφυΐαι a 26 τηρῶσιν] fortasse μὴ πηρῶσιν cf. τοῖς κατὰ φύσιν ἔχουσιν ἔτι καὶ μηδέπω διὰ κακίαν πεπηρωμένοις 28 ἀστροφόροις Ca 29 αὐτοῦ scripsi: αὐτοῦ VCa

Περὶ τύχης.

Ἡ τύχη καὶ τὸ αὐτόματον, ὅτι μέν ἐστιν ἐν τοῖς οὖσιν, ἱκανὴ περὶ αὐτῶν ἡ κοινὴ τῶν ἀνθρώπων πρόληψις μαρτυροῦσα, τί δέ ποτέ ἐστιν ἑκάτερον αὐτῶν καὶ περὶ τίνα τῶν ὄντων, οὐκέθ' οἱ πολλοὶ τῆς τῶν δεδογμένων διδασκαλίας κύριοι. οὔτε γὰρ ἑαυτοῖς οὔτε ἀλλήλοις συμφωνοῦσιν περὶ τῶνδε, συμφωνοῦντες ἐν τῇ περὶ τοῦ εἶναι ἑκάτερον αὐτῶν δόξῃ. ἄξιον τοίνυν ἐπιστῆσαι, τίς ποθ' ἡ φύσις αὐτῶν καὶ περὶ τίνα τῶν ὄντων γίγνεται. δοκεῖ τοίνυν ἐν τοῖς [αὐτοῖς] αἰτίοις καὶ ταῦτα καταριθμεῖσθαι· καὶ γὰρ ἡ τύχη αἰτία δοκεῖ τῶν γιγνομένων ἀπὸ τύχης, καὶ τὸ αὐτόματον τῶν τοιούτων. ὄντων τοίνυν αἰτίων τεττάρων, περὶ ὧν πολλάκις ἡμῖν λέγειν ἔθος, τοῦ τε ὑλικοῦ καὶ τοῦ κατὰ τὸ εἶδος, καὶ τοῦ ποιητικοῦ, καὶ τοῦ τέλους, ἐν τούτοις ἀνάγκη κἀκείνων ἑκάτερον εἶναι, εἴ γέ ἐστιν αἰτία. ὡς μὲν οὖν ὕλην τὴν τύχην καὶ τὸ αὐτόματον οὐδεὶς ἂν αἰτιάσαιτο τῶν γιγνομένων δι' αὐτά. οὐ γὰρ ὑποκείμενόν τι ἡ τύχη, σχηματιζόμενόν τε καὶ εἰδοποιούμενον ὑπό τινος ὡς ὕλη. ὑπομένουσα γὰρ αὕτη δέχεται τὸ εἶδος καὶ ἔστιν αἰτία τῶν γιγνομένων ὡς ἐνυπάρχουσα τοῖς ἐξ αὐτῆς γεγονόσιν. ἡ δὲ τύχη καὶ τὸ αὐτόματον ἐν τοῖς | δι' αὐτὰ γιγνομένοις οὐκ ἔστιν ἐν- 160r
υπάρχον· τὸ γὰρ αὐτὸ τοῦτο γιγνόμενον κατὰ τύχην ἔχει τὴν τύχην ἐν αὑτῷ· διὰ ταῦτα δὲ οὐδ' ὡς εἰδός τε καὶ τὸ τί ἦν εἶναι αἴτια ταῦτα τοῖς δι' αὐτά· τὸ μὲν γὰρ εἶδος ἐνυπάρχει τῷ οὗ αἴτιόν ἐστι, γιγνόμενον ἐν τῇ ὕλῃ καὶ μένον, τούτων δὲ οὐδέτερον. ἀλλὰ μὴν οὐδ' ὡς τέλος καὶ τὸ οὗ ἕνεκεν αἴτιον ἡ τύχη τε καὶ τὸ αὐτόματον· οὐδενὶ γὰρ τῶν γιγνομένων ἡ τύχη σκοπός· ἑκάστῳ μὲν γὰρ τῶν γιγνομένων ἕνεκέν τινος ὡρισμένος ὁ σκοπός, ἀόριστον δὲ τούτων ἑκάτερον. ἀλλὰ μὴν εἰ ἐν μηδενὶ τῶν τριῶν αἰτίων τούτων ἐστὶν ἡ τύχη, ἢ οὐδενός ἐστιν αἰτία, ἢ εἴη ἂν ἐν τοῖς ποιητικοῖς. καὶ μὴν τὰ ποιητικὰ αἴτιά τινος ἕνεκεν ποιεῖ τὰ γιγνόμενα πρὸς αὐτῶν, καὶ ἔστιν αὐτοῖς ὡρισμένον τι τέλος προκείμενον, ὥσπερ ἥ τε φύσις καὶ ἡ τέχνη καὶ ἡ προαίρεσις, οὐδενὶ δὲ τούτων ταὐτὸν οὔτε τὸ αὐτόματον οὔτε ἡ τύχη. ἄλλο γάρ τι παρὰ ταῦτα τούτων ἑκάτερον εἶναι δοκεῖ, καὶ τὰ μέν ἐστιν ὡρισμένα, καὶ ἐφ' ὡρισμένον ἄγει τι, ἄστατον δὲ καὶ ἀόρι-

1 edidit Ioan. Conr. Orelli in libro „Alexandri Aphr. Ammonii etc. de fato quae supersunt" Turici 1824 p. 124 2 καὶ Va: δὲ καὶ HC ἱκανὴ περὶ αὐτῶν κτλ.] cf. 179,25 et Alex. de fato 163r30 τὸ μὲν οὖν εἶναί τι τὴν εἱμαρμένην .. ἱκανῶς ἡ τῶν ἀνθρώπων συνίστησι πρόληψις κτλ. 4 τῆς om. C τῶν δεδογμένων HCa: τῶνδε δειγμενον V 6 αὐτῶν om. C Orelli 7 τίς ποτῆ a 8 αἰτίοις Ca: αὐτοῖς αἰτίοις VH καὶ ταῦτα VHa: καὶ καταυτα C 10 τεττάρων] τε in lit. V 12 κἀκείνων VC: καὶ τούτων H: κἀείνων a 13 αὐτόματον] ante v una litera erasa V καὶ τὸ αὐτόματον om. Orelli 15 αὕτη scripsi: αὐτὴ VHCa 16 αἰτιατῶν a ἐξ αὐτῆς VH: ἐξ αὐτῶν C: ἐξ αὐτοῖς a 17 fortasse ἐνυπάρχοντα· οὐ γὰρ αὐτὸ τὸ γιγνόμενον 18 οὐκ ἔχει Orelli 19 αὐτῷ VHCa 20 δι' αὐτό V: αὐτά HCa 22 τε om. Ca 24 ὁ σκοπὸς ὡρισμένος Ca 26 ποιητιτὰ a ποιεῖν C 27 φύσει a 28 δὲ VHCa: τε Orelli 30 ἄστατον VH: ἄτακτον Ca

στον τὸ τῆς τύχης. εἰ δὴ δοκεῖ μὲν αἴτιά τινων εἶναι, μηδενὶ δέ ἐστι τῶν αἰτίων ταὐτά, κινδυνεύει ἢ μηδ' ὅλως εἶναι, ἢ ἄλλος τις αἰτίων τρόπος ζητητέος. μηδὲ ὅλως μὲν οὖν λέγειν εἶναι αὐτὰ ἄτοπον, πράγματα τοσαύτην ἰσχὺν ἐν τοῖς οὖσιν ἔχειν πεπιστευμένα, ἄλλος δέ τίς ποτ' ἂν εἴη παρὰ τοὺς προειρημένους τρόπους αἰτίων; μήποτ' οὖν, ἐπεὶ τῶν αἰτίων τὰ μέν ἐστι καθ' αὑτά, τὰ δὲ κατὰ συμβεβηκός (ἔστι γάρ τινα καὶ κατὰ συμβεβηκὸς αἴτια· τὸ γὰρ τῷ καθ' αὑτὸ καὶ κυρίως αἰτίῳ τινὸς συμβεβηκὸς κατὰ συμβεβηκὸς αἴτιον, καὶ αὐτὸ τοῦτο προηγουμένως ἦν αἴτιον, ᾧ τοῦτο συμβεβήκει. ὁ μὲν γὰρ ἰατρὸς αἴτιος καθ' αὑτὸ τῆς ὑγιείας, ὁ δὲ λευκὸς κατὰ συμβεβηκός, εἰ εἴη τῷ ἰατρῷ τοῦτο συμβεβηκός· τὸ γὰρ συμβεβηκὸς τῷ ποιοῦντι ποιητικὸν αἴτιον κατὰ συμβεβηκός· ἔτι κατὰ συμβεβηκὸς ὁ ἰατρὸς ποιητικὸν αἴτιον, ἰσχνότητος φέρε εἰπεῖν, ἂν τῷ ὑγιαζομένῳ τοῦτο ᾖ συμβεβηκός), ἐπεὶ τοίνυν ἐστὶ τῶν αἰτίων τὰ μὲν καθ' αὑτά, τὰ δὲ κατὰ συμβεβηκός, καὶ ἐν τοῖς καθ' αὑτὰ αἰτίοις οὐχ οἷόν τε τιθέναι τὴν τύχην, ἐν τοῖς κατὰ συμβεβηκὸς ἂν εἴη. τὰ μὲν γὰρ ὡρισμένα οὐ κατὰ συμβεβηκὸς ἂν εἴη, τὰ δὲ κατὰ συμβεβηκὸς ἀόριστά τε καὶ ἄστατα, ὁποῖον καὶ τὸ τῆς τύχης εἶναι φιλεῖ· ἀόριστα γὰρ τὰ τῷ καθ' αὑτὸ καὶ κυρίως αἰτίῳ συμβεβηκέναι δυνάμενα, ἃ πάντα καὶ αὐτὰ κατὰ συμβεβηκὸς αἴτια γίγνεται. ἀλλ' εἰ κατὰ συμβεβηκὸς αἴτιον ἡ τύχη, δεῖ τινι τῶν κυρίως αἰτίων λεγομένων αὐτὴν συμβεβηκέναι. ἐπεὶ οὖν δοκεῖ ποιητικόν εἶναί τινος ἡ τύχη (τὰ γὰρ κατὰ τύχην ἀπὸ τύχης φαμὲν γίγνεσθαί τε καὶ γεγονέναι), τῶν ποιητικῶν αἰτίων τινὶ ταῦτα ὑπάρχειν ἀνάγκη, εἴ γε φυλάξει τὴν χώραν τῶν αἰτίων. ἀλλὰ μὴν τὰ κυρίως αἴτια ποιητικὰ φύσις τε καὶ τέχνη καὶ προαίρεσις. πάντα μὲν γὰρ τὰ κυρίως ὡρισμένως ποιητικὰ ἕνεκά τινος τέλους τὰ πρὸς αὐτῶν γιγνόμενα ποιεῖ, ὁρῶμεν δὲ πάντα τά τινος ἕνεκεν γιγνόμενα ὑπὸ τούτων γιγνόμενά τινος· τούτων ἄρα τινὶ συμβέβηκεν ἡ τύχη. ἐπεὶ δὲ δοκεῖ ἐν τοῖς προαιρετικοῖς εἶναι τὰ κατὰ τύχην, (ταῦτα γὰρ ἀπὸ τύχης γίγνεσθαί φαμεν, ὧν χάριν κἂν προελοίμεθά τι πρᾶξαι πρὸς τὸ τυχεῖν αὐτῶν, ἐφ' ὧν τὴν εὐτυχίαν λέγομεν, ἢ πρὸς τὸ μὴ τυχεῖν, ὧν τὴν δυστυχίαν κατηγοροῦμεν), εἴη ἂν ἡ τύχη τοῖς κατὰ προαίρεσιν γιγνομένοις ἑπόμενον, καὶ ἐν τούτοις αἰτία κατὰ συμβεβηκός. ὅταν γὰρ πράττουσίν τι κατὰ προαίρεσιν ἡμῖν ἀπαντήσῃ μὴ τὸ προκείμενον τέλος κατὰ τὴν προαίρεσιν, ἄλλο δέ τι κατὰ συμβεβηκὸς γένηται, ἡ κατὰ προαίρεσιν γενομένη πρᾶξις αἰτία τοῦ ἀπαντήσαντός μέν, οὐ προκειμένου δέ. λέγομεν δὲ τοῦτ' ἀπὸ τύχης γεγονέναι· τῷ [τε] γὰρ

---

2 ταὐτα] ταὐ supra lin. V 5 οὖν ἐπεὶ V: οὖν ἐπὶ C: οὖν ἐπὶ (in mg. ἐπεὶ) H: ἦν ἐπὶ a
7 αὐτω καὶ κυρίῳ C 8—10 κατὰ συμβεβηκὸς—λευκὸς κατὰ συμβεβηκὸς om. C
8 τοῦτο H: τούτου Va 9 αἴτι H: αἴτιος Orelli 10 ὑγείας a τούτῳ C
11 ἔτι γὰρ Orelli 12 αἴτιον om. Orelli 15 τὴν om. C 18 ἅπαντα Orelli
19 ἀλλ' ἃ κατὰ C 21 φασὶ Orelli 24 ὡρισμένα H 26 πάντα τὰ HCa: πάντα V
28 τύχὴν V φασιν Orelli 30 τυχεῖν VHa: τυχεῖν αὐτῶν ἐφ' C: πρᾶξαι Orelli
31 ἡ om. a 32 ἀπαντήσει C 35 προκειμένου (supra ει ῐ m¹) V δὲλεγομεν V
λέγομεν τοῦτ Ca γεγονέναι VHa: εἶναι C τε om. C

σκάπτοντι κατὰ προαίρεσιν τοῦ φυτεῦσαι χάριν ἂν ἀπαντήσῃ ἐκ τοῦ σκάπτειν θησαυροῦ τινος εὕρεσις, ἀπὸ τύχης φαμὲν τὴν εὕρεσιν τοῦ θησαυροῦ γεγονέναι· οὐκ ἀπὸ τύχης δέ, εἰ τούτου χάριν ἔσκαπτεν. τότε μὲν γὰρ ἂν ἦν οὐ κατὰ συμβεβηκὸς τὸ σκάπτειν τῆς εὑρέσεως αἴτιον, ὥσπερ οὐδὲ τὸ φυτεῦσαι, νῦν δὲ κατὰ συμβεβηκός, οὐ γὰρ τούτου χάριν ἐγίνετο. ἡ γοῦν τύχη ἐστὶ τὸ κατὰ προαίρεσιν γινόμενον, ὅταν αἴτιόν τινος γένηται κατὰ συμβεβηκός, ἀόριστον δὲ ἀεὶ αἴτιον οὕτως τό τινος χάριν γιγνόμενον γίγνοιτο, καὶ εἴη ἂν ἡ τύχη αἰτία κατὰ συμβεβηκός· οὐχ ἁπλῶς δέ, ἀλλ' ἐν τοῖς ποιητικοῖς τοῖς ἕνεκά του γιγνομένοις, καὶ τούτων ἐν τοῖς κατὰ προαίρεσιν. οὐ γὰρ λέγομεν τὸ ἀπὸ τύχης ἐν τοῖς κατὰ φύσιν γιγνομένοις, ὅταν ἄλλο τι παρὰ τὸν τῆς φύσεως σκοπὸν γένηται, ὥσπερ τὰ τέρατα· καὶ γὰρ τούτων ἐστὶ μὲν τὸ φύσει γιγνόμενον κατὰ συμβεβηκὸς αἴτιον· οὐ μὴν τύχης τοῦτο. ἀλλ' οὐδ' ὧν τὰ κατὰ τέχνην γιγνόμενα κατὰ συμβεβηκὸς αἴτια γίνεται, ὡς ἐπὶ τῇ τῶν διαστρόφων, οὐδὲ ἐπὶ τούτων ἡ τύχη τὴν αἰτίαν ἔχει. ἐν τοῖς κατὰ προαίρεσιν ἄρα, ὡς ἔφαμεν. ὅταν μὲν οὖν τὸ γιγνόμενον κατὰ προαίρεσιν δεξιοῦ τινος κατὰ συμβεβηκὸς αἴτιον γένηται, ὡς τὸ σκάπτειν τῆς εὑρέσεως τοῦ θησαυροῦ, εὐτυχίαν τοῦτο λέγομεν, ὅταν δὲ φαύλου, δυστυχίαν· οἷον εἰ σκάπτων ὑπό τινος ἑρπετοῦ δηχθείη τις ἐν αὐτῷ τῷ σκάπτειν εὑρεθέντος, οὐκ ὄντος ἐπιτηδείου τὴν ἄλλως τοῦ τόπου πρὸς ἑρπετὰ τοιαῦτα· εἰ γὰρ πλήθους ὄντος ἑρπετῶν ὧδε ὤρυττεν ἀπερισκέπτως, οὐ τύχη τούτῳ τῆς πληγῆς αἰτία, ἀλλ' ἀβουλία τις οἰκεία καὶ ἀπρονοησία. καὶ τὸ μὲν τῆς τύχης τοιοῦτόν τε καὶ οὕτως αἴτιον, τὸ δὲ αὐτόματον εἴωθεν μὲν καὶ ἐπὶ τῶν ἀπὸ τύχης γιγνομένων κατηγορεῖσθαι, οὐ μὴν ἀλλὰ μᾶλλον ἐπὶ τῶν φύσει. ὅταν γὰρ τῷ γινομένῳ φύσει ἄλλο τι ἐπακολουθήσῃ, ἀλλὰ μὴ τὸ οὗ χάριν ἐγίνετο, αὐτομάτως τοῦτο λέγομεν γεγονέναι, ὥσπερ τὰ τέρατα. ὅταν γὰρ μὴ οὗ χάριν τέλους γίγνεται τὸ γιγνό|μενον φύσει γένηται, μάτην καὶ αὐτὸ λέγομεν γεγονέναι, καὶ 161r τὸ ἐπακολουθῆσαν αὐτῷ, ὅτι κατὰ συμβεβηκὸς αἴτιον τὸ μάτην γεγονός ἐστιν, αὐτομάτως φαμὲν γεγονέναι. καὶ ἁπλῶς πᾶν τὸ τῷ κατὰ φύσιν ἐπακολουθῆσαν γιγνομένῳ, οὐκ ὂν οὗ χάριν ἐγίγνετο, αὐτομάτως λέγεται

---

3 εἰ VHa: ἡ C 4 ἂν om. Ca 7 ἀόριστον scripsi: ἀορίστῳ V: ἀορίστῳ HC: ἀορίστω a: ἀορίστως Bloch. cf. τὸ μὲν οὖν καθ' αὑτὸ αἴτιον ὡρισμένον, τὸ δὲ κατὰ συμβεβηκὸς ἀόριστον Ar. ausc. phys. 2,5 196b28 9—10 καὶ τούτων—γιγνομένοις om. C 12 τὸ] fortasse τι 14 γένηται Orelli διαστρόφων] ante φ paululum erasum V „ἡ (τέχνη) τῶν διαστρόφων scil. ἀνθρώπων significare videtur artes eorum, quorum membra distorta sunt, v. c. funambulorum, saltatorum et aliorum id genus praestigiatorum" Orelli. sed neque διάστροφος saltatorem significat neque quid sibi velint in hac argumentatione funambuli assequor. ad ὧν suppleas τεράτων; aliud enim prodigiorum genus auctor tangere videtur, pumilos dico et distortos (διάστροφοι). notum enim erat illo tempore, non solum natura, sed etiam arte procreari haec monstra; testis est de subl. liber 44,5. cf. Jahn Arch. Beitr. p. 430 Casaub. ad Suet. Aug. 83. Marquardt VII, 1, 152,4. sed τῇ post ἐπὶ delendum videtur 18 δυστυχίαν] χι in lit. supra lin. V 19 τὴν ἄλλως V: τηνἄλλως Ha 21 τούτων Ca 23 εἰώθαμεν καὶ τῶν (in mg. suppl. ἐπὶ) H 24 γενομένῳ Orelli 25 τὸ οὗ Ca: τοῦ οὗ VH: οὗ Orelli 26 γεγονέναι καὶ τὸ ἐπακολουθήσαν ὥσπερ C γίγνεται Orelli: γίγνηται VHCa 29 ἔσται H 30 γιγνομένῳ ἐπακολουθῆσαν H

γεγονέναι. οὕτως ὁ κατενεχθεὶς λίθος καὶ οὕτως πως πεσών, ὡς ἐπ' αὐτοῦ καθέζεσθαι δύνασθαι, αὐτομάτως τήνδε τὴν θέσιν ἔσχεν ἐπακολουθήσασαν τῇ φυσικῇ τοῦ λίθου διὰ τὴν βαρύτητα καταφορᾷ. ὁμοίως καὶ ὁ μὲν διὰ τὴν τροφὴν ἐλθὼν ἐπὶ τόνδε τὸν τόπον ἵππος, σωθεὶς δὲ διὰ τοῦτο ἀπὸ τῶν πολεμίων· καὶ γὰρ τούτῳ ἡ φυσικὴ τῆς τροφῆς ὄρεξις τῆς σωτηρίας αἰτία, οὐκ ἐλθόντι τοῦ σωθῆναι χάριν. τὸ δὲ λέγειν τὴν τύχην αἰτίαν ἄδηλον ἀνθρωπίνῳ λογισμῷ οὐκ ἔστι φύσιν τινὰ τύχης τιθεμένων, ἀλλ' ἐν τῇ τῶν ἀνθρώπων πρὸς τὰ αἴτια ποιᾷ σχέσει τὴν τύχην εἶναι λεγόντων, ἔσται τε οὕτως τὸ αὐτὸ τῷ μὲν ἀπὸ τύχης, τῷ δ' οὔ, ὅταν ὁ μὲν αὐτοῦ γινώσκῃ τὴν αἰτίαν, ὁ δὲ ἀγνοῇ. προσέτι τε ἐπεὶ πλείω τοῦ αὐτοῦ αἴτια, εἴ γε τετραχῶς, ὧν τὰ μὲν ἐνδέχεταί τινας εἰδέναι, τὰ δὲ μή, τὸ αὐτό τι ἅμα τῷ αὐτῷ καὶ ἀπὸ τύχης καὶ οὐχὶ ἀπὸ τύχης ἔσται, ἂν τὰ μέν τινα τῶν αἰτίων αὐτοῦ γνωρίζῃ, τὰ δὲ ἀγνοῇ· οὐ γὰρ διώρισται παρὰ τὴν ποτέρου τῶν αἰτίων ἄγνοιαν ἡ τύχη. εἰ γὰρ λέγοιεν μὴ τήν τισιν ἀνθρώποις αἰτίαν ἄδηλον εἶναι τὴν τύχην, ἀλλὰ τὴν καθόλου πᾶσιν ἀνθρώποις, οὐδ' ὅλως εἶναί τι συγχωροῖεν ἂν τὴν τύχην, διδόντες τε εἶναι μαντικὴν καὶ τῶν ἀδήλων δοκούντων εἶναι τοῖς ἄλλοις γνωστικὴν αὐτὴν τιθέμενοι. εἰ γὰρ τοῦτο διορίζειν βουλόμενοι λέγοιεν τὴν ἄδηλον τοῖς ἀνεπιστήμοσιν αἰτίαν τύχην, ἔσται κατὰ τοῦτον τὸν λόγον καὶ τὰ κατὰ τὰς ἐπιστήμας τε καὶ τέχνας γινόμενα τοῖς ἀνεπιστήμοσίν τε καὶ ἀτέχνοις ἀπὸ τύχης. οὔτε γὰρ ὁ μὴ τέκτων οἶδεν τῶν τεκτονικῶν τὴν αἰτίαν, οὐθ' ὁ μὴ μουσικὸς τῶν μουσικῶν, οὔτε ἄλλος τις ἄτεχνος τὰ τῆς τέχνης· ἐν γὰρ τῷ τὰς αἰτίας εἰδέναι τῶν γιγνομένων κατὰ τέχνην ἡ τέχνη.

Περὶ εἱμαρμένης.

Περὶ τῆς εἱμαρμένης ἄξιον ἐπισκέψασθαι, τί τέ ἐστι καὶ ἐν τίνι τῶν ὄντων. τὸ μὲν γὰρ εἶναί τι τὴν εἱμαρμένην, ἱκανῶς ἡ κοινὴ τῶν ἀνθρώπων συνίστησιν πρόληψις (ἡ γὰρ φύσις οὐ κενὸν οὐδὲ ἄστοχον· ὁ γὰρ Ἀναξαγόρας οὐκ ἀξιόπιστος ἀντιμαρτυρῶν τῇ κοινῇ δόξῃ· λέγει γὰρ οὗτός γε, μηδὲν εἶναι τὴν εἱμαρμένην ὅλως, ἀλλ' εἶναι κενὸν τοῦτο τοὔνομα), τί δέ πότ' ἐστιν καὶ ἐν τίσιν, οὐκέθ' ἡ τῶν ἀνθρώπων πρόληψις ἱκανὴ τοῦτο μηνῦσαι. οὔτε γὰρ ἀλλήλοις οὔτε αὑτοῖς περὶ τοῦδε συμφωνεῖν δύνανται. πρὸς γὰρ τοὺς καιροὺς καὶ τὰς περιστάσεις καὶ τὴν περὶ τῆς εἱμαρμένης

---

1 ὁ HC: οὐ Va 2 κατέζεσθαι a τήνδε τὴν θέσιν Va: τὴν θέσιν C: τήνδε τὴν φύσεως θέσιν H: τήνδε τῆς φύσεως θέσιν Orelli 3 καὶ ὁ μὲν VHCa: δὲ καὶ ὁ Orelli 4 ὕππον C 5 τούτῳ om. Ca 8 τῶν ἀνθρώπων om. Orelli ποιᾷ a 10 ἐπεὶ πλείω VH: ἐπὶ πλείου C: ἐπὶ πλείω a 11 τινας om. Orelli 12 τῷ αὐτό τι ἅμα a ἔσται Orelli: εἶναι VHCa 16 συγχωροῦν ἂν τό τυχεν C 19 τὰς om. C 21 τεκτωνικῶν V 24 edidit Orelli ib. p. 134 sq.

25 τίσι Orelli 26 εἶναι τε Orelli 27 ἄστατον m¹V: ἄστοχον H: ἄστατον C: ἄστρατον a 29 γε H: τε VCa τὸ ὄνομα Ca 31 αὐτοῖς scripsi: αὐτοῖς VHCa

μεταβάλλουσι δόξαν. ποτὲ μὲν γὰρ ἀπαράβατόν τι καὶ ἀναπόδραστον τὴν εἱμαρμένην τίθενται, καὶ πάντα γε τά τε ὄντα καὶ τὰ γιγνόμενα ὑποτάσσουσιν αὐτῇ, ὁτὲ δὲ ἔστιν αὐτῶν καὶ τὸ παρὰ τὴν εἱμαρμένην ἀκοῦσαι πολλάκις λεγόντων, καὶ τὸ παρὰ μοῖραν. καὶ ὡς ἐπὶ τὸ πλεῖστον οἷς μὲν μήτε τὰ τῆς τύχης εὖ κυρεῖ, μήτε τι μᾶλλον τὰ τῆς γνώμης τε καὶ τῆς οἰκείας προαιρέσεως ἔρρωται, ἐπὶ τὴν εἱμαρμένην τε ὡς κρησφύγετόν τι καταφεύγουσιν, τὴν αἰτίαν τῶν μὴ δεόντως πεπραγμένων ἢ πραττομένων ἑαυτοῖς ἀφ' αὑτῶν ἐπ' ἐκείνην μεταφέροντες, καὶ πάντα γέ φασιν οὕτοι τότε γίνεσθαι καθ' εἱμαρμένην, μεταπεσούσης δὲ τῆς τύχης αὐτοῖς ἐπὶ τὸ βέλτιον, οὐκέτι ἐπὶ τῆς αὐτῆς δόξης μένουσιν· οἷς δὲ τὰ τῆς οἰκείας γνώμης δεξιὰ καὶ ταύτῃ συνῳδὰ τὰ παρὰ τῆς τύχης, εἰς ἑαυτοὺς μᾶλλον ἢ τὴν εἱμαρμένην τὴν αἰτίαν τῶν γινομένων ἀνάπτουσιν. ἄλλοι δ' αὖ τῶν μὲν δεξιῶν ἁπάντων ἢ ἑαυτοὺς ἢ τὸ θεῖον αἰτιῶνται, ἐπὶ δὲ τοῖς χείροσιν ἐπιβοῶνται τὴν εἱμαρμένην. εἰσὶ δέ τινες καὶ γόητες ἄνθρωποι, οἵτινες κατανοήσαντες τὴν τῶν πολλῶν ἀσθένειαν περὶ τὴν τῆς εἱμαρμένης καὶ τῶν κατ' αὐτὴν γιγνομένων κρίσιν, καὶ τὸ ῥᾴδιον αὐτῶν διὰ φιλαυτίαν καὶ τὸ μηδὲν αὑτοῖς συνειδέναι δεξιὸν πρὸς πίστιν τοῦ πάντων τῶν ἁμαρτανομένων τὴν εἱμαρμένην αἰτιᾶσθαι ἀποφαίνονται πᾶν τὸ γιγνόμενον γίνεσθαι καθ' εἱμαρμένην, καὶ τέχνην ὑποκρίνονταί τινα τοιαύτην, καθ' ἣν φασιν οἷοί τε εἶναι πάντα προγιγνώσκειν τε καὶ προμηνύειν τὰ ὁπωσοῦν ἐσόμενα, τῷ μηδὲν αὐτῶν γίγνεσθαι χωρὶς ἀνάγκης τινός, ἣν εἱμαρμένην λέγουσιν· καὶ λαβόντες βοηθοὺς τοὺς καὶ τῆς τέχνης αὐτοῖς αἰτίους, ἀναπείθουσιν τοὺς πλείστους τῶν ἀνθρώπων, ἐν ταῖς περιστάσεσιν αὐτοῖς ἐπιτιθέμενοι καὶ ταῖς συμφοραῖς, μόνον οὐκ εὐχομένοις τοῦθ' οὕτως ἔχον φανῆναι, κατά τινα τριβήν τε καὶ περὶ τὰ τοιαῦτα σύνεσιν καὶ τῆς ἐν τοῖς τοιούτοις ἀκολουθίας θεωρίαν προλέγοντες εὐστόχως τινὰ τῶν τοῖς οὕτως ἔχουσιν ἀκολούθως ἐσομένων, ὡς δὴ τοῦτ' ἐκ τῆς τέχνης τῆς περὶ τὴν εἱμαρμένην ἔχειν λέγοντες μισθοὺς οὐκ ὀλίγους ὑπὲρ τῆς τοιαύτης κακοτεχνίας ἐκλέγοντες, ἀσμένως αὐτοῖς τῶν πειρωμένων διδόντων ὡς βοηθοῖς καὶ συνηγόροις τῶν οἰκείων ἁμαρτημάτων. οἳ καὶ τοὺς πλείστους τῶν ἀνθρώπων ἀναπεπείκασιν δι' ἀργίαν ἀφεμένους τοῦ σκοπεῖν, ὅπῃ ποτὲ ταῦτα ἔχει, καὶ τίς ἡ τάξις ἐν τοῖς οὖσιν τῆς εἱμαρμένης, πάντα τὰ γιγνόμενα καθ' εἱμαρμένην γίγνεσθαι λέγειν. ἀλλ' ἐπειδὴ μηδὲ οἱ πάνυ τὴν εἱμαρμένην ἐπιβοώμενοι ἐν ταῖς κατὰ τὸν βίον πράξεσιν ἐκείνῃ φαίνονται πάντα

---

3 ποτὲ Orelli 5 εὐκυρεῖ a 6 ἔρωται C τε om. Orelli: fortasse τε ⟨καὶ μοῖραν⟩ τι om. C 7 πεπραγμένων τε ἢ Orelli 8 ἑαυτῶν H ἐκείνοις C τε V: γε HC: καὶ a 9 αὐτοῖς VHa: αὐτῆς C: om. Orelli 12 αὖ τῶν VCa: αὐτῶν H 17 αὐτοῖς scripsi: αὐτοῖς VCHa συνειδέναι VCa: συνεῖναι H Orelli 20 οἷον Ca προμηνύσειν Orelli 22 αὐτοῖς VH: αὐτῆς Ca: αὐτῶν Orelli 25 φανῆναι καὶ κατὰ C τὰς τοιαύτας H σύνθεσιν a 26 τοῖς οὕτως ἔχουσιν] cf. ἐν ταῖς περιστάσεσιν αὐτοῖς ἐπιθέμενοι καὶ ταῖς συμφοραῖς v. 23 28 ἔχειν om. Orelli κατατεχνίας a 30 οἳ καὶ VHC: οἷς καὶ a 34 ἐκείνῃ a

πεπιστευκέναι, | (ἱκανὸν γὰρ τἀληθὲς μαχομένους αὐτοῖς ἀποφῆναι τοὺς τὰ 161v
ψευδῆ πεπιστευμένους λέγειν) ἄξιον ἡμᾶς ἄνωθεν ἀρξαμένους ἰδεῖν, τίς ποτέ
ἐστιν ἡ φύσις τῆς εἱμαρμένης καὶ ἐν τίσιν καὶ μέχρι πόσου τὴν ἰσχὺν
ἔχει. καὶ πρῶτόν γε περὶ τίνα τῶν ὄντων εὔλογον αὐτὴν λέγειν εἶναι,
διασκεψώμεθα· τοῦτο γὰρ φανερὸν γενόμενον πρὸ ἔργου γενήσεται καὶ πρὸς
τὰ ἄλλα τὰ ζητούμενα περὶ αὐτῆς. τὸ μὲν οὖν πᾶσιν τοῖς οὖσιν ἐπιτάσσειν
αὐτὴν καὶ πάντα λέγειν εἶναι τὰ ὄντα καθ' εἱμαρμένην, ὁμοίως ἀΐδιά τε
καὶ μή, οὔτε εὔλογον ἄλλως οὐθ' ὑπὸ τῶν ὑμνούντων μάλιστα τὴν εἱμαρ-
μένην ὡς αἰτίαν τῶν γιγνομένων ἁπάντων ὁμολογούμενον. οὔτε γὰρ τὰ
ἀΐδια καθ' εἱμαρμένην εἶναι τοιαύτην λέγειν εὔλογον· γελοῖον γὰρ τὸ τὴν
διάμετρον ἀσύμμετρον τῇ πλευρᾷ λέγειν εἶναι καθ' εἱμαρμένην, ἢ τὸ τρί-
γωνον διὰ τοῦτο δυσὶν ὀρθαῖς ἴσας ἔχειν τὰς ἐντὸς γωνίας, καὶ καθόλου
τὰ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα οὐδαμῶς εὔλογον καθ' εἱμαρ-
μένην οὕτως ἔχειν λέγειν. ἀλλ' οὐδὲ τὰ γιγνόμενα πάντα· ὅσα γὰρ καὶ
τούτων εὔτακτόν τε καὶ ὡρισμένην ἔχει τὴν γένεσίν τε καὶ κίνησιν, ἔξω
πίπτει καὶ ταῦτα τῆς εἱμαρμένης. οὐ γὰρ καθ' εἱμαρμένην ὁ ἥλιος ἐν
χειμεριναῖς ἢ θεριναῖς τροπαῖς γίγνεται, οὐδὲ ἕκαστον τῶν ἄστρων εἱμαρ-
μένην αἰτίαν ἔχει τῆς οἰκείας φορᾶς, ἀλλ' ἔστιν ὥσπερ κατὰ τὸ εἶναι καὶ
τὴν οὐσίαν ἐλεύθερα τῆς τοιαύτης αἰτίας, οὕτως δὲ καὶ κατὰ τὰς οἰκείας
ἐνεργείας. διὸ τῶν μὲν ἀϊδίων ἢ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἀεὶ γιγνο- 15
μένων οὐθενὸς αἴτιον ἡ εἱμαρμένη, δοκεῖ δὲ ἐν τοῖς ἐν γενέσει καὶ φθορᾷ
τῆς εἱμαρμένης ἔργον εἶναι. ἐν γὰρ τοῖς ἐπιτηδείοις ὅσον ἐπὶ τῇ φυσικῇ
παρασκευῇ πρὸς τὰ ἀντικείμενα τῆς εἱμαρμένης ἰσχὺς εἶναι δοκεῖ, ἐν θα-
τέρῳ τῶν ἀντικειμένων κατέχουσα αὐτὰ καὶ φυλάττουσα κατά τινα τάξεως
ἀκολουθίαν. ἃ γὰρ οὐκ ἂν οὕτως ἔχοι ἄνευ τῆς εἱμαρμένης, ταῦτα παρὰ
τῆς εἱμαρμένης ἐν τῇδε τῇ τάξει φυλάττεσθαι δοκεῖ· τοιαῦτα δέ ἐστιν
οὐκ ἄλλα τινὰ τῶν ὄντων ἢ τὰ ἐν γενέσει καὶ φθορᾷ· ὥστε ἐνταῦθά 20
που καὶ τὸ τῆς εἱμαρμένης. ἐπεὶ δὲ καὶ τούτων τὰ μὲν κατὰ τέχνην
τε καὶ λόγον τεχνικόν τινα, τὰ δὲ κατὰ προαίρεσιν, τὰ δὲ κατὰ φύσιν
γίγνεται, σκεπτέον ἐν τίσιν τούτων τὸ τῆς εἱμαρμένης, εἰ μὴ οἷόν τε
ἐν πᾶσιν. τὰ μὲν οὖν κατὰ τέχνην γιγνόμενα καθ' εἱμαρμένην εἶναί
τε καὶ γίγνεσθαι λέγειν οὐδαμῶς ταῖς περὶ τῆς εἱμαρμένης δόξαις συνῳ-
δόν· γελοῖον γὰρ τὸ τὴν κλίνην ἢ τὸ βάθρον καθ' εἱμαρμένην γεγο-
νέναι λέγειν, ἢ τὴν λύραν ἡρμόσθαι καθ' εἱμαρμένην· οὕτω γὰρ ἐροῦμεν 25
πᾶσαν τέχνην εἱμαρμένην. ἀλλ' οὐδ' ὧν προαίρεσις αἰτία, ταῦτα καθ'
εἱμαρμένην ἂν εἴη· τούτων γὰρ ἐν ἡμῖν ἡ ἀρχή, ἀλλ' οὐκ ἔξωθεν,

---

1 αὐτοῖς scripsi: αὐτοῖς VHC? a: αὐτοὺς Orelli 2 λέγω C 3 τῆς εἱμαρμένης om. Orelli 4 τίνα VCKa: ποῖα H 5 περὶ ἔργου a 6 τὰ ζητούμενα VH: ζητούμενα KCa 10 τ' ἀΐδια Ka τὴν τοιαύτην KCa 13 ὡς αὕτως V 16 ἡμαρμένην a 18 καὶ κατὰ C 19 αἰτίας VHCKa: οὐσίας Orelli 21 δὲ καὶ ἐν τοῖς C 22 τῆς VKa: οἷ? C: τὸ τῆς H 23 ἀντι προκείμενα C 25 ἔχοι scripsi: ἔχειν VHKCa: ἔχει Orelli 28 δὲ] μὲν Orelli 32 συνωδόν a: συνωδον V 34—35 οὕτω—εἱμαρμένην om. C 36 ἀλλ' VKa: καὶ C?: καὶ (in mg. ἀλλ') H

ἡ δὲ εἱμαρμένη οὐκ ἐν ἡμῖν· καὶ γὰρ εἰ καὶ περὶ ταὐτά ἐστιν ἡ εἱμαρμένη, περὶ ἃ καὶ τὸ ἐφ' ἡμῖν, ἀλλὰ ἄλλο γέ ἐστι τοῦ ἐφ' ἡμῖν. ἀφαιρετέον ἄρα τῆς εἱμαρμένης καὶ τῶν ἐν γενέσει τὰ γιγνόμενα κατὰ τέχνην τε καὶ προαίρεσιν. τούτων δ' ἀφῃρημένων λοιπὸν καταλείπεται ταῦτα, οἷς ἡ φύσις τῆς γενέσεως αἰτία, ἐν οἷς δὴ καὶ δοκεῖ δυναστεύειν τὸ τῆς εἱμαρμένης. εἰ γάρ τις ἐπιστήσας ἐξετάζειν βούλοιτο τὰς δόξας τὰς περὶ τῆς εἱμαρμένης καταβεβλημένας, οὐ περὶ ἄλλα τινά, οὐδὲ ἐν ἄλλοις αὐτὰς εὑρήσει τὴν εἱμαρμένην τιθείσας, ἀλλ' ἐν τοῖς γινομένοις φύσει, καὶ τούτων μάλιστα ἐν τῇ τῶν ζῴων καὶ τῶν ἐκ συγκρίσεων τῶν ἐν γενέσει· οὐ γὰρ τὸ τὴν τῶν στοιχείων εἰς ἄλληλα μεταβολὴν καθ' εἱμαρμένην γίνεσθαι λέγειν πάνυ τι σύνηθες. ὄντος τοίνυν τοῦ καθ' εἱμαρμένην ἐν οἷς προειρήκαμεν, καὶ τούτου γνωρίμου γεγονότος, ἀκόλουθον ἂν εἴη μετὰ τοῦτο ζητῆσαι, πότερον τοιοῦτόν ἐστιν ὡς ἀναγκαῖόν τε καὶ ἀπαράβατον εἶναι κατὰ τὸν ποιητὴν τὸν λέγοντα·

μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται.

